This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Columbia University
in the City of New York

THE LIBRARIES

Digitized by Google

Digitized by Google

Columbia University
in the City of New York

THE LIBRARIES

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google



# ΜΗΝΑΙΟΝ
# ΤΟΥ
# ΜΑΡΤΙΟΥ

ΠΕΡΙΕΧΟΝ

ΤΗΝ ΠΡΕΠΟΥΣΑΝ ΑΥΤῼ ΑΠΑΣΑΝ

## ΑΚΟΛΟΥΘΙΑΝ

Μετὰ καὶ τῆς ἀναγκαιοτέρας προσθήκης

## ΤΟΥ ΤΥΠΙΚΟΥ

Νεωστὶ μετατυπωθὲν, καὶ ἐπιμελῶς διορθωθέν.


ΕΝΕΤΙῌΣΙΝ.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

1820.






Μ. ΑΠ. ΘΩΜΑ.
Μ. ΑΠ. ΜΑΤΘ.
Μ. ΑΠ. ΙΑΚ. ΑΛΦ.
ΑΠ. ΙΟΥΔΑ.
Μ. ΑΠ. ΒΑΡΘΟΛ.
ΑΠ. ΣΙΜΩΝ.
INBI
IC XC
Μ. ΑΠ. ΦΙΛΙΠ.
ΑΠ. ΠΑΥΛΟΥ.
Μετάς. ΙΩΑΝ. τ̃ ΘΕΟΛ.
Μ. ΑΠ. ΙΑΚΩΒ.
ΑΠ. ΑΝΔΡΕΑ.
Μ. ΑΠ. ΠΕΤΡΟΥ.

APR 3 1959



# ΜΗΝ ΜΑΡΤΙΟΣ

*Ἔχων ἡμέρας, λα΄. Ἡ ἡμέρα ἔχει ὥρας, ιβ΄. καὶ ἡ νὺξ, ὥρας ιβ΄.*

Εἰς τὴν πρώτην, Μνήμη τῆς Ἁγίας Ὁσιομάρτυρος Εὐδοκίας.

Εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμοια. Ἦχος δ΄.

Ἔδωκας σημείωσιν.

Πρότερον ἀσκήσασα, καὶ τῆς σαρκὸς τὰ σκιρτήματα, ἐγκρατείᾳ μαράνασα, ἀθλήσει τὸν δεύτερον, τοῦ ἐχθροῦ καθεῖλες, τὰς μηχανουργίας, καὶ νίκην ἦρας κατ᾽ αὐτοῦ, ὦ Εὐδοκία Θεομακάριστε. διό σε ἐστεφάνωσεν, ἐπὶ διπλοῖς ἀγωνίσμασιν, Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Καρδίας ταῖς αὔλαξι, σπόρον τὸν θεῖον εἰσδεδέξαι, ὡς γῆ πίων Θεόπνευστε, καὶ ἑκατοστεύοντα, Μαρτυρίου στάχυν, ἠξιώθησας ὄντως, καὶ ἀποθήκαις νοηταῖς, ἐθησαυρίσθης θείᾳ τοῦ Πνεύματος, τοῦ σε μεταποιήσαντος, καὶ ἀλλοιώσει τῇ κρείττονι, ἀλλοιώσαντος χάριτι, Εὐδοκία Πανεύφημε. Ὅμοιον.

Νεκροὺς ἐξαναστήσασα, ζωοποιῷ σου προστάγματι, Εὐδοκία πανεύφημε, νεκρώσασα πάνσοφε, ἐγκρατείας πόνοις, τοῦ σώματος πάθη, καὶ νῦν οἰκεῖς τοὺς Οὐρανοὺς, μετὰ Μαρτύρων καλῶς τελέσασα, τὸν δρόμον τῆς ἀθλήσεως, τῇ συνεργείᾳ τοῦ Πνεύματος, ὑπὲρ πάντων τῶν πίστει σε, ἀνυμνούντων πρεσβεύουσα.

Δόξα. Ἦχος πλ. β΄. Ἰωάννου Μοναχοῦ.

Καταλιποῦσα τὰ τερπνὰ, καὶ ποικίλα τοῦ βίου ἡ Ὁσία καὶ Μάρτυς, καὶ Σταυρὸν ἀραμένη ἐπ᾽ ὤμων, προσῆλθε τοῦ νυμφευθῆναί σοι Χριστὲ, καὶ σὺν οἰμωγαῖς δακρύων ἐβόα· μή με τὴν πόρνην ἀπορρίψῃς ὁ ἀσώτους καθαίρων. μὴ μου τὰ δάκρυα παρίδῃς τῶν δεινῶν ὀφλημάτων. ἀλλὰ δέξαι με ὥσπερ τὴν πόρνην ἐκείνην, τὴν τὸ μύρον σοι προσενέγκασαν, καὶ ἀκούσω κἀγώ. ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην.

Καὶ νῦν. Θτ. Τριήμερος ἀνέστης Χριστέ.

Μετάνοιαν οὐ κέκτησαι, ψυχὴ ἀμετανόητε. τί βραδύνεις; τοῦ θανάτου ἡ τομὴ, ἐγγίζει καὶ τὸ τέλος, ἐφέστηκεν ὡς κλέπτης, τῇ Θεοτόκῳ δράμε πρόσπεσον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁρῶσά σε σταυρούμενον, Χριστὲ ἡ σὲ κυήσασα, ἀνεβόα. τί τὸ ξένον ὃ ὁρῶ, Μυστήριον Υἱέ μου; πῶς ἐπὶ ξύλου θνήσκεις, σαρκὶ κρεμάμενος ζωῆς χορηγέ;

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ μνήμη τῆς Ἁγίας ἐν τῇ Ἁγίᾳ Μ΄. οὐ χρὴ ψάλλεσθαι Ἰδιόμελον, εἰμὴ ἐν Σαββάτῳ εἰ τύχῃ, ἢ ἐκτὸς τῆς Ἁγίας Μ΄.



Digitized by Google

Ἀπολυτίκ. Ἦχος δ΄. Ἡ Ἀμνάς σου Ἰησοῦ.
Εἰς δὲ τὸν Ὄρθρον, ὁ Κανὼν τῆς Ἁγίας, Οὗ ἡ ἀκροστιχίς.
Τῆς Εὐδοκίας τοὺς ἀγῶνας αἰνέσω.
Ὠδὴ α΄. Ἦχος Πλ. δ΄. Ὁ Εἱρμός.
„Ἄσωμεν τῷ Κυρίῳ τῷ διαγαγόντι „τὸν λαὸν αὐτοῦ, ἐν ἐρυθρᾷ θαλάσ„σῃ, ὅτι μόνος ἐνδόξως δεδόξασται.
Τὴν ἐξ ἀπροσεξίας, σκότωσιν μοι Μάρτυς ἐπισκήψασαν, πρεσβειῶν σου ἀκτῖσιν, Εὐδοκία ὑμνοῦντί σε σκέδασον.
Ἡ χρύσεον ἡ σαγήνη, λόγων Θεοπνεύστων Καλλιμάρτυς σε, ἀθανάτου τραπέζης, ἀπολαύσεως θείας ἐντρύφημα.
Στέμμα τῆς ἀφθαρσίας, καὶ τὴν διαμένουσαν ἀπόλαυσιν, τῆς γῆς παρωσαμένη, Εὐδοκία ἀξίως κεκλήρωσαι. Θτ.
Ἔλυσε τοῦ θανάτου, ἐκ τῆς καταδίκης με Πανάμωμε, ὁ ἐκ σοῦ Θεὸς Λόγος, σαρκωθεὶς διὰ σπλάγχνα ἐλέους αὐτοῦ.
Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.
Ὕλην καταλείψασα, τὴν πολυποίκιλον ἔνδοξε, Κόσμου φθαρτοῦ, ὄλβον Εὐδοκία, ἀναφαίρετον εἴληφας.
Δόξης ἀγαλλίαμα, τῆς μετανοίας σου σύμβολον, ἐν Οὐρανοῖς, σεπτὴ κατιδοῦσα, ἐφωτίσθης βαπτίσματι.
Θεοτοκίον.
Ὅλην μου τὴν ἔφεσιν, Θεογεννήτρια δέομαι, πρὸς τὸν ἐκ σοῦ, ἰθυνον τεχθέντα, τῶν παθῶν ῥυομένη με.
Ὁ Εἱρμός.
„Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων „σοι Κύριε, σὺ εἶ τὸ φῶς, τῶν ἐσκο„τισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου.
Κάθισμα. Ἦχος Πλ. δ. Τὴν Σοφίαν καὶ Λόγον.
Φωτισθεῖσα τῇ αἴγλῃ τῇ Θεϊκῇ, τὸν τῆς πλάνης κατέλιπες σκοτασμόν, καὶ βίον ἀνέλαβες, μετὰ σώματος ἄϋλον. χαρισμάτων δὲ θείων πλησθεῖσα τοῦ πνεύματος, ἐκ δαψιλοῦς προρρήσεως, νεκροὺς ἐξανέστησας. ὅθεν ἐπὶ τέλει Μαρτυρίου στεφάνῳ, ἐνθέως κεκόσμησαι, καὶ τὸν δόλιον ᾔσχυνας, Εὐδοκία ἰσάγγελε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Θεοτοκίον. Ὅμοιον.
Ἐνθυμοῦμαι τὴν Κρίσιν καὶ δειλιῶ, ἐννοῶν μου τὰς πράξεις τὰς πονηράς. πῶς ἀπολογήσομαι, τῷ Κριτῇ ὁ ταλαίπωρος; πρὸς τὴν σὴν δὲ βλέπων Εἰκόνα πανύμνητε, ἀναψυχὴν λαμβάνω, Κυρία τῶν πόνων μου. ἀπεγνωσμαι τελείως, καὶ προσπίπτω κραυγάζων σοι Παναγία μου πρόφθασον, ὅπως ἵλεως γένηται ὁ Υἱός σου καὶ Κύριος, ἐν ἡμέρᾳ τῆς κρίσεως, ὅτι ἄλλην ἐλπίδα οὐ κέκτημαι ὁ ἀνάξιος δοῦλός σου.
Σταυροθεοτοκίον. Ὅμοιον.
Τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ Λυτρωτήν, ἡ Ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἀδίκως κρεμάμενον, θρηνῳδοῦσα ἐκραύγαζεν. οἴμοι φίλτατον Τέκνον, Υἱὲ ποθεινότατε. οἴμοι πῶς τοσοῦτον, ὁρᾷν στέρξω θέαμα; κόπτομαι τὰ σπλάγχνα, τὴν καρδίαν μου πίμπραμαι, ἀλλ᾽ ὦ ὑπεράγαθε, τοὺς σοὺς λόγους ἐκπέρανον, καὶ ἀνάστηθι τάχιον, χαρὰν πᾶσι καὶ λύτρωσιν, διδοὺς τοῖς ἀνυμνοῦσιν ἐν πίστει, τὸ ἄχραντον Πάθος σου.
Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.
Καλλονῇ ὑπερέχουσα, σώματος ἀξίως ψυχῆς ἐξελάμπρυνας, ὡραιότητα κατάλληλον, πόνοις Εὐδοκία ἀπαστράπτουσα.
Ἱεραῖς εἰσηγήσεσι, ταῖς τοῦ Γερμανοῦ τὴν κρίσιν ἄφιλατον, δι᾽ ἐλέους Μάρτυς εἴληφας, τῶν πρὶν ἀθεμίτων ἀλογήσασα.
Ἀπημαύρωσας ἅπασαν, πλάνης προσβολήν, φωτὸς ἀληθείας γάρ, ὁδηγὸν ἔσχες Ἀρχάγγελον, θείας σοι ἐμφάσεις ἐκκαλύπτοντα. Θεοτοκίον.
Ἐκ παναμωμε Δέσποινα, σάλον τῶν κυμάτων ψυχῆς μου πράϋνον, ἁμαρτίας με τοῦ κλύδωνος, καὶ τῆς τρικυμίας ἀπαλλάττουσα. Ὠδὴ ε΄. Ὁ Εἱρμός.
„Ὀρθρίζοντες βοῶμέν σοι Κύριε, σῶσον „ἡμᾶς. σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς „σοῦ ἄλλον οὐκ οἴδαμεν.
Τὸν βόρβορον τῶν πράξεών δάκρυσιν, ἐκπλυθεῖσα, λουτρῷ τοῦ Βαπτίσματος, Ἡλίου πλέον ἐξέλαμψας.

Οὐ

Digitized by Google

Ου πλοῦτος οὐ θωπεῖαι οὐ μάστιγες, οὐ ξεσμοί σε, οὐ ξίφος οὐ θάνατος, Θεοῦ χωρίσαι δεδύνηνται. Θεοτοκίον.

Υλώδους προσπαθείας μου ἄκανθαν, Θεοτόκε, φλέξαι τῷ μὴ φλέξαντι, πυρὶ τὴν θείαν γαστέρα σου.

Ὠδὴ ς'. Χιτῶνά μοι παράσχου.

Στερρῶς τῷ τῆς ἀθλήσεως πυρὶ, σεαυτὴν λιπάνασα, βασάνοις ἀνάλωτος, Εὐδοκία ἀνεδείχθης σεβάσμιε.

Αγάπης ἐραστῶν τῶν φθαρτικῶν, σεμνὸν ἀγαπήσασα, Νυμφίον τῷ ἔρωτι, Εὐδοκία τῷ ἀφθάρτῳ ἐπανέθου σαυτήν.

Θεοτοκίον.

Γαλήνης ἡ κυήσασα Χριστὸν, τὸν αἴτιον Δέσποινα, τὸν ἄγριον κλύδωνα, τῶν παθῶν μου Παναγία ἡμέρωσον.

Ὁ Εἱρμός.

„ Χιτῶνά μοι παράσχου φωτεινὸν, ὁ ἀ-
„ ναβαλλόμενος φῶς ὡς ἱμάτιον,
„ πολυέλεε Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἰ ἔστι Τεσσαρακοστὴ, λέγε τὸ Μαρτυρικὸν τοῦ τυχόντος ἤχου.

Μὴν Μάρτιος ἔχων ἡμέρας λα'. ἡ ἡμέρα ἔχει ὥρας ιβ'. καὶ ἡ νὺξ ὥρας ιβ'.

Εἰς τὴν Α'. Τῆς Ἁγίας Ὁσιομάρτυρος Εὐδοκίας, τῆς ἀπὸ Σαμαρειτῶν, τῆς ἑταιρίδος.

Στ. Ἡ Σαμαρεῖτις, οὐχ ὕδωρ Εὐδοκία,
Ἀλλ' αἷμα Σῶτερ, ἐκ τραχήλου σοι φέρει.
Μαρτίου ἀμφὶ πρώτῃ Εὐδοκία ξίφος ἔτλη.

Αὕτη ἦν ἐκ Ἡλιουπόλεως, τῆς Ἐπαρχίας Λιβανησίας Φοινίκης, κατὰ τοὺς καιροὺς τῆς Βασιλείας Τραϊανοῦ, ἐν ἀκολασίᾳ τὸ πρῶτον βιοῦσα, καὶ πολλοὺς ἐραστὰς τῇ εὐπρεπείᾳ τῆς ὄψεως ἐπισυρομένη, καὶ πλοῦτον πολὺν συναθροίσασα. ὕστερον δὲ προσῆλθε τῷ Χριστῷ, Γερμανοῦ τινος Μοναχοῦ τοὺς περὶ ἀσεβείας καὶ μετανοίας λόγους διεξιόντος ἀκούσασα. Βαπτίζεται οὖν ὑπὸ Ἐπισκόπου Θεοδότου ἀποκαλύψεσι θείαις πεισθεῖσα. καὶ γὰρ ἔδοξεν ἑκστᾶσα ἑαυτὴν ὑπὸ Ἀγγέλου χειραγωγουμένην, εἰς Οὐρανοὺς ἀνελθεῖν, καὶ τοὺς Ἀγγέλους συγχαίρειν αὐτῇ τῆς ἐπιστροφῆς, καὶ μέλανά τινα καὶ τὴν ὄψιν δεινὸν βρύχειν καὶ καταβοᾶν ὡς ἀδικούμενον, εἰ ταύτην ἀφαιρεθείη. Διανείμασα δὲ τὸν πλοῦτον αὐτῆς, καὶ διαδοῦσα πτωχοῖς, ἄπεισιν ἐν Μοναστηρίῳ. καὶ καλῶς τὸν δρόμον τῆς ἀσκήσεως διερχομένη, προσάγεται Αὐρηλιανῷ τῆς Βασιλείας κρατήσαντι ὑπὸ τῶν πρώην αὐτῆς ἐραστῶν. Θαυματουργήσασα δὲ, καὶ τὸν τοῦ Βασιλέως Παῖδα τεθνηκότα ἐγείρασα, πρὸς τὴν εἰς Χριστὸν Πίστιν ἐπισπᾶται τὸν Βασιλέα. χρόνοις δὲ ὕστερον ἐξετάζεται παρὰ Διογένους τοῦ Ἡγεμόνος Ἡλιουπόλεως, καὶ θαυματουργήσασα πάλιν ἀφίεται. ὑπὸ δὲ Βικεντίου τοῦ διαδεξαμένου τὸν Διογένην, ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Δομνίνης, καὶ τῶν σὺν αὐτῇ.

Στ. Τῶν ἀρετῶν φέρουσα φόρτους, Δομνῖνα,
Θεῷ προσῆλθεν ἔμπροσθεν πανολβίως.

Αὕτη ἔφυ γονέων εὐσεβῶν καὶ πλουσίων. ἐκ βρέφους δὲ τῷ Θεῷ ἑαυτὴν ἀναθεῖσα, ἀσκήσει καὶ λοιπῇ κακουχίᾳ τοῦ σώματος ἑαυτὴν ἐκδέδωκε. καλύβην γὰρ πηξαμένη, παρὰ τῷ τῆς μητρὸς κήπῳ, ἐν ἐκείνῃ διημέρευε, δάκρυσι διηνεκέσιν οὐ μόνον τὰς παρειὰς καταβρέχουσα, ἀλλὰ καὶ τὰ ἐκ τριχῶν περιβλήματα. τοιοῖς δὲ γὰρ ἐσθήμασιν ἐχρῆτο. Περὶ δὲ ἀλεκτρυόνων ᾠδὰς, ὡς τὸν θεῖον Ναὸν εἰσιοῦσα μετὰ τοῦ πλήθους παντὸς, τῷ Δεσπότῃ τῶν ὅλων προσέφερε τὴν ὑμνῳδίαν. τροφὴν δὲ εἶχε φακκὸν βρεχόμενον ὕδατι. καὶ τοῦτον ἅπαντα τὸν πόνον ὑπομείνασα, σώματι λεπτῷ καὶ ἡμιθνήτῳ χρωμένη. Ἀκριβῶς δὲ τῷ περιβολαίῳ κρυπτομένη, οὔτε τινὸς ἐθεάσατο πρόσωπον, οὔτε τις τὸ ἑαυτῆς, ἀλλὰ καὶ μέχρι τῶν γονάτων καλυπτομένη, λεπτὰ καὶ ἄσημα τοῖς προσιοῦσι διελέγετο. Ἐν τούτοις διημερεύουσα καὶ διανυκτερεύουσα, πρὸς τὸν ἑαυτῆς ἐραστὴν καὶ Νυμφίον Χριστὸν μετὰ τῶν θεαρέστων αὐτῆς κατορθωμάτων ἀναφέρεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Ἀντωνίνης.

Στ. Θάλαμος ἡ θάλασσα νυμφικῶς γίνη,



Digitized by Google

Ἀντωνίναν δρύπτουσα Νύμφην Κυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Μαρκέλλος καὶ Ἀντώνιος πυρὶ τελειοῦνται.

Ἦ. Χώνης τίς ἡ κάμινος Ἀθληταῖς δύω.
Οἳ χρυσὸς λάμπουσιν ἐν ταύτῃ πλέον.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Μάρτυρες Σίλβεστρος καὶ Σωφρόνιος ξίφει τελειοῦνται.

Στίχ. Οὐ καρτερῶν, Σίλβεστρε, θρησκεύειν πλάνην.
Σὺ Σωφρονίῳ τὴν τομὴν ἐκαρτέρεις.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιος Νεστόριος ξίφει τελειοῦται.

Στ. Εἰς τοὐπίσω τράχηλον ἐξελκυσμένος,
Νεστοριανὸς τὴν σφαγὴν πρόσω φέρει.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὡς καὶ ζωῆς κληρονόμος, θανάτου ῥυσθεῖσα τοῦ ψυχοφθόρου σαφῶς, ἀνῆγες τοὺς τεθνεῶτας ζῶσα Εὐδοκία, τῷ Χριστῷ ἀνεκραύγαζες· ὁ τῶν Πατέρων ἡμῶν Θεός.

Ναὸς τῆς ἁμαρτίας, προϋπάρξασα Κόρη σαυτὴν καθήρας Θεῷ, Ναὸν ἡγιασμένον, ἐνάρετον δεικνῦσα, Καλλιμάρτυς κραυγάζουσα· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἀσκητικοῖς ἱδρῶσι, πιανθεῖσα ἐλαία ὤφθης κατάκαρπος, ἀθλήσεως τῷ ξίφει, καὶ λύθρῳ Εὐδοκία, πρυχομένη κραυγάζουσα· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ἐκ τῆς πρὸς τὴν κακίαν, καὶ δειναῖς ἁμαρτίαις καταβεβρεθόμενον, Ἀμνὸν τὴν ἁμαρτίαν, τὸν αἴροντα τοῦ Κόσμου, ἡ κυήσασα Δέσποινα, ἐπικρατίας αὐτῶν Παρθένε τήρησόν με.

Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ξύλον πῦρ σοι ἐνδομυχοῦν καὶ ἐν κόλποις, θεῖος ἄνθραξ πάνσεμνε ὑπάρχων, ἔφλεξε Τυράννους ἀλώβητον τηροῦμα.

Ἱδρώτων θείων τὰς ἀμοιβὰς Εὐδοκίσε, ἰαμάτων ἔλαβες πλημμύραν, νόσους θανατοῦσα, καὶ τοὺς νεκροὺς ζωοῦσα.

Νενεκρωμένην ταῖς ἡδοναῖς τὴν ψυχήν μου, Θεοτόκε ζώωσον· ζωὴν γὰρ μόνη ἀπειράνδρως, γεγέννηκας Παρθένε.

Ὁ Εἱρμός.

„ Τὸν Βασιλέα τῶν Οὐρανῶν ὃν ὑμνοῦσι,
„ στρατιαὶ τῶν Ἀγγέλων ὑμνεῖτε, καὶ
„ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ἐλύθης τῶν προσκαίρων, Μάρτυς Εὐδοκία, καὶ ἔφθασας τὸ ἀκρότατον ἔλαμψας πρὸς τὸν Θεὸν διὰ ξίφους ἐπιδημήσασα.

Σὺν Μάρτυσιν ὡς Μάρτυς, καὶ σὺν ταῖς Ὁσίαις, ὡς ἀσκητῶν ἀκροθήνιον ἔλαμψας, θαυματουργὸς Εὐδοκία δειχθεῖσα ἔνδοξε. Θεοτοκίον.

Ὡς θείαν προστασίαν, καὶ ὡς ἀσφαλῆ σε, ἐλπίδα μόνην κατέχω Μητρόθεε, ἁμαρτιῶν καὶ κινδύνων ἐκλυτρῶσαί με. Ὁ Εἱρμός.

„ Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ
„ διὰ σοῦ σεσωσμένοι Παρθένε Ἁγνή,
„ σὺν ἀσωμάτων χορείαις σε μεγαλύνομεν.

Εἰ ἔστι Τεσσαρακοστή, τὸ Φωταγωγικόν. Καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ Β'.

Τοῦ Ἁγίου Μάρτυρος Ἡσυχίου.

Εἰς τό, Κύριε ἐκέκραξα, ἵστ. προσόμοια.

Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Καὶ ἐν βίῳ περίδοξος, καὶ ἐν Μάρτυσι μέγιστος, Ἀθλητὰ Ἡσύχιε γνωριζόμενος ταῖς Οὐρανίαις δυνάμεσι, συνὼν παμμακάριστε, τῷ τῶν ὅλων Βασιλεῖ, μετὰ δόξης παρίστασαι· ὅθεν πίστει σου, τοὺς γενναίους ἀγῶνας εὐφημοῦμεν, καὶ τὴν μνήμην ἐκτελοῦμεν, τὸν εὐεργέτην δοξάζοντες.

Βασιλεῖ τῶν δυνάμεων, στρατευθεὶς διὰ Πίστεως, Ἀθλητὰ Ἡσύχιε δόγμα ἄθεον, παρανόμων τῶν ἠκύρωσας, Βασιλέων ἔνδοξε, καὶ προείλω τοῦ θανεῖν, διὰ πόθον τὸν ἔνθεον. ὅθεν ἅπασα, ἡ σεπτὴ Ἐκκλησία ἑορτάζει, τὴν πανέορτόν σου μνήμην, καὶ θυμηδίας ἀναπλέων. Ὅμοιον.

Ποταμίοις ἐν ῥεύμασιν, ἀπερρίφης Ἡσύχιε, ἐν αὐτοῖς τὸν Δράκοντα τὸν πολέ-

Digitized by Google

πολέμιον, ἐναποπνίξας παμόλβιε. καὶ νῦν ἀπελήλυθας, εἰς αὐτοὺς τοὺς Οὐρανοὺς, τοὺς στεφάνους ληψόμενος, καὶ παρίστασαι, ἐφετῶν ἀκροτάτῳ Ἀθλοφόρε, τῶν Ἀγγέλων συμπολῖτα, τῆς εὐσεβείας ἑδραίωμα.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἡ Θεὸν τὸν ἀχώρητον, ἐν γαστρί σου χωρήσασα, φιλανθρώπως ἄνθρωπον χρηματίσαντα, καὶ τὸ ἡμέτερον φύραμα, ἐκ σοῦ προσλαβόμενον, καὶ θεώσαντα σαφῶς, μὴ παρίδῃς με Πανάγνε, νῦν θλιβόμενον. ἀλλ' οἰκτείρησον τάχος καὶ παντοίας, δυσμενείας τε καὶ βλάβης, τοῦ πονηροῦ ἐλευθέρωσον. Σταυροθεοτ. Ὅμοιον.

Ἐν Σταυρῷ ὡς ἑώρακε, καθηλούμενον Κύριε, ἡ Ἀμνὰς καὶ Μήτηρ σου ἐξεπλήττετο. καὶ τί τὸ ὅραμα ἔκραζεν, Υἱὲ ποθεινότατε, ταῦτά σοι ὁ ἀπειθής, δῆμος ἀνταποδίδωσιν, ὁ παράνομος, ὁ πολλῶν σου θαυμάτων ἀπολαύσας; ἀλλὰ δόξα τῇ ἀρρήτῳ, συγκαταβάσει σου Δέσποτα.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. καὶ οἱ Κανόνες. τοῦ Ἁγίου ὁ Κανών, εἰς δ'.

Οὗ ἡ ἀκροστιχίς.

Τὸν παμμέγιστον Ἡσύχιον αἰνέσω. Ἰωσήφ.

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

„ Ἄσομαί σοι Κύριε ὁ Θεός μου, ὅτι ἐξήγαγες λαὸν δουλείας Αἰγύπτου, ἐκάλυψας δὲ ἅρματα Φαραὼ καὶ τὴν δύναμιν.

Ταῖς θείαις λαμπρότησι τοῦ Σωτῆρος, λελαμπρυσμένος Ἀθλητὰ, τοὺς πίστει τελοῦντας τὴν σὴν ἁγίαν ἄθλησιν, φωτὸς ἐνθέου πλήρωσον.

Ὅλος ἀνακείμενος τῷ Σωτῆρι, τὸν δι' αὐτὸν καρτερικῶς θάνατον ὑπέστης, Ἡσύχιε παμόλβιε, καὶ θείας ζωῆς ἔτυχες.

Νόμοις τοῦ Δεσπότου συμπεφραγμένος, τῶν ἀνόμων πονηρὰς ἀπώσω θωπείας, Ἡσύχιε παμόλβιε, ἄθλων καρτερικώτατα. Θεοτοκίον.

Παρθένος διέμεινας μετὰ τόκον, ὡς πρὸ τοῦ τόκου ἀληθῶς τὸν Κτίστην τεκοῦσα. ὃν αἴτησαι Πανάμωμε, σωθῆναι τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ γ'. Τόξον δυνατῶν.

Ἄνω πρὸς Θεὸν τὸ φρόνημα, ἔχων Ἀθλοφόρε, τῶν διωκτῶν κατεπάλαισας, δυναστείαν ὀλέθριον, ἐναθλῶν καρτερικώτατα.

Μόνον τοῦ Χριστοῦ ἐράσμιον, κάλλος ἀγαπήσας, κάλλη τοῦ Κόσμου παρέδραμες. καὶ ἀθλήσας δικαιοσύνης, ἀνεδέξω μάκαρ στέφανον.

Μίαν ἐπιγνοὺς Θεότητα, τῆς πολυθείας ἀπεβδελύξω τὸ ἄστατον, ἀθλοφόρε καὶ μαρτυρίῳ, ἐλαμπρύνθης ἀξιάγαστε.

Θεοτοκίον.

Ἔστη μέχρι σοῦ ὁ θάνατος. τῆς ἀθανασίας γὰρ, τὴν πηγὴν ἀπεκύησας Παναγία, Χριστὸν τὸν μόνον, ὑπεράγαθον Θεὸν ἡμῶν.

Ὁ Εἱρμός.

„ Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Ἀκαταγώνιστος ἀθλητὴς γέγονας, τοῦ Παντοκράτορος μάκαρ Ἡσύχιε, ἐν τῷ καιρῷ τῶν διωγμῶν τῆς σαρκὸς μὴ φεισάμενος. ὅθεν θανατούμενος ποταμίοις ἐν ὕδασι, τούτοις ἐναπέπνιξας τὸν πολέμιον Δράκοντα. διὸ ἐν εὐφροσύνῃ τὴν θείαν μνήμην σου Μάρτυς ἑορτάζομεν.

Θεοτοκίον. Ὅμοιον.

Ἀκατανόητον καὶ ἀκατάληπτον, ὑπάρχει Δέσποινα Θεοχαρίτωτε, τὸ πεπραγμένον ἐπὶ σοὶ φρικτὸν ὄντως Μυστήριον. τὸν γὰρ ἀπερίληπτον συλλαβοῦσα ἐκύησας, σάρκα περιθέμενον ἐξ ἁγνῶν τῶν αἱμάτων σου. ὃν πάντοτε Ἁγνὴ ὡς Υἱόν σου, δυσώπει τοῦ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀπειρόγαμος Ἀγνὴ καὶ Μήτηρ σου, Χριστὲ ὁρῶσά σε νεκρὸν κρεμάμενον, ἐπὶ τοῦ ξύλου μητρικῶς θρηνοῦσα ἀπεφθέγγετο. τί σοι ἀνταπέδωκε τῶν Ἑβραίων ὁ ἄνομος, δῆμος καὶ ἀχάριστος ὁ πολλῶν καὶ μεγάλων σου, Υἱέ μου δωρεῶν ἀπολαύσας; ὑμνῶ σου τὴν θείαν συγκατάβασιν.



Digitized by Google

ᾨδὴ δ'. Ὁ Εἱρμός.

„ Δι' ἀγάπησιν οἰκτιρμῶν τῆς σῆς εἰκό-
„ νος, ἐπὶ Σταυροῦ σου ἔστης, καὶ ἐτά-
„ κησαν Ἔθνη. σὺ γὰρ εἶ φιλάνθρωπε, ἰ-
„ σχύς μου καὶ ὕμνησις.

Γενναιότητι πανόλβιε διανοίας, τῷ δυσσεβεῖ Τυράννῳ, ἀντετάξω ξοάνοις, θύειν σε προστάσσοντι, Ἡσύχιε ἔνδοξε.

Ἱερεῖον ὥσπερ ἄμωμον προσηνέχθης, τῷ ὑπὲρ σοῦ τυθέντι, διὰ σπλάγχνα ἐλέους, μέγιστε Ἡσύχιε, μαρτύρων ἀγλάϊσμα.

Στηριγμός σοι καὶ κραταίωμα ὁ Δεσπότης, ἐν τῷ καιρῷ τῶν ἄθλων, πανοίδιμε ὤφθη. ὅθεν τὸν ἐπίκηρον οὐκ ἐπτήξας θάνατον. Θεοτοκίον.

Τὸν ἀκήρατον βλαστήσασα Κόρη Βότρυν, ἀθανασίας γλεῦκος, ἀποστάζοντα πᾶσιν, ὤφθης παναμώμητε, καὶ Μήτηρ ἀλόχευτος.

ᾨδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Ὁ νοῦς σου τῷ φωτὶ, τῷ ἀΰλῳ λαμπόμενος, διέλυσε τῆς ἀπάτης, τὴν πολύθεον πλάνην, Ἡσύχιε μακάριε.

Νοήσεσι φαιδραῖς, καὶ καλαῖς ἀναβάσεσι, θεούμενος ἀθείας, Ἀθλοφόρε παμμάκαρ, τὸ ἄστατον διέφυγες.

Ἡσύχασας λιπὼν, πολυτάραχον ἄγνοιαν, καὶ εἴληφας Ἀθλοφόρε, ἀντὶ κόπων καὶ πόνων, τὴν θείαν ἀγαλλίασιν. Θεοτοκίον.

Σὺ μόνη ἐπὶ γῆς, τὸν οὐράνιον τέτοκας, παναμώμε Θεὸν Λόγον. ὃν ὑμνεῖ πᾶσα κτίσις, ὡς Ποιητὴν καὶ Κύριον.

ᾨδὴ ς'. Ἐβόησε προτυπῶν.

Ὑψώσας σου, πρὸς Θεὸν τῆς καρδίας τὸν ἔρωτα, ἀπερρίφης, ποταμίοις ἐν ῥεέθροις Ἡσύχιε, ἐν αὐτοῖς τὸ τέλος, τὸ μακάριον Μάρτυς δραμούμενος.

Χειμάῤῥους σε, τῆς τρυφῆς ἐπαξίως ἐδέξατο, δεδεγμένον, τὸ μακάριον τέλος Ἡσύχιε, ποταμοῦ ἐν ῥείθροις, ἐν ᾧ στίφος Δαιμόνων ἀπέπνιξας.

Ἰσχύϊ σε, καὶ δυνάμει παμμάκαρ τοῦ Πνεύματος, μυριάδας ἀοράτων ἐχθρῶν κατεπάτησας, καὶ στεφθεὶς ταῖς νίκαις, τῶν Ἀγγέλων χοροῖς συνηρίθμησαι. Θε.

Οἰκήσας σου, τὴν ἁγίαν γαστέρα ὁ Κύριος, Θεοτόκε, τῆς Τριάδος τερπνὰ καταγώγια, ἐκτελεῖ τοὺς πίστει, ἀληθείας σε νῦν μακαρίζοντας. Ὁ Εἱρμός.

„ Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν
„ τριήμερον, ὁ Προφήτης Ἰωνᾶς, ἐν
„ τῷ κήτει δεόμενος, ἐκ φθορᾶς με ῥῦσαι,
„ Ἰησοῦ Βασιλεῦ τῶν δυνάμεων.

Εἰ ἔστι Μ΄. τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Β΄. Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Θεοδότου Ἐπισκόπου Κυρηνείας.

Στίχ. Ἄθλου πεπώλησαι, Θεόδοτε, στιγμάτων,
Εἰ καὶ μετ' εἰρήνης σε Χριστὸς λαμβάνει.
Δευτέρῃ ἔβη οὐρανίους Θεόδοτος εἰς ὅρμους.

Οὗτος ὑπῆρχεν ἐπὶ Λικινίου Βασιλέως, καὶ Σαβίνου Ἡγεμόνος τῆς Κύπρου. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν, τῷ Ἡγεμόνι παραστὰς, τύπτεται βουνεύροις, εἶτα κρεμᾶται, καὶ τὰς σάρκας ξέεται, καὶ ἐπὶ πυρωθέντος σιδηροῦ κραββάτου ἐφαπλοῦται. καὶ παραδόξως τῇ τοῦ Θεοῦ χάριτι ἀλώβητος τηρηθεὶς, ἥλοις ἐνεπάρη τοὺς πόδας, καὶ τρέχειν ἠναγκάζετο. Βληθεὶς δὲ ἐν τῇ φυλακῇ, ἐπεὶ παυσαμένου τοῦ διωγμοῦ, δόγματι Κωνσταντίνου τοῦ Μεγάλου Βασιλέως, ἀπελύθη τῆς φρουρᾶς κατὰ τὴν ἐννέα καὶ δεκάτην τοῦ Ἰαννουαρίου, ἐν ᾗ τὴν μνήμην αὐτοῦ ἑορτάζομεν. Ἔτος δὲ διαγενόμενος δεύτερον, πρὸς Κύριον ἐξεδήμησε, δευτέραν ἄγοντος Μαρτίου. διὸ καὶ πάλιν ἑορτάζεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Κοΐντου τοῦ Θαυματουργοῦ.

Οὗτος γεγέννηται μὲν ἐν Φρυγίᾳ, καὶ παιδεύεται τὴν εὐσέβειαν. καταλαβὼν δὲ τὴν Νεολίδα Κώμην, ἔλεον τοῖς δεομένοις παρεῖχε. Κατὰ δὲ τοὺς καιροὺς Αὐρηλιανοῦ τοῦ Βασιλέως, ὁ Ἡγεμὼν Ῥάφος, παραινῶν αὐτὸν θῦσαι τοῖς Εἰδώλοις, ἐπεὶ ληφθεὶς Δαίμονι, εὐξαμένου τοῦ Ἁγίου, ἰάθη, ἀφῆκεν αὐτὸν, δώροις τὴν εὐεργεσίαν ἀμειψάμενος. Αὖθις δὲ ἐν τῷ Ναῷ τῶν Εἰδώλων, ἐπεὶ σεισμοῦ γενομένου, ὅ,τε Ναὸς καὶ τὰ ἐν αὐτῷ κατέπεσον

Ξόα-

Digitized by Google

Βόαμα, ἐκφυγόντες, κατέλιπον τὸν Ἅγιον. Μετὰ δὲ τὸν σεισμὸν, τεσσαράκοντα διαγενομένων ἡμερῶν, καταλαβὼν ὁ Ἄρχων Κλεάρχης τὸν τόπον, δεισιδαιμονῶν, καὶ περὶ τὴν θρησκείαν τῶν Εἰδώλων ἐπτοημένος, κατεαγῆναι τὰ σκέλη τοῦ Ἁγίου προσέταξεν. ἃ παραυτίκα τῇ δυνάμει Χριστοῦ, ἄρτια καὶ ὑγιῆ κατέστησαν. Δεκάτου δὲ διαγενομένου χρόνου, μετὰ τὴν τῶν σκελῶν αὐτοῦ συντριβὴν, ἐν ᾧ περιῄει, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἰώμενος, καὶ πτωχοῖς ἐπαρκῶν, πρὸς Κύριον ἐξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Νέστορος καὶ Τριβιμίου.

Στίχ. Ὁ τράχηλον Νέστορος πλήξας τῷ ξίφει,
Πληγὴν ὁμοίαν ἐν τρίβει Τριβιμίῳ,
Νέστορα δ' οὐκ ἔλαθε συντμηθέντα δευτερίη ἧλιξ.

Οὗτοι, Χώρας μὲν ὑπῆρχον τῶν Κυραιωτῶν, Πόλεως δὲ Πέργης. ἐπὶ δὲ τῆς Βασιλείας Δεκίου δυσσεβοῦς, παρὰ τῶν Εἰδωλολατρῶν παραδοθέντες τῷ τῆς Χώρας Ἄρχοντι, τὸν Χριστὸν κηρύττοντες, γυμνωθέντες ἐτύφθησαν βουνεύροις ξηροῖς, εἶτα κρεμασθέντες, ἐξέσχισαν ἄχρι καὶ τῶν σπλάγχνων αὐτῶν. Ἐπεὶ δὲ τὴν γνώμην ἀμετάθετον εἶχον, μαχαίρᾳ τέμνονται τὰς κεφαλάς.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἀποστόλου Παρμενᾶ, ἑνὸς τῶν ζ'. Διακόνων.

Στ. Ἔχει σε τύμβος, ἀλλὰ μέχρι σαρκίου,
Ψυχὴ γὰρ ἡ σὴ, Παρμενᾶ μετ' Ἀγγέλων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Τρωαδίου, καὶ τῶν σὺν αὐτῷ Μαρτυρησάντων ἐπὶ Δεκίου Βασιλέως.

Στίχ. Μὴ μέλλεις, Τρωάδιε, θνήσκειν ἐκ ξίφους.
Μὴ μέλλε, καὶ μέλλησιν οὐχ ἕξεις στέφους.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Παρθένος Εὐθαλία ξίφει τελειοῦται.

Στ. Υἱὸν φιλοῦσα Μητροπαρθένου Κόρης,
Τομὴν ὑπέστη Καλλιπάρθενος Κόρη.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Μάρτυρες, Ἀνδρόνικος καὶ Ἀθανασία, ξίφει τελειοῦνται.

Στ. Ἀθανασίᾳ συνθανόντα τῇ πάνυ.
Πεπείσμεθα ζῆν Ἀνδρόνικον τὸν πάνυ.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„ Ἀβραμιαῖοι ποτὲ, ἐν Βαβυλῶνι Παῖ-
„ δες, καμίνου φλόγα κατεπάτησαν,
„ ἐν ὕμνοις κραυγάζοντες· ὁ τῶν Πατέρων
„ Θεὸς εὐλογητὸς εἶ.

Νεανικῶς τῷ ἐχθρῷ, περιπλακεὶς τὴν τούτου, ἰσχὺν παμμάκαρ ἐταπείνωσας, κραυγάζων Ἡσύχιε· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἀπὸ περάτων τῆς γῆς, ἕως περάτων Μάρτυς, ἡ σὴ ἀνδρεία καταγγέλλεται, καὶ τὰ κατορθώματα, καὶ ἡ βεβαία πίστις, Ἡσύχιε Θεόφρον.

Ἰσχυροτάταις νευραῖς, Μάρτυς ἀπηγχόνησας, τῶν σῶν ἀγώνων τὸν ἀντίπαλον, θάνατον ἐπίδοξον, ἐν πνιγμονῇ ὑδάτων, Ἡσύχιε ἐδέξω. Θεοτ.

Νενεκρωμένους ἡμᾶς, τῇ ἁμαρτίᾳ πάντας, ζωὴν τεκοῦσα ἀνεζώωσας. διό σοι κραυγάζομεν, Θεοκυῆτορ Κόρη, ἀεὶ δεδοξασμένη.

Ὠδὴ η'. Πάντα τὰ ἔργα τοῦ Θεοῦ.

Ἐναπεδύσω ἀνδρικῶς πρὸς τοὺς ἀγῶνας, Χριστὸν ἔχων συλλήπτορα ἔνδοξε. καὶ κατὰ κράτος νικήσας, ἐδέξω στέφος ἀφθαρσίας, καὶ ζῇς εἰς τοὺς αἰῶνας.

Ἐκτήσας τὰ ῥάματα σοφὲ τῆς ἀθείας, ἱεροῖς ἀγωνίσμασιν, ἐμβληθεὶς ἐν ποταμῷ, ἐν τούτῳ ἐδέξω τὸ τέλος, ὑμνῶν τὸν Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὡς βασιλεύσας εὐκλεῶς κατὰ τῆς πλάνης, βασιλείους κατέλιπες ἔνδοξε διατριβάς τε, καὶ μέγα ἀξίωμα, καὶ τῷ Βασιλεῖ τοῦ παντὸς προσεκολλήθης. Θεοτ.

Ἱερώτατος σε καλεῖ Προφήτης, πύλην ἀδιόδευτον Ἄχραντε, ὁ Κτίστης δι' ἧς διῆλθεν, ὡς μόνος ἐπίσταται, πάλιν κεκλεισμένην λιπὼν ὡς πρὸ τοῦ τόκου.

Ὁ Εἱρμός.

„ Πάντα τὰ ἔργα τοῦ Θεοῦ, καὶ πᾶσα κτί-
„ σις εὐλογεῖ τὸν Κύριον. Ὅσιοι καὶ
„ ταπει-

Digitized by Google

ταπεινοὶ τῇ καρδίᾳ ὑμνεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ὡραῖος τῷ εἴδει τῆς ψυχῆς Ἡσύχιε, ἐγνωρίσθης καὶ τοῦ σώματος. σὺ γὰρ ἀξίωμα, καὶ πλοῦτον κατέλιπες, καὶ δόξαν ἐπίκηρον, καὶ μόνῳ τῷ Χριστῷ ἠκολούθησας, δήμοις Μαρτύρων συναπτόμενος.

Συνέτριψας ξόανα σοφὲ Ἡσύχιε, ἀπωλείας καὶ ἠγάπησας, μᾶλλον θανεῖν βιαιοτάτως, ζωὴν ὅπως κερδήσῃς τὴν μέλλουσαν, σὺν πᾶσι τοῖς καλῶς ἐναθλήσασιν. ὅθεν σε πίστει μακαρίζομεν.

Ἡ μνήμη σου σήμερον ἡμῖν Ἡσύχιε, Θεομάκαρ ἐπεδήμησε, πάντων φωτίζουσα καρδίας, ἐν ταύτῃ τῶν πιστῶν εὐφημούντων σου, τοὺς πόνους τὰ γενναῖα παλαίσματα, τὰ τῶν πόνων ἀγωνίσματα.

Θεοτοκίον.

Φῶς ἡμῖν ἀνέτειλεν ἐκ σοῦ παναμωμε, ὁ τῶν ὅλων μόνος Κύριος, καὶ κατελάμπρυνε τὰς πάντων καρδίας, Θεϊκαῖς ἐπιγνώσεσι, καὶ σκότος ἀγνωσίας ἐμείωσεν. ὅθεν σε πάντες μακαρίζομεν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς σύνηθες, καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ Γ΄.

### Τῶν Ἁγίων Μαρτύρων Εὐτροπίου, Κλεονίκου, καὶ Βασιλίσκου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστ. προσόμοια.

Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες.

Ἰσάριθμοι Μάρτυρες στεῤῥῶς, ἀνταγωνισάμενοι, τοῖς ὠμοτάτοις δικάζουσι, καὶ ἅπαν πρόσχημα, δεινοτάτων πόνων, πίστει ὑπομείναντες, τῆς ἄνω Βασιλείας ἐτύχετε, διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος. Ὅμοιον.

Εὐτρόπιον, Κλεόνικον στεῤῥὸν, Βασιλίσκον ᾄσμασι, πνευματικοῖς εὐφημήσωμεν, πυρὶ γὰρ ἔφλεξαν, ἀθείας ὕλην, εὐσεβείας χάριτι, καὶ νῦν φωταγωγοῦσι τὰ πέρατα, θείοις πυρσεύμασιν, ὡς φωστῆρες διαυγέστατοι, ὡς τὴν πλάνην πᾶσαν ἀμαυρώσαντες. Ὅμοιον.

Κάρας ἐκτεμνόμενοι ἐχθροῦ, κάραν συνετρίψατε, ὡραιοτάτοις ποσὶν ὑμῶν, γενναῖοι Μάρτυρες, ἀπλανεῖς ἀστέρες, ἱερεῖα ἔμψυχα, Ναοῦ ἐπουρανίου κειμήλια, Εὐτρόπιε ἔνδοξε, Βασιλίσκε καὶ Κλεόνικε, τὴν εἰρήνην πᾶσιν ἐξαιτούμενοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Νοσοῦσαν παννύμνητε δεινῶς, τὴν ψυχήν μου πάθεσι, πονηροτάτοις θεράπευσον, ἡ τὸν ἀκέστορα, καὶ Σωτῆρα πάντων, τὸν Χριστὸν κυήσασα, τὸν πᾶσαν μαλακίαν ἰώμενον, τὸν τραυματίσαντα, Διαβόλου τὴν κακόνοιαν, καὶ θανάτου ἡμᾶς ἀπαλλάξαντα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σφαγὴν σου τὴν ἄδικον Χριστὲ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι· Τέκνον γλυκύτατον, πῶς ἀδίκως θνήσκεις, πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι, μὴ λίπῃς μόνην με, εὐεργέτα πολυέλεε, τὴν Μητέρα καὶ δούλην σου δέομαι.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν. Οἱ Κανόνες τοῦ Τριῳδίου, εἰ ἔστι Μ΄. εἰ δ΄ οὖν τῆς Ὀκτωήχου εἰς ι΄. καὶ τῶν Ἁγίων εἰς δ΄. ὁ Κανών. Οὗ ἡ ἀκροστιχίς.

Τριῶν Ἀθλητῶν συμφρόνων μέλπω πόνους. Ὠδὴ α΄. Ἦχος δ΄.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Τῆς θείας φωτοχυσίας λάμψεσι, καταστραπτόμενοι, καὶ Ἀθλητῶν στεφάνοις ἀληθῶς, λαμπρυνόμενοι Ἅγιοι, Τριάδος οἱ ἰσάριθμοι, ταύτην ἡμῖν ἐξευμενίσασθε.

Ῥημάτων ἐνηχηθέντες Μάρτυρες, πνευματικῶς Θεϊκῶν, καὶ συνημμένοι ἐπὶ τὸ αὐτὸ, τῆς εἰρήνης τὸν σύνδεσμον, ἐν ἑαυτοῖς κατέχοντες, ἐχθροῦ τὴν πλάνην ἐτροπώσασθε.

Ἰσάριθμοι τῆς Τριάδος Μάρτυρες, ἀναδειχθέντες τρανῶς, ἴσα φρονήσαντες

πί-

Digitized by Google

πίστει εἰς αὐτὸν, ἶσον εὕρατε στέφανον, Εὐτρόπιε Κλεόνικε, σὺν Βασιλίσκῳ οἱ καλλίνικοι. Θεοτοκίον.

Ὡραῖος ὁ ἐκ γαστρός σου Δέσποινα, ὑπὲρ Υἱοὺς τῶν βροτῶν, ὁ πρὸ αἰώνων Λόγος προελθὼν, σκυθρωπὸν ἐξηφάνισε, τὸ τοῦ θανάτου ἄχραντε, ζωὴν αἰώνιον ἡμῖν δεδωκώς.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Νευρούμενος ἀστραπαῖς, φερωνύμων τε ἀληθῶς Εὐτρόπιε, τροπαιοφόρος γέγονας, κατὰ δυσμενῶν Μάρτυς ἔνδοξε.

Ἀθάνατον ἐναθλῶν, κλέος τῆς νίκης ἐμφανῶς εἴληφας, Μάρτυς σοφὲ Κλεόνικε, τῷ Σταυρῷ γενναίως ἡλούμενος.

Θωρακισθεὶς ἐν τῷ Σταυρῷ, βασιλικῶς ἑλληνικὴν ἔτρεψας, πολυθείαν ἔνδοξε, Μάρτυς Βασιλίσκε ἀοίδιμε. Θτ.

Ἐπίμονόν σε γαληνὸν, καὶ ἀδιάσπαστον πιστοὶ ἄγκυραν, Θεογεννῆτορ ἔχοντες, πλάνης τῶν δεινῶν λυτρωθείημεν.

Ὁ Εἱρμός.

„Εὐφραίνεται ἐπὶ σοὶ, ἡ Ἐκκλησία σου „Χριστὲ κράζουσα· σύ μου ἰσχὺς Κύριε, „καὶ καταφυγὴ καὶ στερέωμα.

Κά. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τριάδα τὴν σεπτὴν, ἡ τριὰς τῶν Μαρτύρων, ἐνώπιον πολλῶν ὡμολόγησε δήμων, καὶ δήμοις συνηρίθμηνται, Ἀσωμάτων ἀθλήσασα, τούτους σήμερον, ἀνευφημήσωμεν πίστει, ἑορτάζοντες, τὴν ἱερὰν αὐτῶν μνήμην, καὶ κοσμοχαρμόσυνον.

Θεοτοκίον. Ὅμοιον.

Ἐλπὶς Χριστιανῶν, Παναγία Παρθένε, ὃν ἔτεκες Θεὸν, ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε, σὺν ταῖς ἄνω δυνάμεσι, δοῦναι ἄφεσιν ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν, βίου τοῖς πίστει καὶ πόθῳ, ἀεί σε δοξάζουσι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὢ θαύματος καινοῦ, ὢ φρικτοῦ Μυστηρίου. ἐβόα ἡ Ἁγνὴ καὶ Παναμώμος Μήτηρ, ἐν ξύλῳ ὡς ἔβλεψεν ἁπλωθέντα τὸν Κύριον. ὁ τὰ σύμπαντα, ἐν τῇ δρακὶ περιέχων, ὡς κατάκριτος, ὑπὸ χειρῶν παρανόμων, Σταυρῷ κατακείνεται.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἡδρασμένοι ἐν τῇ πέτρᾳ τῆς ἀληθείας, ταῖς προσβολαῖς ἀκλόνητοι ὤφθητε βασάνων, Μάρτυρες πολύαθλοι, τῆς πλάνης ὀχύρωμα, ἅπαν ἐμφανῶς ἐκμοχλεύσαντες.

Μετακότες ὅλην ἔφεσιν πρὸς τὸν Κτίστην, δεσμοῖς περιτειρόμενοι καὶ ξεσμοῖς ἀλγοῦντες, ὤφθητε ἀνάλωτοι, Κλεόνικε Εὐτρόπιε, σὺν τῷ Βασιλίσκῳ ἐν σκάμμασι.

Ὡραιοτάταις ἀκτῖσι διηυγασμένοι, ὡς τὸν Χριστὸν προσβλέποντες ἔνθα Ἀθλοφόροι, θᾶττον ὑπεμάνατε πυρὰς τὴν ἐπίχυσιν, τοὺς ὑπεναντίους συμφλέξαντες. Θεοτοκίον.

Νεμομένην ῥύμην ἔστησας τοῦ θανάτου, ῥεῖθρον ζωῆς κυήσασα Χριστὸν ὃν δυσώπει, ἁμαρτίας κάμινον, ψυχῆς κατασβέσαι μου, Μῆτερ τοῦ ἐλέους πανάχραντε.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Στερρότητι νοὸς, φληναφείαν ἐθραύσατε, ὠμότητος αἰκιζόντων, καταπτύσαντες θράσος, Μάρτυρες καρτερώτατοι.

Ὑπὲρ τῶν γηΐνων, οὐρανίων φρονήσαντες, εὐγένειαν ἐπανθοῦσαν, καὶ στρατείαν καὶ πλοῦτον, καὶ δόξαν κατελείψατε.

Μανίαν ἀπηνῆ, τυράννων οὐ πτήξαντες, πυρός τε καὶ τῶν μαστίγων, καὶ ξεσμῶν, καὶ βασάνων, ἀνδρείως κατεπτύσατε. Θεοτοκίον.

Φορέσας με ἐκ σοῦ, Θεοτόκε ὁ πλάσας με, προῆλθε διπλοῦς τῇ Φύσει, ἐν μιᾷ ὑποστάσει, ἀφύρτως γνωριζόμενος.

Ὠδὴ ς΄. Θύσω σοι μετὰ φωνῆς.

Ῥωσθεῖσα, ξυνωρὶς τῶν Μαρτύρων αὐτάδελφος, μετὰ πολλὰς τὰς βασάνους, τῷ Σταυρῷ παγεῖσα σαφῶς ἐξέφθης, ἀκροτάτως, σὺν Εὐτροπίῳ ὁ θεῖος Κλεόνικος.

Ὁδεύσας, Μαρτυρίου πορείαν ἀκλόνητον, ἥλοις πειρόμενος ἅμα, Βασιλίσκος πόδας συνέθλασε, τῶν Δαιμόνων, τὰς κεφαλὰς πατήσας ὁ ἔνδοξος.

Ναόν σου, τὴν καρδίαν λαξεύσας ἀνέτρεψας, ἄγαλμα πλάνης συμφλέξας, καὶ

Digitized by Google

καὶ τὸ στέφος ξίφει Μάρτυς ἐδέξω, ἐκτμηθεὶς σου κεφαλὴν Βασιλίσκε ἀοίδιμε.

Θεοτοκίον.

Ὡς ῥόδον, τῶν ἀκανθῶν ἐν μέσῳ εὑράμενος, καὶ καθαρώτατον κρῖνον, καὶ κοιλάδων ἄνθος ὦ Θεομήτορ, ὁ Νυμφίος, ἐν τῇ γαστρί σου Λόγος ἐσκήνωσε.

Ὁ Εἱρμός.

„ Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε,
„ ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ Δαιμόνων
„ λύθρου κεκαθαρμένη, τῷ δι' οἶκτον, ἐκ
„ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Γ΄. Μνήμη τῶν Ἁγίων Μαρτύρων, Εὐτροπίου, Κλεονίκου, καὶ Βασιλίσκου.

Στ. Ὁ χρηστὸς ἡμῖν Εὐτρόπιος τοὺς τρόπους,
Ἐφεῦρε Χριστὸν καὶ τέλος διὰ ξίφους.
Καὶ Κλεόνικος εὐκλεᾶ νίκην ἔχει,
Σταυρῷ κρεμασθεὶς, ὡς ὁ Χριστὸς μου πάλαι.
Εἱρκτὴν τὸ σῶμα, καὶ πρὸ τῆς εἱρκτῆς ἔχων,
Εἱρκτῶν λυτροῦται Βασιλίσκος ἐκ δύω.
Ἐν ξύλῳ Εὐτρόπιος Σταυροῖο τρίτῃ προσεπήχθη.

Οὗτοι ὑπῆρχον, κατὰ τοὺς καιροὺς Μαξιμιανοῦ, συστρατιῶται καὶ συγγενεῖς τοῦ Ἁγίου Μάρτυρος Θεοδώρου τοῦ Τύρωνος, ἐκ τῆς Καππαδοκῶν ὄντες Χώρας. Παρίστανται οὖν Ἀσκληπιοδότῃ τῷ ἡγεμόνι, καὶ τύπτονται σφοδρῶς. ὁ δὲ Ἅγιος Εὐτρόπιος κατὰ τοῦ στόματος λαμβάνει πληγὰς, ὅτι τὸν Ἡγεμόνα διύβρισαν. Ἔνθα, οἱ μὲν τύπτοντες ἀπημβλυώθησαν διὰ τὸ σύντονον τῆς βασάνου, οἱ δὲ Μάρτυρες, ἐπιφανέντος αὐτοῖς τοῦ Κυρίου, καὶ τοῦ ἐνδόξου μάρτυρος Θεοδώρου, γεγόνασιν ὑγιεῖς. Ἐπεὶ οὖν τῇ παραδοξοποιΐᾳ ταύτῃ πολλοὶ ἐπίστευσαν τῷ Χριστῷ, τὴν διὰ ξίφους δέχονται τελευτήν. Μεταβαλλομένου οὖν τοῦ Ἡγεμόνος, καὶ κολακείαις ἐπιχειροῦντος τὸν Ἅγιον Κλεόνικον μεταθέσθαι ἀπὸ τῆς Χριστοῦ πίστεως, καὶ τὰ μὲν ὑπισχνουμένου, τὰ δὲ καὶ διδόντος, οὐδέν τι μᾶλλον ὁ Ἅγιος μαλακισθεὶς, ἀλλὰ καὶ παροξυνθεὶς, ἐγέλασε μετὰ τῆς ἀπονοίας τοῦ Ἡγεμόνος, κατέκλασε δὲ τὴν τῶν Εἰδώλων ἀθέμειαν. Ὅθεν θυσίας αὐτοῖς ἐπιτελουμένης διὰ προσευχῆς, τὸ ξόανον κατέβαλε τῆς Ἀρτέμιδος. Ἐκκαύσαν οὖν πίσσαν καὶ ἄσφαλτον ἐν τρισὶ λέβησι κατέχεον ἐπ' αὐτούς. καὶ αὐτοὶ μὲν ἀλώβητοι διεφυλάχθησαν, οἱ δὲ ὑπουργοὶ καὶ ὑπηρέται τῶν τοιούτων κατεφλέχθησαν. εἶτα σταυροῦται Κλεόνικος καὶ Εὐτρόπιος καὶ τελειοῦνται. ὁ δὲ Ἅγιος Βασιλίσκος ἐν τῇ φρουρᾷ τεθεὶς, μετὰ χρόνον τινὰ, καὶ αὐτὸς τελευτᾷ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἱερομάρτυρος Θεοδωρήτου, Πρεσβυτέρου Ἀντιοχείας.

Στίχ. Χωρεῖν ἔχει πῶς τῆς Ἐδὲμ τὸ Χωρίον
Καὶ τὸν Θεοδώρητον ἔνδον τὸν μέγαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Ζήνων καὶ Ζωΐλος, ἐν εἰρήνῃ τελειοῦνται.

Στίχ. Ζωῆς λύσις Ζήνωνι καὶ τῷ Ζωΐλῳ,
Ζωῆς ὑπῆρξε κρείττονος παραιτία.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ὁσία Πιαμοῦν ἡ Παρθένος, ἐν εἰρήνῃ τελευτᾷ.

Στ. Κρωσσωτὰ χρυσᾶ Πιαμοῦν μελαιφόρος,
Ταῖς ἀρεταῖς ἅπασιν ἠμφιεσμένη.
Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Νῦν ἐπαξίως, τῆς αἰωνίου ζωῆς λαβόμενοι, ὥσπερ ἐμάθουσιν ἔφη ὁ Ποιητής, Ἀθλοφόροι ἀναμέλπετε. εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Μυσταγωγίαν, τὴν ὑπὲρ νοῦν καὶ κλέος καὶ στέφανον, κάλλος διαμένον ἄλυπον χαρμονὴν, Ἀθλοφόροι ἐκληρώσασθε. εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Ἐν τῇ καμίνῳ, τῇ τῶν βασάνων καρτερήσαντες, πλάνης ὑπηρέτας Μάρτυρες ἀκλινεῖς, κατεφλέξατε κραυγάζοντες. εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Θεοτοκίον.

Λῦσον Παρθένε, ἁμαρτιῶν μου τὸ χειρόγραφον, σῶσον ἐκ παντοίας βλάβης καὶ προσβολῆς, τοῦ δολίου ἵνα κράζω σοι· εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις πανάμωμε Δέσποινα.

Ὠδὴ

Digitized by Google

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Πλήρης εὐφροσύνης καὶ χαρᾶς, φαιδρὰς ἐφέστηκε, νῦν ἡ ἐτήσιος, ὑμῶν πανήγυρις Ἅγιοι. ἐν ᾗ πόθῳ εὐφημοῦντες ὑμᾶς, τῷ στεφαδότῃ καὶ Θεῷ ὕμνοις κραυγάζομεν. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὡραῖοι οἱ μώλωπες ὑμῶν, ὥσπερ χρυσίον γὰρ καὶ λίθος τίμιος, Θεῷ ἐδείχθησαν Μάρτυρες. οὓς ἐν πίστει προσκυνοῦμεν ἡμεῖς, τῷ ἐνισχύσαντι ὑμᾶς Θεῷ κραυγάζοντες. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Πηγὴ χαρισμάτων ἀψευδής, Χριστῷ ἐνδέδοται, σαφῶς τοῖς Μάρτυσι, καρπογονεῖ ἡ ἄγονος φέρουσα, καὶ ἡ ἄνυδρος ἐκβλύζει κρουνούς, καὶ ἡ ἀλόγων λογικῶς φύσις ἐφέστηκεν· εὐλογεῖτε πάντα τὰ ἔργα βοῶσα τὸν Κύριον.

Θεοτοκίον.

Ὁ λόγος οἰκήσας ἐν τῇ σῇ, κοιλίᾳ ἄχραντε σὰρξ ἐχρημάτισε, φύσιν θεώσας μου Δέσποινα, ὁ ὑπέρθεος τῇ ἄκρᾳ αὐτοῦ φιλανθρωπίᾳ. ὃν πιστῶς ὑμνοῦντες ψάλλομεν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Ὁ Εἱρμός.

„Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε. πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ Παῖδες κραυγάζοντες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Νῦν τρανῶς τὴν δόξαν Κυρίου, στεφανηφόροι καθορῶντες, σὺν ταῖς ἀσωμάτοις χορείαις καὶ τῶν Μαρτύρων καὶ τῶν δικαίων αὐτοῦ, Μάρτυρες οἱ τεσσαράριθμοι, ὑπὲρ ἡμῶν θερμῶς πρεσβεύσατε.

Ὅλον ἑαυτοῖς τὸν Σωτῆρα, εἰσοικισάμενοι ἀξίως, Πόλις ἐγνωρίσθητε Θεοῦ, ἑδραιουμένη θείαις ἐπάλξεσιν, Εὐτρόπιος καὶ Κλεόνικος, σὺν Βασιλίσκῳ οἱ Θεόφρονες.

Ὑπὲρ τῶν πιστῶς ἐκτελούντων, τὴν παναγίαν ὑμῶν μνήμην, καὶ τοὺς ἱεροὺς ἄθλους ὑμνούντων, ἀγῶνας θείους Μάρτυρες ἔνδοξοι, τὸν Κτίστην ἱκετεύσατε, ἁμαρτιῶν εὑρεῖν συγχώρησιν.

Θεοτοκίον.

Σὺ μόνη ἀντίληψις ὤφθης, καὶ ἡ ἐλπὶς καὶ σωτηρία, σὺ καταφυγή μου καὶ τεῖχος, καὶ τῆς ψυχῆς μου θεία παράκλησις. διό με Ἀειπάρθενε, ἐκ πάσης λύτρωσαι κολάσεως. Ὁ Εἱρμός.

„Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σοῦ Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώσας φύσεις. διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Τὸ φωταγωγικὸν τοῦ ἤχου.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ἡ α'. Ὥρα, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ Δ'.

### Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γερασίμου.

Εἰς τὸ, Κύριε ἐκέκραξα. Στιχηρὰ προσόμοια.
Ἦχος Πλ. δ'.
Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Θεόφρον Γεράσιμε, ἀναπτερώσας τὸν νοῦν, πρὸς Θεὸν διὰ Πίστεως, κοσμικῆς συγχύσεως, ἐβδελύξω τὸ ἄστατον, καὶ τὸν Σταυρόν σου ἀναλαβόμενος, τῷ παντεπόπτῃ κατηκολούθησας, σῶμα δυσήνιον, ἀγωγαῖς ἀσκήσεως τῷ λογισμῷ, θέρμει δουλωσάμενος, τοῦ Θείου Πνεύματος.

Ὅμοιον.

Ἥλιον ὥσπερ πολύφωτον, τῶν ἀρετῶν τῷ φωτί, καὶ θαυμάτων ταῖς λάμψεσιν, εὑρηκὼς Γεράσιμε, ἐν ἐρήμῳ διώδευσας, καὶ τοῖς θηρίοις συνδιαιτώμενος, τούτοις προστάξας πρὸς τὸ δουλεύειν σοι, ὡς θαυμαστὸς Θεός, ὑπάρχει ὁ Κύριος, ὁ θῆρας νῦν, ὥσπερ λογικοὺς βροτοῖς, καθυποτάξας σαφῶς. Ὅμοιον.

Πάντα τὸν βίον διήνυσας, ἐν ἡσυχίᾳ πολλῇ, καὶ ἐν πένθει καὶ δάκρυσι, Μοναστῶν γενόμενος, ἀλείπτης διὰ Πίστεως, ἀκτημοσύνῃ κατακοσμούμενος, καὶ ἐγκρατείᾳ ὡραϊζόμενος, ξένος καὶ πάροικος, ἐπὶ γῆς δεικνύμενος. ὅθεν καλῶν, εὗρες τὴν ἀπόλαυσιν Θεομακάριστε.

Δό-

Digitized by Google

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Σὲ δυσωποῦμεν Πανάχραντε, τὴν προστασίαν ἡμῶν, συγχυθέντες ἐν θλίψεσι, μὴ παρίδῃς τέλεον, ἀπωλέσθαι τοὺς δούλους σου, ἀλλὰ βοήθει τοῦ ἐξελέσθαι ἡμᾶς, τῆς ἐνεστώσης ὀργῆς καὶ θλίψεως, ὦ Θεοδόξαστε, Θεοτόκε Ἄχραντε. σὺ γὰρ ἡμῶν, τεῖχος καὶ βοήθεια, ἀκαταμάχητος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἥλιος Τέκνον ἠμαύρωσε, καὶ ἡ Σελήνη τὸ φῶς, εἰς ζοφῶδες ἱμάτιον, ζοφερῶς μετέβαλε. γῆ κλονεῖται καὶ ῥήγνυται, τὸ τοῦ Ναοῦ σου δὲ καταπέτασμα, κἀγὼ πῶς Τέκνον οὐ διαῤῥήξομαι; σπλάγχνα καὶ ὄμματα, παρειὰς γλυκύτατε καταξαίνω, ἀδίκως σε θνήσκοντα, βλέπουσα Σῶτέρ μου.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογ.

Οἱ Κανόνες ὡς συνήθες, καὶ τοῦ Ἁγίου.

Ὁ Κανών, εἰς δ΄.

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

„Ἄισομαί σοι Κύριε ὁ Θεός μου, ὅτι ἐξήγαγες λαόν, δουλείας Αἰγυπτίων, ἐκάλυψας δὲ ἅρματα Φαραώ, καὶ τὴν δύναμιν.

Ὅπλον κατὰ πάσης τῆς μεθοδείας, τοῦ ἀλλοτρίου κραταιόν, τὴν νηστείαν ἔχοντες, γενναίως πατήσωμεν, τὰ τούτου μηχανήματα.

Ἐλλάμψει τοῦ Πνεύματος Θεοφόρε, καταυγασθεὶς τὰ νοητά, τῆς ψυχῆς σου ὄμματα, πρὸς φῶς ἐνητένισας, δι' ἀρετῆς τὸ ἄδυτον.

Τῶν παρόντων Πάτερ δι' ἀκτησίας, τὸ γεηρὸν ἀποβαλών, ἄχθος ὡς ἀσώματος, Γεράσιμε ἤνυσας, τὸν δρόμον τῆς ἀσκήσεως.

Θεοτοκίον.

Τῆθεν πρὸς οὐράνιον πολιτείαν, ἡμᾶς ἀνείλκυσεν ἁγνή, ὁ ἄχραντος τόκος σου, νηστείας ταῖς πτέρυξιν, εἰς οὐρανοὺς ἀναγαγὼν ἡμᾶς.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

„Ἐν Κυρίῳ Θεῷ μου, ἐστερεώθη ἡ καρδία μου. διὸ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν.

Τῶν παθῶν τὰ θυεία, διὰ νηστείας ἀποκτείναντες, Χριστῷ δι' ἀπαθείας, καὶ καθαρότητος ἐγγίσωμεν.

Πρὸς τὸν ἄϋλον πόθον, τὸν τοῦ Κυρίου Πάτερ Ὅσιε, ἀεὶ ἐνατενίζων, ὕλης πρόσκαιρον κατεφρόνησας.

Τὸν Χριστὸν ἐν τῇ γλώσσῃ, ἔχων ἀεὶ Πάτερ Γεράσιμε, τὸ ἀληθὲς τῶν λόγων, διεβεβαίου ἐν τοῖς θαύμασι. Θεοτοκ.

Ἐν νηστείαις καὶ πόνοις, τὸ ἀσθενὲς ἡμῶν τῆς φύσεως, ῥωννύουσα Παρθένε, κατὰ παθῶν τοῦτο ἐνίσχυσον.

Ὁ Εἱρμός. Ἐν Κυρίῳ Θεῷ μου.

Κα. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τὴν κλίμακα τῶν θείων ἀρετῶν διανύσας, πρὸς νοητῆς θεωρίας ἀνελήλυθας ὕψος, καὶ θείων Μυστηρίων τοῦ Χριστοῦ, ἐμφάσεις ὑπεδέξω καθαράς. διὰ τοῦτο Θεοφόρε, σὲ εὐσεβῶς τιμῶμεν καὶ βοῶμεν· δόξα τῷ ἐνισχύσαντι Χριστῷ, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα. Θεοτοκίον. Ὅμοιον.

Ταῖς χερσίν σου ταῖς θείαις αἷς τὸν Κτίστην ἐβάστασας, Παρθένε Θεοτόκε σαρκωθέντα χρηστότητι, προτείνασα δυσώπησον αὐτόν, λυτρώσασθαι ἡμᾶς ἀπὸ παθῶν, κινδύνων καὶ πειρασμῶν, τοὺς ἀφυμνοῦντάς σε πόθῳ καὶ βοῶντάς σοι. δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου. Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρῷ σου προσπαγέντος ὑπὸ τῶν παρανόμων, καὶ στρατιώτου Σῶτερ λόγχῃ τὴν πλευράν σου νυγέντος, ἡ Πάναγνος ὠδύρετο πικρῶς, καὶ τὸ πολύ σου καὶ φρικτόν, τῆς ἀνοχῆς ἐξίστατο βοῶσα. δόξα τῇ πρὸς ἀνθρώπους σου στοργῇ, δόξα τῇ σῇ χρηστότητι, δόξα τῷ θανάτῳ σου βροτοὺς ἀθανατίζοντι.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

„Τῆς σῆς ἀπὸ τῆς γῆς παρουσίας Χριστὲ ὁ Θεός, προμηνύων ὁ Προφήτης τὴν ἔλευσιν, μετὰ χαρᾶς ἐκραύγαζε, δόξα τῇ δυνάμει σου Κύριε.

Τῆς σῆς ἐν τοῖς βροτοῖς εὐσπλαγχνίας Χριστὲ ὁ Θεός, δεῖγμα παρέσχου τὸν

κα-

Digitized by Google

καιρὸν τῆς ἐγκρατείας Σωτήρ. δι᾽ οὗ ψυχάς, καὶ σώματα καθαίρεις καὶ ἁγιάζεις τῶν δούλων σου.

Τῶν ἀρετῶν τὴν κλίμακα ἀνύσας Σοφέ, μυστικωτέρας θεωρίας ἠξίωσαι. διὸ καὶ χάριν εἴληφας, ὁρᾷν καὶ πρὸ καιροῦ τὰ ἐσόμενα.

Ἱδρῶσι τῶν ἀγώνων σου τῶν ἐνθέων, τὴν ἄγονον κατήρδευσας ἔρημον, καὶ καρποφόρον ἔδειξας, ἀνθρώπους τῷ Χριστῷ συγκομίζουσαν.

Θεοτοκίον.

Ὡς στήριγμα πιστῶν δεδομένη Παρθένε ἁγνή, παρὰ Χριστοῦ τοῦ σὲ δοξάσαντος, δύναμιν ἐν τῷ καιρῷ περίζωσον, ἡμᾶς τῆς ἐγκρατείας ὑμνοῦντάς σε.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

„Ὁ ἀποστείλας τὸ φῶς, καὶ φωτίσας τὸν „ὄρθρον, καὶ δείξας τὴν ἡμέραν, δόξα „σοι δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

Τῆς χαμαιζήλου ἡμᾶς, προσπαθείας οἰκτίρμων, μνηστείᾳ ἀφαρπάσας, πρὸς τὸ ὕψος ἕλκυσον, Ἰησοῦ τῆς σῆς ἀγαπήσεως.

Τῶν προσάντων ταῖς προσβολαῖς, παρατάξεις Δαιμόνων, κατέστρωσας γενναίως, καὶ Χριστὸν Γεράσιμε, σὺ ἀνύμνεις Υἱὸν τοῦ Θεοῦ.

Τὴν τῶν παθῶν διασχὼν, Θεοφόρε ὁμίχλην, φωτὶ τῷ τῆς ἁγνείας, καὶ τῆς καθαρότητος νοητῶς ἐπλησίασας.

Θεοτοκίον.

Ῥύπου ἡμᾶς νοητοῦ, διὰ τῆς ἐγκρατείας ἐκπλύνασα Παρθένε, καθαροὺς παράστησον, δοξολογεῖν τὸν Υἱὸν τοῦ Θεοῦ.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„Ὡς Ἰωνᾶν τὸν Προφήτην, ἐλυτρώσω τοῦ κήτους Χριστὲ ὁ Θεός, κἀμὲ „τοῦ βυθοῦ τῶν πταισμάτων ἀνάγαγε, καὶ „σῶσόν με μόνε φιλάνθρωπε.

Τῆς ἐγκρατείας τῇ αἴγλῃ, ἐλλαμφθέντας ἡμᾶς καταξίωσον, ἰδεῖν τῆς ἐγέρσεως Σῶτερ, τῆς σῆς τὴν θείαν δόξαν καὶ τὴν λαμπρότητα.

Ὡς ἑωσφόρος ἐκλάμψας, ἐν τῷ σκότει τοῦ βίου Γεράσιμε, ἀνθρώπους εἰς φῶς πολιτείας, Ἀγγέλων ἀσωμάτων ἐχειραγώγησας.

Τῇ ἀλχῶν βακτηρίᾳ, κεφαλὰς νοουμένων συνέθλασας, θηρῶν παναοίδιμε Πάτερ, καὶ θῆρας τῆς ἐκείνων ἀνθρώπους διέσωσας.

Θεοτοκίον.

Γνόντες τὸν πάντων Δεσπότην, διὰ σοῦ Θεοτόκε, ἐρρύσθημεν πλάνης τῶν Εἰδώλων, καὶ πόθῳ κυρίως σε Μητέρα Θεοῦ δοξάζομεν.

Ὁ Εἱρμός.

Καὶ τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Δ΄. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γερασίμου.

Στ. Ἔφυ γέρας μοι, καὶ Γεράσιμος φάσκε,
Σῆμα προφανὲς τοῦ διὰ Χριστὸν βίου.
Τῇ δὲ τετάρτῃ Γεράσιμος βιότοιο ἀπέπτη.

Οὗτος, ἐκ παιδὸς τῷ φόβῳ τοῦ Κυρίου στοιχειωθείς, καὶ τὸ τῶν Μοναχῶν σχῆμα περιβαλόμενος, τὴν ἐνδοτέραν ἔρημον τῆς Θηβαΐδος κατέλαβεν, ἐπὶ Κωνσταντίνου Βασιλέως, ἐγγόνου Ἡρακλείου, τοῦ ἐπικεκλημένου Πωγωνάτου. καὶ τοσοῦτον πρὸς ἀρετὴν ἀγῶνα ἔθετο, καὶ πρὸς Θεὸν οἰκείωσιν ἔσχεν, ὡς καὶ τῶν ἀγρίων θηρίων κατάρχειν, λέων γὰρ αὐτῷ διακονούμενος ἦν, ἐπιτελῶν μὲν καὶ τὰς ἐκδεχομένας ἄλλας διακονίας, καὶ δὴ καὶ τὸν ὑδροφόρον ὄνον ἐπὶ νομὰς διεξάγων τε καὶ εἰσάγων. Οὗπερ ποτε παροδιτῶν ἐμπόρων ὑποσυρέντος, καὶ ταῖς καμήλοις προσδεθέντος, ὕπνῳ κατεχομένου τοῦ θηρός, ἠγανάκτει τὸ πρὸς ἑσπέραν ὁ τῷ Ὁσίῳ καθυπηρετούμενος μονάζων, τὸν λέοντα μόνον ἰδὼν τῇ κέλλῃ παραβαλόντα. καὶ δόξας βρωθῆναι παρ᾽ αὐτοῦ, τῷ γέροντι τοῦτο ἀπήγγειλεν. Ὁ δὲ τὴν ἐκείνου ὑπηρεσίαν ἐκέλευεν αὐτὸν ὑπελθεῖν. ἣν καὶ δεξάμενος, ἐφ᾽ ὅσον παρὰ τῶν ἐμπόρων λῃζόμενον ὁ ὄνος κατείχετο, αὐτὸς ἐπὶ τῶν ὤμων τὰς ὑδρείας ἔφερε, καὶ θέων ἢ ποδῶν εἶχεν, ὑδροφορεῖν ἠναγκάζετο. ἀλλ᾽ εἶχε μὲν αὖθις ἡ αὐτὴ ὁδὸς τοὺς προλεχθέντας ἐμπόρους καθυποστρέφοντας, τὸν λέοντα δὲ ὁ ποταμὸς ὑδροφορήσοντα. Ὃς ἰδών, καὶ γνωρίσας τὸν ὄνον ταῖς καμήλοις ἑπόμενον, ὁρμήματι αἰφνιδίῳ καταπλη-

Digitized by Google

ταπλήξας τοὺς ἐμπόρους, καὶ πρὸς φυγὴν τρέψας, τοῦ κημοῦ δραξάμενος εἷλκε τὸν ὄνον. ὁ δὲ ὄνος ἑπομένας τὰς καμήλους, ἑτέραν τῇ ἑτέρᾳ προσδεδεμένας, ὡς ἐκείναις ἔθος, ἕως ἤγαγε τὸν ὄνον καὶ τὰς καμήλους εἰς τὸ κελλίον. καὶ τῷ οὐραίῳ πλήττων τὴν θύραν δῆθεν προσῆγε τῷ γέροντι. Ὁ δὲ μειδιάσας, πρὸς τὸν ὑπηρετοῦντα, μάτην ἄρα ὁ λέων, φησὶ, παρ' ἡμῶν ὠνειδίζετο. οὐκοῦν ἀπολυθεὶς τῆς δουλείας, τῶν συνήθων ἐχέσθω νομῶν καὶ διατριβῶν. Τότε κλίνας τὴν κεφαλὴν ὁ λέων, καὶ οἱονεὶ συνταξάμενος τῷ γέροντι, ὑπέδυ τὸ ὄρος. καὶ τῆς ἑβδομάδος ἅπαξ ἀξιῶν προσήρχετο τούτῳ, καὶ τὴν κεφαλὴν ὑπέκλινεν ὡς ἐν σχήματι προσκυνήσεως. Τελευτήσαντος δὲ τοῦ Γέροντος, ἦλθε μὲν τὴν συνήθη ἀρχὴν ἀποδώσων. ἐπεὶ δὲ μὴ εὗρε τὸν Ὅσιον, ἀλλὰ παρὰ τοῦ ὑπηρετοῦντος Μοναχοῦ ἔμαθε τὴν τελευτὴν αὐτοῦ, καὶ πρὸς τὸν τάφον ἀπηνέχθη, λεπτοῖς πρότερον καταθρηνήσας βρυχήμασιν, ὕστερον ἐπὶ μεγάλῳ βρυχηθμῷ ἀφῆκε τὴν πνοήν. Οὕτω δοξάζει ὁ Θεὸς τοὺς δοξάζοντας αὐτὸν, καὶ θῆρας αὐτοῖς ὑπείκειν παρασκευάζει, διατηροῦσι τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἄσπιλον.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Παύλου, καὶ Ἰουλιανῆς τῆς αὐτοῦ ἀδελφῆς.

Στίχ. Ὁ κείμενος μὲν Παῦλος, ἡ δὲ κειμένη,
Ἰουλιανὴ σύγγονοι τετμημένοι.

Παῦλον Ἰουλιανήν τε τετάρτῃ ἔκταμεν ἄορ.

Οὗτοι ὑπῆρχον ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως ἐν Πτολεμαΐδι. ἐτύγχανον δὲ ἀδελφοὶ κατὰ σάρκα, φύντες εὐγενῶς καὶ τραφέντες καλῶς εὐσεβείᾳ μᾶλλον, ἢ γάλακτι. Ὁ δὲ Παῦλος τὰς Θεοπνεύστους Γραφὰς διῆλθεν ἐμμελῶς, καὶ τὸν αὐτῶν νοῦν ἐκμελετήσας, ἔτι νέος ὢν, προχειρότατα τοὺς ἀντιλέγοντας ἐπεστόμιζε, καὶ κῆρυξ ἔνθεος τῆς τοῦ Θεοῦ Λόγου περὶ ἡμᾶς Οἰκονομίας ὑπῆρχεν. Ἐπιδημήσαντα οὖν τῇ Πόλει τὸν βασιλέα, καὶ ἰδὼν, θαῤῥεῖν τῇ ἀδελφῇ παρεκελεύσατο, καὶ στῆναι προθύμως, ὡς μεγάλου μέλλοντος τὴν Πόλιν καταλαβεῖν πειρασμοῦ, καὶ ἑαυτὸν δὲ τῷ τύπῳ καθώπλισε τοῦ Σταυροῦ. Ἐπεὶ δὲ οὐκ ἔλαθε σφραγισάμενος, προσῆλθε τῷ βασιλεῖ, καὶ τὴν εἰς Χριστὸν ὡμολόγησε Πίστιν, καὶ τὴν τῶν Εἰδώλων διήλεγξε ματαιότητα. Ὅθεν κρεμασθεὶς, ξέεται. ὃν ἰδοῦσα ἡ ἀδελφὴ, κατεβόα τοῦ τυράννου, ὡς ἀδίκως αἰκιζομένου τοῦ ἀδελφοῦ. Συλλαμβάνεται δὲ καὶ αὐτὴ, καὶ κρεμασθεῖσα, ξέεται, καὶ ἐν λέβητι, ἔνθα πίσσα καχλάζουσα, ἀμφότεροι βάλλονται. Καὶ ἔτι ἐμμένοντες τῇ τοῦ Χριστοῦ Πίστει, ἐπὶ κλίνης σιδηρᾶς πεπυρωμένης ἁπλοῦνται, καὶ τοῖς νώτοις ἄνωθεν τύπτονται. ἔνθα Κοδράτος καὶ Ἀκάκιος οἱ δήμιοι, τῶν Ἁγίων φεισάμενοι, τὰς κεφαλὰς ἀφαιροῦνται. μὴ διαλωβηθέντες δὲ, δεσμοῖς σιδηροῖς βάλλονται ἐν εἱρκτῇ, καὶ Ἀγγέλου ἐπιφανείᾳ λυθέντες, καὶ τροφῆς κορεσθέντες, τῷ Χριστῷ εὐχαρίστησαν. Καὶ αὖθις παρίστανται τῷ βασιλεῖ, καὶ θῦσαι τοῖς Εἰδώλοις μὴ βουληθέντες, ἀναρτηθέντες τύπτονται. Στρατονίκου δέ τινος, ἑνὸς τῶν δημίων, τὴν Ἁγίαν Ἰουλιανὴν κατοικτείραντος, καὶ πρὸς τὸ εὐώνυμον κατακλιθέντος, καὶ τῷ Χριστῷ πιστεύσαντος, ὅτι δὴ αὐτῷ ἡ Ἁγία προετρέπετο μὴ φείδεσθαι, ἀλλὰ ποιεῖν τὸ τοῦ βασιλέως πρόσταγμα, μανεὶς ὁ Τύραννος, αὐτοῦ μὲν τὴν κεφαλὴν ἀπέτεμε, τοὺς δὲ Ἁγίους ἐκέλευσεν ἰοβόλοις ἑρπετοῖς συναποκλεισθῆναι. ἐξ ὧν διαμείναντες ἀβλαβεῖς, τὸν μὲν Ἅγιον Παῦλον, τύπτεσθαι μολυβδίσι τὰς σιαγόνας, προσδεθέντα πάλῳ σιδηρῷ προστάσσει, καὶ ἑκατέρωθεν ὑπὸ τεσσάρων στρατιωτῶν μετὰ ῥάβδων πεπυρωμένων τύπτεσθαι, τὴν δὲ Ἁγίαν Ἰουλιανὴν, εἰς πορνεῖον ἀπενεχθῆναι, καὶ ὑπὸ ἀσώτων ἀνδρῶν διαφθαρῆναι. οὓς παραγενομένους, Ἄγγελος Κυρίου παραστὰς, τῷ κονιορτῷ τῶν ποδῶν αὐτῶν ἀπετύφλου. ἀλλὰ τούτους μὲν ἡ Ἁγία εὐξαμένη, ὕδωρ αὐτοῖς ἐπιχέουσα, κατέστησεν ὑγιεῖς, αὐτὴ δὲ μετὰ τοῦ ἀδελφοῦ αὐτῆς Παύλου ἐμβάλλεται βόθρῳ πυρός. Κελεύσαντος δὲ τοῦ Τυράννου ἐν αὐτῷ τῷ πυρὶ λιθοβοληθῆναι



Digitized by Google

αὐτοῖς, ὤφθη ἄνωθεν νεφέλη πεπληρωμένη φλογὸς, ἥτις Αὐρηλιανῷ πυρὸς κατέχεεν ὄμβρους. Ὁ δὲ φοβηθεὶς, ἀνήνεγκε τοῦ βόθρου τοὺς Ἁγίους, καὶ λαμπάσι τὰς ὄψεις αὐτῶν, καὶ ὅλον τὸ σῶμα καταφλεχθῆναι προσέταξε, καὶ μετὰ τοῦτο τὰς κεφαλὰς αὐτῶν ἀποτμηθῆναι.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Γρηγόριος Κύπρου, ἐν εἰρήνῃ τελειοῦται.

Στ. Ἔλαφος ὥσπερ ἐκ βρόχου ῥυσθεὶς βίου, Ἄνεισι Γρηγόριος ἔνθα ζῶν ὕδωρ.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„ Ὁ ἐν τῷ ὄρει τῷ Μωσεῖ συλλαλήσας,
„ καὶ τύπον τῆς Παρθένου τὴν βάτον
„ δείξας, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέ-
„ ρων ἡμῶν.

Δι' ἐγκρατείας ἀναβάντες πρὸς ὄρος, ἐνθέου πολιτείας καὶ σωφροσύνης, τὸν φωτοδότην Κύριον, μονάδες ἐποπτευσάμεθα.

Ἐν ἀκηράτοις ἀρετῶν Παραδείσοις, χορεύσας Θεοφόρε ἄνθη θαυμάτων, ἔβρεψω πᾶσιν ἄφθονον, τούτων χάριν δωρούμενος.

Ἣν κατ' εἰκόνα Θεοφόρε ἀξίαν, φυλάττων φοβερὸς, ἀνημέροις θηρσὶν ἐδείχθης, ᾄδων ἀπαύστως, τῷ Θεῷ εὐχαριστήρια. Θεοτοκίον.

Ἰσχὺν καὶ κράτος κατ' ἐχθρῶν, παρασχοῦ μνηστεία, καὶ ἀγῶσι Θεοκυῆτορ ἡμᾶς αἰνοῦντας ἄχραντε, καὶ ὑμνοῦντάς σε περίσωσον.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„ Τὸν Βασιλέα Χριστὸν, ὃν ὡμολόγη-
„ σαν οἱ αἰχμάλωτοι Παῖδες, ἐν
„ τῇ καμίνῳ λέγοντες μεγάλῃ τῇ φωνῇ·
„ πάντα τὰ ἔργα, ὑμνεῖτε εὐλογεῖτε τὸν
„ Κύριον.

Ὁ βασιλεὺς τοῦ παντὸς, Δέσποτα Κύριε, καὶ ἡμᾶς βασιλεῦσαι, παθῶν καὶ ἡδονῶν τῶν σαρκικῶν, ὡς ἀγαθὸς διὰ νηστείας καὶ πόνων ἀξίωσον· ἵνα σε εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὃν Βασιλέα Χριστὸν, ἐν τῇ καρδίᾳ σου ἀπὸ βρέφους, Θεόφρων δεξάμενος, χαρίτων τῶν αὐτοῦ, καὶ ἐπιλάμψεων θείων ὤφθης, καταγώγιον τερπνὸν, τοῦτον δοξάζων ἑκάστοτε.

Ἐν τῇ φλογὶ τῶν παθῶν, Πάτερ Γεράσιμε, μηδαμῶς σε φλεχθέντα, δρόσος ἡ τῶν χαρίτων τοῦ Χριστοῦ ἐξ Οὐρανοῦ, ὅλον κατήρδευσε πόθῳ, τοῦτον ἀνυμνοῦντα ἐκτενῶς Θεὸν τῶν ὅλων. Θεοτοκίον.

Ὁ σαρκωθεὶς ἐκ τῶν σῶν, ἄχραντε Δέσποινα παναγίων αἱμάτων, αὐτὸς ἀποκαθαίρει μολυσμῶν σαρκικῶν, διὰ νηστείας καὶ πόνων ἡμᾶς δυναμῶν, ταῖς σαῖς ἀπαύστοις ἱκεσίαις Θεοτόκε Παρθένε.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„ Τὸν ἄσπορον τόκον σου Θεοτόκε ἄχραν-
„ τε, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐν ὕμ-
„ νοις ἀσιγήτοις μεγαλύνομεν.

Ὁ πλοῦτος τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος, εἰς πάντας προτίθεται, τοὺς πόνους ἐγκρατείας τούτων συλλέγοντας.

Ὡς ἢν ἄυλον Ὅσιε ὑλικῷ ἐν σώματι, ζωὴν καὶ πολιτείαν διήνυσας, δοξάζων τὸν δυναμοῦντά σε Κύριον.

Ὅλην σου τὴν ἔφεσιν τῆς ψυχῆς Γεράσιμε, πρὸς μόνα τὰ ἄφθαρτα ἔχων, κατηξιώθης ὧν ἐπόθησας.

Σὺν Ὁσίοις Ὅσιε Χριστῷ παριστάμενος, αὐτὸν καθικέτευε, ὑπὲρ τῶν ἐκτελούντων τὴν θείαν μνήμην σου. Θεοτοκίον.

Ὑπέρθεν ἐκλάμπουσα ἡ σὴ χάρις Δέσποινα, φωτίζει τοὺς σὲ ἀκαταπαύστως, Θεομῆτορ μεγαλύνοντας.

Ὁ Εἱρμός. Τὸν ἄσπορον τόκον σου Θεοτόκε.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου, καὶ τὸ Ἰδιόμ. τῆς ἡμέρας, καὶ ἡ λοιπὴ Ἀκολουθία, ἡ α. Ὥρα, ὡς ἡ συνήθεια, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ Ε'.

## Τοῦ Ἁγίου Ὁσιομάρτυρος Κόνωνος.

Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἵστ. προσόμοια. Ἦχος α.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Μάρτυς πανοίδιμε πολλαῖς, ὁμιλήσας θλίψεσι, καὶ ἀνυποίστοις κολάσεσι,



Digitized by Google

σεσι, τὸν πολυμήχανον, ἐχθρὸν πώσω ὄφιν, καὶ τοῦτον ὑπέταξας, πᾶσιν ὡραιοτάτοις σου ἔνδοξε, Χριστοῦ δεόμενος, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Ὅμοιον.

Κόνων παμφαοῦς ἐλάμψας φωτὶ, τοῦ ἁγίου Πνεύματος, καταυγασθεὶς τὴν διάνοιαν, σκότος ἐμείωσας, πονηρῶν Δαιμόνων, καὶ πρὸς φέγγος ἄδυτον, μετέβης ἐν Θεῷ εὐφραινόμενος· ὃν νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν. Ὅμοιον.

Κόνων ἀξιάγαστε Ναὸς, τῆς Τριάδος γέγονας, καὶ τὸν Ναὸν τὸν παμάγιον, ἐν ᾧ τὸ σῶμά σου, εὐσεβῶς ἐτέθη, ποταμὸν ἀνέδειξας, ἀπείρων ἰαμάτων πανόλβιε. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε ξύλον ἄκουσμα ἁγνή. χαῖρε ξύλον ἅγιον, τοῦ Παραδείσου Θεόφυτον. χαῖρε ἐξάλειψις, πονηρῶν Δαιμόνων. χαῖρε ξίφος δίστομον, ἐχθροῦ τὴν κεφαλὴν ἀποτέμνουσα, τῷ ξένῳ τόκῳ σου. Παναγία ὑπεράμωμε, ξενωθέντας ἡμᾶς ἀνακάλεσαι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἴδιον ἄρνα ἡ ἀμνὰς, ἡ ἄμωμος Δέσποινα, ἐν τῷ Σταυρῷ ὡς ἑώρακεν, εἶδος οὐκ ἔχοντα, οὐδὲ κάλλος οἴμοι, θρηνῳδοῦσα ἔλεγε· ποῦ σου τὸ κάλλος ἔδυ γλυκύτατε, ποῦ ἡ εὐπρέπεια, ποῦ ἡ χάρις ἡ ἀστράπτουσα, τῆς μορφῆς σου Υἱέ μου παμφίλτατε;

Εἰς τὸν Ὄρθρον, ὁ Κανὼν τοῦ Ἁγίου. Ὅπου δ' ἂν τύχῃ τὰ Τριῴδια, ψάλλεται ὁ Κανὼν τοῦ Ἁγίου εἰς ϛ. καὶ τοῦ Τριῳδίου, εἰς η.

Ὁ Κανὼν τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχίς.

**Ὁ Καλλίνικος Μάρτυς ὑμνείσθω Κόνων.**

Ἄνευ τοῦ Θεοτοκίου.

Ὠδὴ α. Ἦχος Πλ. α. Ὁ Εἱρμός.

„Τῷ Σωτῆρι Θεῷ τῷ ἐν θαλάσσῃ
„ λαὸν, ποσὶν ἀβρόχοις ὁδηγήσαν-
„ τι, καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαν-
„ τι, αὐτῷ μόνῳ ᾄσωμεν ὅτι δεδόξασται.

Ὁ καλλίνικος νῦν Μάρτυς ὑμνείσθω Κόνων, κατὰ τῆς πλάνης ἀνδρισάμενος, ὡς στρατευσάμενος Χριστῷ, τῷ ἐπὶ πάντων Θεῷ, καὶ ἄφθαρτον στέφος ἀναδησάμενος.

Κεκρυμμένην ζωὴν καὶ τὴν ἀγήρω δόξαν, ἐπιποθήσας ἀντηλλάξατο, Κόνων ὁ ἔνδοξος Μάρτυς, τῆς ἐπικήρου χλιδῆς, ὃν ὕμνοις τιμήσωμεν, ὅτι δεδόξασται.

Ἀφθαρσίας στολὴν περιβαλλόμενος νῦν, ἐνεκεντρίσθης Κόνων ἔνδοξε, ἀγριελαίου ἐκ ῥίζης εἰς καλλιέλαιον, Χριστῷ τε τοὺς φύσαντας ἐκαρποφόρησας.

Λελυμένος ἀρᾶς τῆς τοῦ Προπάτορος φθορᾶς, τὴν ζεύγλην ἀπεσείσατο ὁ πανσίδιμος Μάρτυς, καὶ τὴν ὁμόζυγον, ἁγνείας συνόμιλον συναπεργάσατο.

Θεοτοκίον.

Ἀχραντε μῆτερ Θεοῦ, τὸν σαρκωθέντα ἐκ σοῦ, καὶ ἐκ τῶν κόλπων τοῦ Γεννήτορος, μὴ ἐκφοιτήσαντα Θεὸν, ἀπαύστως πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ γ. Ὁ Εἱρμός.

„Δυνάμει τοῦ Σταυροῦ σου Χριστὲ, στερέω-
„ σόν μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν
„ καὶ δοξάζειν σου, τὴν ἑκούσιον νῦν Σταύ-
„ ρωσιν.

Λατρεύειν ᾑρετίσω Θεῷ, τῷ φῶς ποιήσαντι· ἐβδελύξω δὲ, τὴν ζοφερὰν Κόνων ἔνδοξε, τῶν Εἰδώλων ἀθεότητα.

Ἱεράσας προθύμως Χριστῷ, ψυχὴν καὶ σῶμα καὶ εὐπρόσδεκτος, ὡς μόνος μόνῳ ὡμίλησας, τῷ Δεσπότῃ παμμακάριστε.

Νομίμων τῶν πατρῴων σοφῶς, λαοὺς ἀπείρους ἠλευθέρωσας, τὸν ἀπωλείας φερώνυμον, θριαμβεύων Κόνων ἔνδοξε.

Ἱκέτευε παθῶν ψυχικῶν, σωματικῶν τε λύσιν ἔνδοξε παρασχεθῆναι τοῖς ἐν πίστει, ἑορτάζουσι τὴν μνήμην σου. Θκ.

Ἱκέτευε ἀπαύστως ἁγνὴ, τὸν προελθόντα ἐκ λαγόνων σου, ῥυσθῆναι πλάνης Διαβόλου, τοὺς ὑμνοῦντάς σε Μητέρα Θεοῦ.

Ὁ Εἱρμός. Δυνάμει τοῦ Σταυροῦ σου.

Κάθισμα. Ἦχος α. Τὸν τάφον σου Σωτήρ.

Ἐκ βρέφους τῷ Θεῷ κολληθεὶς Θεοφόρε, τοῦ Πνεύματος σεπτὸν ἀνεδείχθης δοχεῖον.

Digitized by Google

χεῖον. ὲ τὰ πονηρότατα, καθυπέταξας πνεύματα, ἐναθλήσας δὲ, ἐμεγαλύνθης ἀξίως. ὅθεν ἅπαντες, τὴν παναγίαν σου μνήμην, πιστῶς ἑορτάζομεν.

Θεοτοκίον. Ὅμοιον.

Κυβέρνησον ἁγνὴ τὴν ἀθλίαν ψυχήν μου, ὲ οἴκτειρον αὐτὴν ὑπὸ πλήθους πταισμάτων, εἰς βυθὸν ὀλιθαίνουσαν, ἀπωλείας παναμώμε. ὲ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, ἐλευθέρωσον, κατηγορούντων Δαιμόνων, ὲ σῶσόν με δέομαι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Εἰς σὴν τῆς καθαρᾶς, καὶ ἀμώμου Παρθένου, διῆλθεν ἀληθῶς τὴν καρδίαν ῥομφαία, Σταυρῷ ὅτε ἑώρακας, τὸν Υἱόν σου ὑψούμενον, Παναμώμητε, εὐλογημένη Μαρία, τὸ προσφύγιον, ἁμαρτωλῶν Θεοτόκε, πιστῶν τὸ κραταίωμα.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„ Εἰσακήκοα Κύριε τὴν ἐκ τάφου σου ἔγερ-
„ σιν, καὶ ἐδόξασά σου τὴν ἀήττητον
„ δύναμιν.

Καθεῖλες μακάριε τὸ τῶν λαῶν ἀπατήλιον, ὲ ὑπέφηνας τοῦ Ἰησοῦ τὴν Θεότητα.

Ὁ λίθινος φρίξας σου, ψαλμὸς θεὸς τὸ ἐμβρίμημα, τὸν Ἰησοῦν μόνον ἀνηγγελίσατο εἶναι Θεόν.

Συνῆκαν οἱ ἄφρονες τὴν ὑπὲρ φύσιν δεξάμενοι, ἐκ λιθίνου χείλους ἀληθεστάτην μετάθεσιν.

Μυστήριον ἄῤῥητον τὸ διὰ σοῦ κηρυττόμενον, ἐπιστρέφεις γὰρ Μάρτυς πεπλανημένους πρὸς Κύριον. Θτ.

Κυρίως δοξάζομεν, σὲ Θεοτόκον ἀμύμφωτε, καὶ τῷ σῷ λιμένι οἱ πιστοὶ καταφεύγομεν.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„ Ὀρθρίζοντες βοῶμέν σοι Κύριε, σῶσον
„ ἡμᾶς. σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς
„ σου ἄλλον οὐκ οἴδαμεν.

Ἐχρημάτισε δοχεῖον ἡ χάρις, ὲ ἀκηράτου φωτὸς ἀπειργάσατο, Μαρτύρων κλέος ὲ καύχημα.

Ῥημάτων ἐπλουτίσθης ἀῤῥήτων, τὴν θείαν γνῶσιν, ὲ ταύτην ἐμύησας, λαοὺς ἀπείρους ὑπέρτιμε.

Τὴν χάριν σου ὁρῶντες οἱ ἄνομοι, τῶν θαυμάτων, ἐβόων ὁ Κώνωνος, Θεὸς τὴν πλάνην ἐνίκησε. Θεοτοκίον.

Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, Θεοτόκε, σὺ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ τῷ Κόσμῳ ἐκύησας.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

„ Ἐκύκλωσέ με Ἄβυσσος, ταφή μοι τὸ
„ κῆτος ἐγένετο, ἐγὼ δὲ ἐβόησα, πρὸς
„ σὲ τὸν φιλάνθρωπον. ὲ ἔσωσέ με ἡ δε-
„ ξιά σου Κύριε.

Ὑπῆρξε τοῖς πιστεύσασιν, ἡ χάρις ἐπαύξησις ὲ πλοῦτος, ὲ τοῖς ἀπειθοῦσιν ἡ ἔμφασις ὄλεθρος, ταῖς ἱκεσίαις σου Κώνων παμμακάριστε.

Σαφῶς σοι ὑποτέτακται, Δαιμόνων τὰ στίφη μακάριε, σεαυτὸν ὑπέταξας, Θεῷ τῷ ποιήσαντι, αὐτεξουσίῳ Μάρτυς Κώνων ἔδοξε.

Ὑπὸ σοῦ ἐπαιδεύετο, τὰ πλήθη αἱρεῖσθαι τὸν ἔλεον, ὲ πλοῦτον βδελύττεσθαι ἐνθέως φιλάργυρον, παμμάκαρ ἔργῳ, ὲ λόγῳ διδασκόμενα. Θεοτοκίον.

Βάτον σε ἀκατάφλεκτον, καὶ ὄρος καὶ κλίμακα ἔμψυχον, ὲ πύλην οὐράνιον, ἀξίως δοξάζομεν, Μαρία ἔνδοξε, ὀρθοδόξων καύχημα.

Ὁ Εἱρμός. Ἐκύκλωσέ με Ἄβυσσος.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Ε'. Μνήμη τοῦ Ἁγίου Ὁσιομάρτυρος Κώνωνος τοῦ ἐν Ἰσαυρίᾳ.

Στίχ. Ἥκεις πρὸς αὐτὸν τὸν Θεὸν Θεὸς θέσει,

Εἰς γῆν ἀφεὶς σου τὴν κόνιν Κώνων Πάτερ.

Οὗτος ἦν ἐν τοῖς χρόνοις τῶν Ἁγίων Ἀποστόλων, ἐκ Κώμης λεγομένης Βυδαμῆς, Νέστορος ὲ Νάδως Υἱός. οἳ γυναῖκα τούτῳ συνάψαντες, τῇ παρθενίᾳ μᾶλλον συσχολάζειν σὺν αὐτῇ ἠρετίσατο. Λέγεται δὲ τὸν Ἀρχιστράτηγον Μιχαὴλ ἐκδιδάξαι αὐτὸν τὴν εἰς Χριστὸν Πίστιν, καὶ εἰς τὸ τῆς ζωαρχικῆς Τριάδος ὄνομα βαπτίσαι, ὲ τῶν ἀχράντων Μυστηρίων μεταδοῦναι,



Digitized by Google

δῦναι, καὶ τὴν παραδόξων θαυμάτων ἐνέργειαν χορηγῆσαι. Ὅθεν τήν τε γυναῖκα Ἄμμαν (τοῦτο γὰρ ἦν αὐτῇ ὄνομα) συμφρονεῖν αὐτῷ καὶ συμπαρθενεύειν ἔπεισε, βαπτίσας πρότερον καὶ τοὺς γεννήτορας, καὶ μεταστήσας πρὸς τὴν εἰς Χριστὸν Πίστιν. Ὅθεν καὶ τὸν πατέρα Νέστορα, ὑπὲρ Χριστοῦ ἔπεισε μαρτυρῆσαι, καὶ τοὺς Εἰδωλολάτρας θυσίαν προσάγειν μέλλοντας, σκοτεινῷ τινι καὶ ταρτάρῳ Δαίμονι ἐν ἄντρῳ τινὶ παραδοὺς, τὸν τῶν ὅλων Θεὸν ἐπιγνῶναι ἐποίησεν, αὐτοῦ τοῦ Δαίμονος μὴ εἶναι Θεὸν συνομολογήσαντος, καὶ τοὺς ἀπείρους ὄχλους τὸ, εἷς Θεὸς ὁ Κώνωνος ἐπειπεῖν. αἱ δὲ τοιαῦται φωναὶ παρὰ τοῖς Ἰσαύροις εἰσέτι καὶ νῦν ἐν τῇ τοῦ Μάρτυρος μνήμῃ μεγαλοφώνως κηρύττονται. Τοσαύτην δὲ κατὰ Δαιμόνων χάριν καὶ ἐξουσίαν ἔλαβεν, ὡς τοὺς μὲν αὐτῶν ἐπὶ γεωργίαν τρέψαι, καὶ τῶν φυομένων καρπῶν καταστῆσαι φύλακας, τοὺς δὲ ἐν κεραμίοις ἐγκλεῖσαι, καὶ σφραγῖδας ἐπιβαλεῖν, καὶ κατὰ γῆν πρὸς τοὺς θεμελίους τοῦ οἴκου αὐτοῦ ἐγκαταχῶσαι. ὁ δὲ τρόπος τῆς μαρτυρίας αὐτοῦ γέγονεν οὕτω. Τοῦ ἡγεμόνος Μάγνου μετὰ τῶν Βασιλικῶν προσταγμάτων τὸν τόπον καταλαβόντος, καὶ τοῦ Ἁγίου κατασχεθέντος, καὶ προσαχθέντος αὐτῷ, ἐπεὶ τὸν Χριστὸν Θεὸν ἀληθινὸν ἀνεκήρυξε, τύπτεται σφοδρῶς. τοῦ δὲ πλήθους συνδραμόντος ἐφ᾽ ᾧ τὸν Ἅγιον ἐξελέσθαι, διαχειρίσασθαι δὲ καὶ τὸν Ἡγεμόνα, ὁ μὲν αἰσθόμενος, ἔφυγε, τὸ δὲ πλῆθος λύσαντες τὸν Ἅγιον, καὶ τῶν αἱμάτων ἀποσμήξαντες, ἐν τῷ ἰδίῳ κατέστησαν οἴκῳ. ἔνθα ἐπὶ δυσὶ χρόνοις βιώσας, πρὸς Κύριον ἐξεδήμησε. Φασὶ δὲ, ὅτι μετὰ τὴν αὐτοῦ ἐκδημίαν, τοῦ οἴκου εἰς Ἐκκλησίαν μετασκευαζομένου, εὑρεθῆναι τὰ κεράμια, ἔνθα τὰ πονηρὰ συνέκλεισε πνεύματα. ὧν ἑνὸς διανοιχθέντος, λογισαμένων χρυσὸν περιέχειν διὰ τὸ βάρος, ἐξελθεῖν τὰ δαιμόνια ἐν εἴδει πυρὸς, ὥστε πάντας εἰς τὴν γῆν καταπεσεῖν. καταστραφῆναι δὲ τὸ ἀνοικοδομήμενον, καὶ ὅλως μετὰ δύσιν ἡλίου, μὴ τολμᾶν τινὰ τῷ τόπῳ παραβαλεῖν. ἀλλὰ ταύτης οὐκ εἰς μακρὰν τῆς ἐπιθέσεως ἀπηλλάγησαν, προσευχαῖς, καὶ νηστείαις καὶ ἀγρυπνίαις σχολάσαντες, τοῦ ἁγίου δεηθέντος ὑπὲρ αὐτῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Κώνωνος τοῦ Κηπουροῦ.

Στίχ. Ἥλων τύπους φέροντι Κυρίῳ Κόνων,
Ἥλων τύπους πρόσεισιν εἰς πόδας φέρων,
Ὀξυτάτοις Κόνων ἥλοισι παρεὶς ποδὶ πέμπτῃ.

Οὗτος ἦν κατὰ τοὺς χρόνους Δεκίου τοῦ βασιλέως, ἐκ Ναζαρὲτ τῆς Γαλιλαίας. ἀπάρας δὲ ἐκεῖθεν ἦλθεν εἰς πόλιν Μανδρων τῆς Παμφυλίας. καὶ ἦν ἐν τόπῳ λεγομένῳ Κάρμηλα, κῆπον τινὰ καλλιεργῶν, καὶ οὕτω τὴν τροφὴν ποριζόμενος. ἦν δὲ τὸν τρόπον ἀκέραιος, καὶ ἁπλοῦς, ὡς ἐπιστάντας τοὺς συλλαβεῖν ζητοῦντας αὐτὸν, καὶ ἐν παιδιᾷ ἀσπαζομένους, τούτους ἐκ ψυχῆς ἀντασπάζεσθαι. καὶ τὴν αἰτίαν δι᾽ ἣν παρῆσαν εἰπόντες, ὅτι ὁ Ἡγεμὼν αὐτὸν Πούπλιος καλεῖ, ἀπεκρίνατο. ποίαν γὰρ ἐκεῖνος ἐμοῦ χρείαν ἔχει, μάλιστά γε ὄντως Χριστιανοῦ; καλείτω τοὺς ὁμόφρονας αὐτοῦ, καὶ τῆς πίστεως κοινωνούς. δεσμευθεὶς δὲ καὶ ἀχθεὶς πρὸς τὸν Ἡγεμόνα, καὶ παρ᾽ αὐτοῦ θῦσαι τοῖς εἰδώλοις προτραπεὶς, βαθὺ στενάξας, καὶ τὸν Τύραννον καθυβρίσας, καὶ ἐμμένειν τῇ εἰς Χριστὸν ὁμολογίᾳ ἑαυτὸν βεβαιωσάμενος, ὡς οὐδὲν ἔτι γένοιτο ἂν τῆς σαλευθῆναι, ἥλοις σιδηροῖς τοὺς πόδας καθηλωθεὶς, τρέχειν ἔμπροσθεν τοῦ ἅρματος ἀναγκάζεται. ὅθεν λειποψυχήσας, καὶ ἐπὶ γόνυ κλιθεὶς, προσευξάμενος, τῷ Θεῷ τὸ Πνεῦμα παρέδωκε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μάρκου Μοναχοῦ τοῦ Θαυματουργοῦ.

Οὗτος ἐν πᾶσι φιλόπονος γενόμενος, ὁμοῦ τε τῇ μελέτῃ τῶν θείων γραφῶν ἐπιδοὺς ἑαυτὸν, καὶ ἐπὶ τὸ ἄκρον τῆς ἀσκήσεως προῆλθε καὶ ἀρετῆς· τεκμήριον τε ἀμφοτέρων οἵ τε συγγραφέντες παρ᾽ αὐτοῦ λόγοι, παντοίας παιδεύσεως καὶ ὠφελείας ὄντες μεστοὶ, καὶ ἡ τῶν θαυμάτων ἐνέργεια παρὰ τοῦ Σωτῆρος Χριστοῦ αὐτῷ δοθεῖσα.



Digitized by Google

ὤν ἐν ἀναγκαῖον πάντως εἰπεῖν. σχολάζοντος γὰρ τοῦ ὁσίου ποτὲ ἐν τῇ αὐλῇ, καὶ ἑαυτῷ προσέχοντος, προσῆλθεν ὕαινα τυφλὸν τὸν ἑαυτῆς σκύμνον ἔχουσα καὶ διὰ ταπεινοῦ τοῦ σχήματος, τοῦ ἁγίου ἐδέετο κατοικτειρῆσαι αὐτὴν, καὶ τὴν πήρωσιν τοῦ ἐκγόνου ἰάσασθαι. ὁ δὲ προσπτύσας τοῖς λωβηθεῖσιν ὀφθαλμοῖς, καὶ εὐξάμενος, κατέστησεν αὐτοὺς ὑγιεῖς. μεθ' ἡμέρας δὲ τῆς ὑαίνης κώδιον αὐτῷ μεγάλου προσαγαγούσης χάριν τῆς ἰατρείας ἀντιμισθίαν, ὃ πρότερον αὐτὸ ὁ Ὅσιος λαβεῖν κατεδέξατο, ἢ τὸ θηρίον ὑποσχέσθαι, μηκέτι προβάτοις πενήτων ἐπιπηδᾶν. εἰ δὲ περὶ τὴν ἄλογον φύσιν οὕτως ὢν συμπαθὴς, τί ἂν ἦν πρὸς ἀνθρώπους, οὓς ἡ τῆς φύσεως κοινωνία κατοικτείρεσθαι παρὰ τῶν ὁμογενῶν ἀπαιτεῖ; τοσαύτη δὲ ἦν ἡ τοῦ ἀνδρὸς καθαρότης, ὡς τὸν πρεσβύτερον τῆς μονῆς διομνύμενον λέγειν, ὡς οὐδέ ποτε τῶν θείων μυστηρίων τῷ Μοναχῷ ἐπέδωκε Μάρκῳ, ἀλλ' ἐν τῷ προσιέναι αὐτὸν, Ἄγγελος αὐτῷ μετεδίδου, οὗ ἐκ τοῦ ἀγκῶνος τὴν χεῖρα μόνην ἔβλεπε τὴν λαβίδα κατέχουσαν, δι' ἧς ὁ ὅσιος τῶν ἁγιασμάτων μετεῖχεν. ἀπετάξατο δὲ καὶ τῶν κοσμικῶν φροντίδων ἁπάντων καὶ θορύβων, τεσσαράκοντα χρόνων ὑπάρχων. καὶ διαγαγὼν ἐν τῇ ἀσκήσει ἑξήκοντα, πρὸς Κύριον ἐξεδήμησεν. ἦν δὲ τὴν ἡλικίαν βραχὺς, ψιλὸς τὸν πώγωνα, καὶ τὴν κεφαλὴν ἔνδοθεν ἔχων ἐπιλάμπουσαν, τῇ τοῦ ἁγίου Πνεύματος χάριτι.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Ἡρωΐδος, καὶ μνήμη τοῦ Ἁγίου Μάρτυρος Εὐλογίου τοῦ ἐν Παλαιστίνῃ.

Στ. Τὸν Εὐλόγιον εὐλογεῖ πᾶσα Κτίσις.
Κτίσῃ χάριν σοῦ τὴν κάραν τεμνομένου.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Εὐλαμπίου.

Στίχ. Τράχηλον Εὐλάμπιος ἐκτμηθεὶς ξίφει,
Τραχηλιῶσαν δυσσέβειαν αἰσχύνει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Ἀρχέλαος, καὶ οἱ σὺν αὐτῷ ρμβ'. Μάρτυρες, ξίφει τελειοῦνται.

Στίχ. Θεὶς πρῶτος Ἀρχέλαος αὐχένα ξίφει,
Ἀρχὴ τομῆς σοι Λαὲ θεῖε Κυρίου.
Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„ Ὁ ἐν καμίνῳ πυρὸς, τοὺς ὑμνολόγους
„ σώσας παῖδας, εὐλογητὸς ὁ Θεὸς,
„ ὁ τῶν Πατέρων ἡμῶν.

Μαρτυρικῶς ἀθλητὰ, ἠγωνισμένος ἀμεβόας, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Νενικηκὼς τὸν ἐχθρὸν, σὺ ἀνεδείχθης ἀθλοφόρος, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων βοῶν.

Ἐπὶ τῆς γῆς νικητὴς, ἐν οὐρανοῖς δὲ στεφανίτης, ἀνηγορεύθης τοῦ Χριστοῦ, μάρτυς ἀήττητος.

Ἱερουργήσας Θεῷ, τῶν πλανητῶν τὴν σωτηρίαν, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων βοᾷς.

Θεοτοκίον.

Ὁ ἐκ Παρθένου τεχθεὶς, ἣν Θεοτόκον ἀπειργάσω, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„ Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων, γεννηθέντα Υἱὸν καὶ Θεὸν, καὶ ἐπ' ἐσχά-
„ των τῶν χρόνων σαρκωθέντα ἐκ Παρθέ-
„ νου Μητρὸς, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπε-
„ ρυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Σεσυλημένον ὁρῶντες, τὸν τοῦ σκότους κοσμοκράτορα, τὴν δεισιδαίμονα πλάνην, τοῦ Ἁγίου ταῖς ἐντάξεσιν, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοπρεπῶς σοι παμμάκαρ, τῶν κακούργων τὰ συστήματα, δι' ὀλεθρίων πραγμάτων, τιμωρούμενα ἐκραύγαζον· Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὡς μητρικαῖς ἀγκάλαις, ἀσινὲς τὸ βρέφος ἔσωσας, τῇ ἐνεργείᾳ σου προστάξει, ἐν ταῖς μύλαις τοῦ ἀγρίου θηρός. Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, Χριστὸν βοᾷς ἀπαύστως.

Κατελαμπρύνθης ἀφθόνως, ἀθλητὰ τῷ τρισηλίῳ φωτὶ, τὴν τρισυπό-



Digitized by Google

ϛατορ Φύσιν, ἀναμέλπων γὰρ ἐκραύγαζες· Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Τῶν Χερουβὶμ ὑπερτέρα, ἀμέθεκτος ὑπερεφάνης, Θεογεννήτορ Μαρία. ἐν Γαστρί σου γὰρ ἐσκήνωσεν, ὃν σὺν τοῖς ἀσωμάτοις, Βροτοὶ δοξολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον, Μητέρα „Θεοῦ τὴν ἐν χρόνῳ τὸν ἄχρονον, „ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

Ὅλος τοῦ ἄυλου πόθου γενόμενος, τοῦ Χριστοῦ ἐπεπόθησας, πιεῖν τὸ ποτήριον. διὸ πάντες σε μάκαρ μακαρίζομεν.

Νόμῳ θείῳ θεαρέστως ἑπόμενος, οὐ βωμείαις μακάριε, τοῦ Χριστοῦ τὸ ποτήριον, ὁλοψύχως ἀφθῆς ἀρυσάμενος.

Ὤφθης τῶν μαρτύρων ἔνδοξε καλλονὴ, τοῖς Χριστοῦ καλλυνόμενος, σεπτοτάτοις στίγμασι. διὰ τοῦτο σε, ἅπαντες γεραίρομεν.

Νῦν ἐν οὐρανίῳ λήξει γενόμενος, τῶν τοῦ βίου με λύτρωσαι, δεινῶν περιστάσεων, ἀθλητὰ Κυρίου ἔνδοξε.

Θεοτοκίον.

Χαῖρε Θεοτόκε μήτηρ Χριστοῦ τοῦ Θεοῦ, χαῖρε ὄρος τὸ ἅγιον, χαῖρε τὸ κεφάλαιον, τῆς σεπτῆς Παρθενίας, χαῖρε Δέσποινα. Ὁ Εἱρμός.

Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου.

Εἰς τὸν στ. τὸ ἰδιόμ. καὶ τὸ Μαρτυρ. Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτ. Αἱ μεταμοιαι ὡς ἡ συνήθεια, ἡ α'. Ὥρα. καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ Ϛ.

Τῶν Ἁγίων μβ'. Μαρτύρων, τῶν ἐν τῷ Ἀμορίῳ, Θεοδώρου, Κωνσταντίνου, Καλλίστου, Θεοφίλου, Βασσώη, καὶ τῆς συνοδίας αὐτῶν.

Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. καὶ ψάλλομεν ἰδ. προσόμοια. Ἦχος δ'.

Ὁ ἐξ ὑψίστου κληθείς.

Οἱ ἐν ἐσχάτοις καιροῖς ἀναφανέντες, Καλλίνικοι Μάρτυρες, ἀστέρες ἄδυτοι, ἐν τῷ σεπτῷ στερεώματι, τῆς Ἐκκλησίας, ἀθλῶν λαμπρότησιν ἐφωτίσατε, πᾶσαν τὴν ὑφήλιον καὶ διελύσατε, πλάνης τὸ σκότος πανεύφημοι, καὶ νῦν πρὸς φέγγος, τὸ αἰώνιον μετεβιβάσθητε. ὅθεν ἐν πίστει, τὴν φωσφόρον τε, καὶ ἱερὰν ὑμῶν ἄθλησιν, ἐκτελοῦμεν προστάτας, ἀγαθοὺς ἡμῶν πλουτήσαντες. Ὅμοιον.

Ἀπαγωγῇ Χριστομάρτυρες βιαίᾳ, δέσμιοι γεγόνατε καὶ ἀπετέθητε, ἐν φυλακῇ ἐπὶ μήκιστον, ἅπαντες χρόνον, θεῖοι τῆς πίστεως ὄντως φύλακες. ἐντεῦθεν μαινόμενος θὴρ ὁ δυσώνυμος, ξίφει ὑμᾶς ἐθανάτωσε, μὴ βουληθέντας, εἶξαι τοῖς τούτου δεινοῖς προστάγμασι. καὶ νῦν τὰ ἄνω ἐκληρώσασθε, χαρμονικῶς τεσσαράκοντα, πρὸς δυσὶ πεφυκότες, πανοίδιμοι Βασιλεία. Ὅμοιον.

Σὺν Κωνσταντίνῳ Βασσώῃ καὶ Καλλίστῳ, Θεόφιλον ἅπαντες καὶ τὸν Θεόδωρον, καὶ τὸν λοιπὸν θεῖον ὅμιλον, τῶν Ἀθλοφόρων, μεγαλοφώνως ἀνευφημήσωμεν. θανεῖν γὰρ προείλοντο ὑπὲρ τῆς πάντων ζωῆς, σφαγιασθέντες γηθόμενοι. καὶ νῦν ἐν πόλει, Θεοῦ τοῦ ζῶντος ἐπαναπαύσονται, καὶ ἐξαιτοῦσι τοῦ δοῦναι ἡμᾶς, ἁμαρτημάτων τὴν ἄφεσιν, ἐν ἡμέρᾳ τῆς δίκης, καὶ τελείαν ἀπολύτρωσιν.

Μεθοδίου. Δόξα. Ἦχος β'.

Ἡ Ἐκκλησία σήμερον πανηγυρίζει μυστικῶς, νέαν στολὴν ἐνδυσαμένη, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα τῶν νέων Ἀθλοφόρων. τούτους γὰρ ἐν εὐσεβείᾳ ἐκθρεψαμένη, θυσίαν ἄμωμον δεκτὴν καὶ εὐάρεστον, Χριστῷ προσήγαγε. διὸ νικήσας ὁ τούτους τῶν παρανόμων ἀναδείξας, καὶ στεφανώσας καὶ δοξάσας, καὶ ἡμῖν καταπέμψον, ταῖς αὐτῶν πρεσβείαις τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι.

Ἡ

Digitized by Google

Ἡ Σταυροθεοτοκίον. Ἦχος ὁ αὐτός.
Πρὸς, Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὕβρεις ὑπομείναντα πολλὰς, καὶ ἐπὶ Σταυροῦ ὑψωθέντα, τὸν τοῦ παντὸς Ποιητὴν, βλέψασα παναμώμητε, ἐστέναζες λέγουσα, ὑπερύμνητε Κύριε, Υἱὲ, καὶ Θεέ μου, πῶς τιμῆσαι θέλων σου τὸ πλάσμα Δέσποτα, φέρεις ἐν σαρκὶ ἀτιμίαν; δόξα τῇ πολλῇ εὐσπλαγχνίᾳ, καὶ συγκαταβάσει σου φιλάνθρωπε.

Εἰς τὸν ἄ. τὸ Ἰδιόμελ. τῆς ἡμέρας καὶ τὸ Τροπ. Δόξα. Ἦχος Πλ. β΄. Συμεὼν τὸ τοῦ.

Φάλαγγα θεοσεβῆ ἀρτιφανῶν Μαρτύρων, σφάγιον ἄμωμον, ὑπὲρ Χριστοῦ τυθέντα προθύμως, τὸν ἀγιόλεκτον συνασπισμὸν τῶν τεσσαράκοντα δύο, φιλομάρτυρες δεῦτε, τὴν πανίερον μνήμην πνευματικῶς τελέσαντες, βοήσωμεν πρὸς αὐτούς. Θραύσατε θράσος Ἀγαρηνῶν τῶν ἀθέων, καὶ ῥύσασθε λαὸν εὐσεβόφρονα, εὐχαῖς ὑμῶν πάσης περιστάσεως.

Καὶ νῦν. Θεοτοκίον. Τριήμερος ἀνέστης.

Μεγάλων χαρισμάτων Ἁγνὴ, Παρθένε Μήτηρ μόνη Θεοῦ, ἠξιώθης, ὅτι ἔτεκες σαρκὶ, τὸν ἕνα τῆς Τριάδος, Χριστὸν τὸν ζωοδότην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἡ Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Παναγνος ὡς εἶδέ σε, ἐπὶ Σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα, ἀνεβόα μητρικῶς. Υἱέ μου καὶ Θεέ μου, γλυκύτατόν μου τέκνον, πῶς φέρεις πάθος ἐπονείδιστον;

Τὰ Ἰδιόμελα ταῦτα ψάλλονται, εἰ τύχοι ἐν Σαββάτῳ. εἰδὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχῃ, οὐ χρὴ ψάλλεσθαι. Εἰς δὲ τὸν Ὄρθρον, ὁ Κανὼν τῶν Ἁγίων. Ὅπου δ᾽ ἂν τύχῃ τὸ Τριῴδιον, τῶν Ἁγίων ὁ Κανὼν μετὰ τῶν Εἱρμῶν, εἰς, ϛ. καὶ τοῦ Τριῳδίου οἱ δύο Κανόνες, εἰς, ή.

Ὁ Κανὼν τῶν Ἁγίων. Οὗ ἡ ἀκροστ. Ἀθλοστεφανῶ Καλλινίκων Μαρτύρων. Ἰωσήφ.

Ὠδὴ ά. Ἦχος Πλ. β΄.
Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Καταφανέντες τῷ ὕψει τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἔνδοξοι, ὡς ἀστέρες φαεινοὶ, τῶν πιστῶν φωτίζετε ψυχὰς, τὸν τῆς πλάνης σκοτασμὸν ἀποδιώκοντες.

Θαρσαλεότητι γνώμης τῷ δυσμενεῖ, συμπλακέντες Μάρτυρες, κατεπτώσατε αὐτὸν, καὶ θανόντες ηὕρατε ζωὴν, ἀτελεύτητον ὄντως μακαριώτατοι.

Λελαμπρυσμένοι τῷ κάλλει τῆς φωταυγοῦς, καὶ στεῤῥᾶς ἀθλήσεως, προσηνέχθητε Χριστῷ, τῷ τυθέντι Μάρτυρες σαρκὶ, καὶ χοροῖς μαρτυρικοῖς συνηριθμήθητε.

Οἱ τεσσαράκοντα δύο πανευκλεεῖς, τοῦ Κυρίου Μάρτυρες, μυριόλεκτον πληθὺν, ἀναμέτρων τρέψαντες πολλῶν, ἀγαθῶν ἐν Οὐρανοῖς κατηξιώθητε.

Θεοτοκίον.

Ὑπεραγία Παρθένε τῶν Ἀθλητῶν, θεῖον ἐγκαλλώπισμα. ἡ κυήσασα Χριστὸν, τὸν ὡραῖον κάλλεσιν αὐτὸν, καλλιῶσαι τὴν ἐμὴν ψυχὴν ἱκέτευε.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Σταδίου μέσον παραστὰς, τὸν σωτήριον Λόγον, δι᾽ ἡμᾶς σαρκωθέντα, ἐλευθέρᾳ τῇ φωνῇ, ἐκήρυξας ἀνδρικῶς, καρτερόφρον, μέγιστε Θεόδωρε.

Ἐμφρόνως πίστει ἐναθλῶν, ἀπηρνήσω τὸ σῶμα, καὶ τομῇ τῇ τοῦ ξίφους, ἀποκλίνας σεαυτὸν, ἐτύθης ὥσπερ ἀμνὸς, Κωνσταντῖνε, Μάρτυς ἀξιάγαστε.

Πιστὸν σε φίλον τοῦ Θεοῦ, ὁ καιρὸς τῶν ἀγώνων, ἐφανέρωσε πᾶσι, τῆς πρὸς σάρκα βλαβερᾶς, φιλίας τὸν λογισμὸν ἀποσπῶντα, κράτιστε Θεόφιλε.

Θεοτοκίον.

Ἁγίων δῆμος ἐναθλῶν, τεσσαράκοντα δύω, σὲ Θεοῦ τοῦ ὑψίστου, μητέρα παναληθῆ, ἐκήρυττεν ἐμφανῶς, δυναμοῦσαν, τούτους μεσιτείαις σου.

Ὁ Εἱρμός.

„ Οὐκ ἔστιν ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός
„ μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν
„ σου ἀγαθὲ, καὶ στερεώσας αὐτοὺς, ἐν τῇ
„ πέτρᾳ τῆς ὁμολογίας σου.

Καθ. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Συμπεφραγμένοι ἀνδρικῶς πρὸς ἀνόμους, συντεταγμένοι λογικῶς πρὸς ἀθέους, καὶ


Digitized by Google

τὴν πανοπλίαν ἤρασθε Χριστοῦ τοῦ Θεοῦ. πίστιν δὲ καὶ μάχαιραν ἐπὶ χεῖρα λαβόντες, ἀσπίδα τὴν ἐλπίδα δὲ, τεθεικότες ἐπ' ὤμων, πρὸς τῆς ἀγάπης θώρακα σαφῶς, ἐνδεδυμένοι ἐχθροὺς ἐτροπώσασθε.

Ἕτερον. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Ἀπαχθέντες δεσμῶται ὑπὸ ἐχθρῶν, καὶ φρουρᾷ συγκλεισθέντες χρόνοις πολλοῖς, τῇ πίστει φρουρούμενοι ἀσινεῖς διεμείνατε, καὶ τῷ ξίφει λυθέντες τοῦ σώματος Ἅγιοι, τῷ ἐνθέῳ πόθῳ σαφῶς συνεδέθητε· ὅθεν ὡς Φωστῆρες, διελάμψατε Κόσμῳ, τοὺς πάντας φωτίζοντες, τῇ τοῦ Πνεύματος χάριτι, Ἀθλοφόροι μακάριοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν. Θεοτοκίον.

Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον συνέχοντα, καὶ ἐν ἀγκάλαις φέρεις, τὸν πάντα κατέχοντα, τὸν τροφοδότην πάντων, καὶ Πλάστην τῆς Κτίσεως. ὅθεν δυσωπῶ σε Παναγία Παρθένε, ἐν ὥρᾳ τῆς Κρίσεως, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου, τὴν σήν μοι τότε δώρησαι βοήθειαν, ἄχραντε Δέσποινα. σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ λυτρωτὴν, ἡ Ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἠλάλαζε δακρύουσα, καὶ πικρῶς ὀλολύζουσα. ὁ μὲν Κόσμος ἀγάλλεται δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν. ἣν ὑπομένεις, διὰ σπλάγχνα ἐλέους, μακρόθυμε Κύριε, τοῦ ἐλέους ἡ Ἄβυσσος, καὶ πηγὴ ἀνεξάντλητος, σπλαγχνίσθητι καὶ δώρησαι, τῶν πταισμάτων τὴν ἄφεσιν, τοῖς πίστει σου ἀνυμνοῦσι τὰ θεῖα Παθήματα.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ἰσχύϊ Μάρτυρες, τοῦ θείου Πνεύματος, κατεβάλετε πᾶσαν τοῦ δυσμενοῦς, δύναμιν ἀνίσχυρον, θανατωθέντες καὶ ζωὴν, κληρωσάμενοι αἰώνιον.

Ἀνδρώσας κάλλιστα, ψυχὴν ὁ κάλλιστος, ταῖς ἐνθέοις μελέταις νεανικῶς, χαίρων προσεχώρησε, πρὸς τὴν τοῦ ξίφους ἐκτομὴν, τὰ οὐράνια κληρούμενος.

Ὡραίως ἔστησας, ἐν πέτρᾳ γνώσεως, τοῦ νοός σου βάσανον τὰς νοητὰς, βάσεις καὶ ἐσκέλισας, καταδιώξας ἀνδρικῶς, τοὺς ἐχθρούς σου παμμακάριστε.

Κενοῦντες αἵματα, λαμπρῶς τὰ πνεύματα, παρεδώκατε ἅμα τῷ δι' ἡμᾶς, πλούτῳ ἀγαθότητος, αἷμα τὸ ἴδιον Σταυρῷ, παναοίδιμοι κενώσαντι. Θτ.

Ἁγνὴν Μητέρα σε, οἱ θεῖοι Μάρτυρες, ἐπιστάμενοι Κόρη καὶ τὴν ἐν σοὶ, δόξαν κλεϊζόμενοι, τὰς ἀθανάτους δωρεὰς, ἐν ὑψίστοις ἐκληρώσαντο.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου.

Λαμπάδες ὤφθητε μυστικαὶ, φέγγει εὐσεβείας τὰς ψυχὰς, τῶν εὐσεβῶν σελαγίζουσαι, καὶ τῆς ἀγνωσίας τὸ σκότος λύουσαι, Κυρίου Ἀθλοφόροι μακαριώτατοι.

Λεόντων χάσματα νοητῶν, Μάρτυρες Κυρίου ἀβλαβῶς, παραδραμόντες γεγόνατε, βρῶμα τοῦ Δεσπότου τῶν ὅλων ἥδιστον, τρυφῆς ἀδιαρρεύστου κατακληρούμενοι.

Ἱκετηρίαν ὑπὲρ ἡμῶν, Μάρτυρες προσάξατε Θεῷ, οἱ δύω καὶ τεσσαράκοντα, ὅπως λυτρωθῶμεν πάσης κολάσεως, καὶ τῶν ἐπερχομένων ἀπείρων θλίψεων.

Θεοτοκίον.

Νοός μου τὸν θυμὸν δυσωπῶ, ἄχραντε κινήσεις πρὸς Θεὸν, ὁδὸν ζωῆς χρηματίζοντα· καὶ τῶν ἀθλοφόρων ἐξομαλίσαντα, τὰς τρίβους τὰς φερούσας πρὸς τὰ οὐράνια.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Ἰσχύϊ πτερούμενοι, τοῦ Σταυροῦ οἱ Ἀθληταὶ, παρανομίας θάλασσαν, ὑπέπλευσαν ἀβρόχως καὶ γαληνοὺς, λιμένας κατέλαβον, εὐσεβῶν κυβερνῆται χρηματίζοντες.

Κυρίου τοὺς Μάρτυρας, Κωνσταντῖνον εὐσεβῶς, καὶ τὸν κλεινὸν Θεόδωρον, Κάνδιδόν τε Βαλέριον καὶ σὺν αὐτοῖς, τὸν μέγαν Θεόφιλον, καὶ τοὺς τούτων συνάθλους εὐφημήσωμεν.

Ὡς

Ὡς αὐθη ἡδύπνοα, ἐν λειμῶνι μυστικῶς, τῶν ἀθλητῶν αὐθήσαντες, τὴν Ἐκκλησίαν ἅπασαν νοητῆς, ὀσμῆς ἐπληρώσατε, τὸ δυσῶδες τῆς πλάνης ἀπελάσαντες. Θεοτοκίον.

Νομίμως σε αὐθῆσαν, τὸν τῆς φύσεως, Χριστὲ, ὑπερφυῶς ἐκύησεν, ἡ Θεοτόκος Κόρη ὡς ἀληθῶς, νομίμως τοὺς Μάρτυρας, ἐναθλήσαντας πίστει στεφανώσαντα.

Ὁ Εἱρμός. Τοῦ βίου τὴν λάθαλασσαν.

Εἰ τύχοι ἐν Σαββάτῳ λέγε τὸ παρὸν Κοντάκιον καὶ τὸν οἶκον, εἰδ᾽ οὔ, τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τοὺς νεοφανεῖς ὁπλίτας τῆς Πίστεως, ὡς ὑπὲρ Χριστοῦ προθύμως ἐναθλήσαντας, ἐγκωμίων στέμμασιν ἐπαξίως πάντες στεφανώσωμεν, ὑπὲρ ἡμῶν πρεσβεύοντας Χριστῷ, ὡς πύργους καὶ φύλακας τῆς Ῥωμαίων ἀρχῆς. Ὁ Οἶκος.

Τὸ τοῦ Χριστοῦ ἀμήχανον κάλλος, καὶ τὴν ἄφραστον δόξαν, ἣν Ἀγγέλων χοροὶ ἐπιθυμοῦσι θεάσασθαι, ἐν παῤῥησίᾳ ὑμεῖς ὁρῶντες, μετὰ πάντων ἁγίων τῶν ἀπ᾽ αἰῶνος οἱ τοῦ Χριστοῦ τεσσαράκοντα καὶ δύω Ἀθληταὶ, ταῖς ἁγίαις ὑμῶν πρεσβείαις, τοὺς ὑμᾶς εὐφημοῦντας φωτίσατε, ἁμαρτιῶν τὸ σκότος διώκοντες, καὶ υἱοὺς φωτὸς ἐργαζόμενοι. Ὡς πύργοι καὶ φύλακες τῆς Ῥωμαίων ἀρχῆς.

Τῷ αὐτῷ Μηνὶ ϛ΄. Μνήμη τῶν Ἁγίων Μαρτύρων, τῶν ἐν τῷ Ἀμορίῳ ἀθλησάντων, Θεοδώρου, Κωνσταντίνου, Καλλίστου, Θεοφίλου, Βαασοὴ, καὶ τῶν σὺν αὐτοῖς.

Στ. Τὴν ἐξάριθμον συντεθειμένην φέρει, Σὺν ἑπταρίθμῳ ἡ τετμημένη φάλαγξ. Τεσσαράκοντα κάρηνα δυοῖν ἅμα ἔκτῃ ἐτμήθη.

Οὗτοι τῆς Πόλεως τοῦ Ἀμορίου πρῶτοι ὑπῆρχον, ἐπὶ Θεοφίλου ἁλούσης ὑπὸ τῶν Ἀγαρηνῶν, αἰχμάλωτοι ἀπάγονται, στρατηγοὶ καὶ ταξίαρχαι ὄντες, καὶ τοῦ πρώτου παρὰ Ῥωμαίοις μετέχοντες γένους. οὔτε δειλίᾳ δὲ, οὔτε φιλοψυχίᾳ, οὔτε μαλακίᾳ, οὔτε πολυχρονίῳ ταλαιπωρίᾳ τὴν πρὸς Χριστὸν προὔδωκαν Πίστιν, ἀλλ᾽ ἀνδρείῳ φρονήματι καὶ ψυχῆς γενναιότητι παραταξάμενοι. οὐ γὰρ τῇ τοῦ σώματος κακώσει, καὶ οἰομένῃ τρυφῇ τὰς ψυχὰς ἐλελώβηντο, ἀλλ᾽ ἀνδρείως πάντες καὶ τὴν εἰς Χριστὸν Πίστιν ἀπομώσασθαι μὴ καταδεξάμενοι, χαίροντες, τὰς κεφαλὰς ἀπετμήθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀρκαδίου.

Στ. Ὀσφὺν νοητὴν ἀρεταῖς ἐζωσμένος, Εὔζωνος, Ἀρκάδιε, πρὸς Πόλον τρέχεις.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Ἡσυχίου τοῦ Θαυματουργοῦ.

Στ. Δὺς Ἡσύχιε, σεαυτὸν ἡσύχῳ βίῳ, Τέλους φθάσαντος ἡσυχάζεις ἐκ βίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Μάξιμος, λιθοβοληθεὶς, τελειοῦται.

Στ. Ὅλῳ βλέπων νῷ Μάξιμος πρὸς τὰ στέφη,
Πρὸς τὰς προσβολὰς ὑπῆρχε λίθων λίθος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Εὐφρόσυνος, ὕδωρ καχλάζον ποτισθεὶς, τελειοῦται.

Στ. Ζέον πεπωκὼς φιάλῃ κοίλῃ πόμα,
Ὁ Μάρτυς Εὐφρόσυνος εὐφράνθη μάλα.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Εὕρεσις τοῦ Τιμίου Σταυροῦ, ὅτε εὑρέθη ὑπὸ τῆς Μακαρίας Ἑλένης.

Στ. Δίδωσιν ἡμῖν Ἑλένη ταύτην χάριν.
Βλέπειν τὸ σῶσαν ἐκ φθορᾶς ἡμᾶς ξύλον.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Εὕρεσις τῶν τιμίων Ἥλων.

Στ. Φανέντες Ἧλοι Βασιλεῖ τοῦ μὲν κράτους,
Ἄγαλμα κεῖνται, τοῦ χαλινοῦ δὲ κράτος.

Τῇ αὐτῇ ἡμέρᾳ, Γουλιανὸς καὶ Εὔβουλος ξίφει τελειοῦνται.

Στ. Δεῦρο ξίφει θάνωμεν Εὐβούλῳ λέγει,
Γουλιανὸς εἰσφέρων εὐβουλίαν.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Δροσοβόλον μέν.

Μετὰ χρόνιον εἱρκτὴν οἱ τεσσαράκοντα, καὶ δύω Χριστοῦ Μάρτυρες, τῆς τοῦ σώματος φυλακῆς λυθέντες ὡς αὐτοῦ, φυλάξαντες Μόλους ἀληθεῖς, φύλακες ὤφθησαν ἡμῶν, οἰκοῦντες τοὺς Οὐρανοὺς.

Αἰχ-

Digitized by Google

Αἰχμαλώτους θείους παῖδας μιμησάμενοι, ὡς αἰχμάλωτοι ἀπαχθέντες, χώραν εἰς μακρὰν, Καλλίνικοι Μάρτυρες ἐν ᾗ, τὸν πολυτάραχον ἐχθρὸν ᾐχμαλωτεύσατε.

Ῥείθροις αἵματος ὑμῶν τῆς ματαιότητος, χειμάῤῥους ἐξηράνατε. ποταμίοις δὲ, ἐμβληθέντες ῥεύμασι σοφοὶ, πρὸς ὕδωρ μετέβητε ζωῆς, μετοχετεύοντες ἡμῖν ἀθανασίας κρουνούς. Θεοτοκίον.

Τόμος ἄχραντε καινότατος ὑπάρχουσα, τὸν λόγον ἐγγραφόμενον ἐν σοὶ ἔσχηκας, τὸν ἐν βίβλῳ ζώντων τοὺς αὐτοῦ, ἐγγράψαντα θείους ἀθλητὰς, τὰ γεγραμμένα ἐμμελῶς ἀποπληρώσαντας.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ὑπελθόντες Μαρτύρων τὸ θεῖον στάδιον, σταθερῶς τοὺς ἀγῶνας προσεπεδέξασθε, τρέποντες ἐχθρὸν, ταῖς ἀτρέπτοις ἐνστάσεσιν. ὅθεν ἀνευφημοῦμεν ὑμᾶς Χριστοῦ αὐτόπτας.

Ῥωμαλαῖος ἀντέστης τοῖς ματαιόφροσιν, ἀθλητὰ Κωνσταντῖνε τοῖς ἀναγκάζουσι, σὲ τῆς τοῦ Χριστοῦ ἀποστῆναι διαδόσεως, καὶ ταῖς τῶν Μαρτύρων ἀγέλαις ἠριθμήθης.

Ὥσπερ ἄκακοι ἄρνες ὁμοθυμούμενοι, πρὸς δυσὶν Ἀθλοφόροις οἱ τεσσαράκοντα, Πάθος τὸ σεπτὸν τοῦ τυθέντος ὡς πρόβατον, χαίροντες μιμοῦνται πολλῇ σὺν παῤῥησίᾳ. Θεοτοκίον.

Νυμφοστόλος φανείς σοι θεῖος Ἀρχάγγελος, χαῖρε πύλη, Θρόνε Θεοῦ ἐβόα σοι, Ἄχραντε ἁγνὴ Ἀθλοφόρων κραταίωμα, ὁμολογησάντων Θεὸν σαρκὶ φανέντα.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ἰδεῖν τὸν Κύριον ἠξιώθητε, στέφος ὑμῖν δωρούμενον τῆς δόξης τὸ ἄφθαρτον, Κωνσταντῖνε Βασσώη Θεόδωρε, Κάλλιστε γενναιόφρον, μάκαρ Θεόφιλε, ἅμα τοῖς λοιποῖς ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύσατε.

[illegible] ὁ φῶς ὡς ὄρθρος ὡς μέγας Ἥλιος, τῶν Ἀθλητῶν ἡ μνήμη ἀναλάμψασα σήμερον, τῶν πιστῶν τὰς ψυχὰς κατελάμπρυνε, ταύτην ἐπιτελοῦντες, τούτους ἀνυμνήσωμεν, μέλεσιν αὐτῶν, τὸν λυτρωτὴν Χριστὸν δοξάσαντες.

Στρατὸς Μαρτύρων θεῖος κατάλογος, ἀθλητικὸς δυσὶ πρὸς τεσσαράκοντα χάριτι, μυριάσιν Ἀγγέλων ἠρίθμηνται, λύσιν ἡμῖν πταισμάτων, νῦν ἐξαιτούμενοι, μετρῶν τῆς νηστείας, ἡμερῶν τῶν τεσσαράκοντα.

Ἡ γῆ τὸ αἷμα ὑμῶν ἐδέξατο, καὶ ποταμὸς τὰ σώματα ῥιφέντα συνήνωσε, κεφαλαὶ αἱ τμηθεῖσαι πανόλβιοι, ὑπερθεν φερομένης, θείας λαμπρότητος, καὶ προηγουμένης, ἐμφανῶς δυνάμει κρείττονι.

Θεοτοκίον.

Φωτὸς δοχεῖον Θεοχαρίτωτε, φωτισμοῖς θείαις αὐγαῖς σου τὴν καρδίαν μου φώτισον, ῥαθυμίας τὰ μέθη διώκουσα, καὶ τὸ τῆς ἁμαρτίας, σκότος ἐξαίρουσα, ἡ τὸν ἀναμάρτητον Θεὸν ἀποκυήσασα.

Ὁ Εἱρμός.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Εἰ τύχοι ἐν Σαββάτῳ, λέγε τὸ Ἐξαποστειλάριον, εἰδὲ ἐν ἄλλῃ ἡμέρᾳ, τὸ φωταγωγικὸν τοῦ τυχόντος ἤχου.

Ἐξαποσ. Ἐν Πνεύματι τῷ Ἱερῷ.

Τεσσαρακαιδέκαριθμος χορὸς, σὺν δυσὶν ὁμοψύχοις, ἐνήθλησε στεῤῥότατα, μέχρι τέλους καὶ πάσας, τὰς μηχανὰς κατέβαλε, τοῦ ἐχθροῦ καὶ πέφυκε, πρὸς Οὐρανίους σκηνώσεις, τὸ δὲ στέφος τῆς νίκης, ἐκομίσατο φαιδρὸν, ἐκ δεξιᾶς τοῦ Ὑψίστου.

Θεοτοκίον. Ὅμοιον.

Ὡς ἔχουσα τὸ συμπαθὲς, καὶ τὸ ἔλεος μέγα, ἐπίβλεψον πανύμνητε, Θεοτόκε Παρθένε, εἰς τὴν ἐμὴν ταπείνωσιν, καὶ παθῶν τὸν θόρυβον, καὶ τῶν σκανδάλων τοῦ βίου, διασκέδασον Κόρη, καὶ πυρὸς τῆς γεέννης, ῥῦσαί με ταῖς πρεσβείαις.

Εἰς τὸν Α΄. τὸ Ἰδιόμ. τῆς ἡμέρας, δίς. καὶ τὸ Μαρτυρικόν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἡ Σταυροθ. αἱ συνήθεις μετάνοιαι.

Καὶ ἡ α΄. ὥρα ὡς ἡ συνήθεια, καὶ Ἀπόλυσις.

Τῷ

Digitized by Google

Τῇ αὐτῇ Μηνὶ Ζ'.

Τῶν Ἁγίων Ἱερομαρτύρων, τῶν ἐν Χερσῶνι μαρτυρησάντων, Βασιλέως, Ἐφραίμ, Εὐγενίου, Καπίτωνος, Αἰθερίου, καὶ τῶν λοιπῶν.

Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, τὰ γ'. Προσόμοια τοῦ Τριῳδίου, καὶ τῶν Ἁγίων, γ'. προσόμοια. Ἦχος δ'.

Ἔδωκας σημείωσιν.

Μάρτυρες ἀήττητοι, καὶ Ἱεράρχαι πανεύφημοι, καὶ Φωστῆρες παγκόσμιοι, στῦλοι ἀπερίτρεπτοι, θείας Ἐκκλησίας, καὶ βάσις δογμάτων, καὶ ὁδηγοὶ τῶν εὐσεβῶν, καὶ καθαιρέται πλάνης γεγόνατε, Πατέρες Οὐρανόφρονες, φωταγωγοὶ τῶν ψυχῶν ἡμῶν, τῶν Ἀγγέλων συνόμιλοι, τῆς Τριάδος ὑπέρμαχοι. Ὅμοιον.

Ἐφραὶμ ὁ ἀοίδιμος, καὶ Βασιλεὺς ὁ Θεόσοφος, καὶ Καπίτων ὁ μέγιστος, θεῖος Ἀγαθόδωρος, σὺν τῷ Ἐλπιδίῳ, καὶ τῷ Αἰθερίῳ, καὶ Εὐγενίῳ τῷ κλεινῷ, λόγοις ἐνθέοις μακαριζέσθωσαν. ὁσίως γὰρ βιώσαντες, καὶ ἱερῶς ἐναθλήσαντες, Βασιλείας ἐδείχθησαν, Οὐρανίου οἰκήτορες. Ὅμοιον.

Νεκρώσας τὸ φρόνημα, τὸ τῆς σαρκὸς ἀγωνίσμασι, Βασιλεὺς ὁ ἀοίδιμος, νεκροὺς διαφανέστησεν, ἐπικλήσει θείᾳ. Καπίτων δὲ πάλιν, ὁ ἱερώτατος Ποιμήν, φλογὸς ἐν μέσῳ ἑστὼς γηθόμενος, ὠράθη ἀκατάφλεκτος. αὐτῶν πρεσβείαις φιλάνθρωπε, ἱλασμὸν ἡμῖν δώρησαι, καὶ τὸ μέγα σου ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαίροις Ἡλιόμορφε, Ἡλίου ἄδυτον ὄχημα, ἡ τὸν ἥλιον λάμψασα τὸν ἀπερινόητον. χαῖρε νὺξ ἀστράπτων, θείαις φρυκτωρίαις, ἡ λαμπηδὼν τῆς ἀστραπῆς, ἡ διαυγάζουσα γῆς τὰ πέρατα. ἡ ὄντως χρυσαυγίζουσα, ἡ παγκαλὴς καὶ πανάμωμος, ἡ τὸ φῶς τὸ ἀνέσπερον, τοῖς πιστοῖς διαστράψασα. Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐσταυρωμένον βλέπουσα, Χριστὸν ἡ πανάγνος Δέσποινα, καὶ πλευρὰν ὀρυττομένην, λόγχῃ ἡ πανάμωμος, ἔκλαιε βοῶσα. τί τοῦτο Υἱέ μου; τί σοι ἀχάριστος λαός, ἀποτιννύει ἀνθ' ὧν πεποίηκας, καλῶν αὐτοῖς καὶ σπεύδει με, ἀτεκνωθῆναι παμφίλτατε; καταπλήττομαι εὔσπλαγχνε, σὴν ἑκούσιον Σταύρωσιν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν. οἱ Κανόνες τῶν Ἁγίων, καὶ τοῦ Τριῳδίου. Ὅπου δὲ ἐστὶ τὸ Τριῴδιον, τῶν Ἁγίων ὁ Κανὼν μετὰ τοῦ Εἱρμοῦ εἰς ἕξ, καὶ τοῦ Τριῳδίου οἱ δύο Κανόνες εἰς η'. ὕστερον δὲ ὁ Εἱρμὸς τοῦ ὑστέρου Κανόνος, ὁ Κανὼν τῶν Ἁγίων.

Οὗ ἡ ἀκροστιχίς.

Τὸν ἑπτάριθμον Ποιμένων χορὸν σέβω.

Ἰωσήφ. Ὠδὴ α'. Ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον.

Ταῖς θείαις φωτοχυσίαις Μάρτυρες περιχεόμενοι, τὴν φωτοφόρον ταύτην καὶ φαιδράν, ἑορτὴν ὑμῶν πάντοτε, τοὺς εὐσεβῶς γεραίροντας, παθῶν ἀχλύος ἐκλυτρώσασθε.

Ὁ λόγος ὁ τοῦ Θεοῦ σαρκούμενος ὑμᾶς ἀνέδειξε, πανευκλεεῖς Ποιμένας τὴν αὐτοῦ, καταγγεῖλαι Θεότητα, τοῖς πλανωμένοις Ὅσιοι, καὶ ἀγνωσίᾳ κινδυνεύουσι.

Νάματι ζωοποιῷ τοῦ Πνεύματος ἀποπληρούμενοι, τοὺς ἐκτακέντας καύσωνι δεινῆς, ἀθείας ἠρδεύσατε, καὶ πρὸς τὸ ὕδωρ ἔνδοξοι, τῆς σωτηρίας ὡδηγήσατε.

Θεοτοκίον.

Ἐλύθη τῶν Προπατόρων ἀχράντε τὸ ἐπιτίμιον, τῇ ὑπὲρ νοῦν κυήσει σου Ἁγνή, καὶ τὴν πρώτην ἀπέλαβον, τοῦ Παραδείσου εἴσοδον, μεγαλοφώνως εὐφημοῦντές σε.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Πυρὶ τῷ θείῳ τὸν νοῦν, πεπυρωμένος Βασιλεῦ πάνσοφε, οἷα Ποιμὴν ἄριστος, ὕλην ἀθείας ἐνέπρησας.

Τοῦ Πνεύματος τῷ φωτί, τοὺς ἐν τῷ σκότει τῶν δεινῶν ἔνδοξοι, πρὸς φωτισμὸν εἱλκύσατε, τοῦ ἱερωτάτου Βαπτίσματος.

Αἱ τρίβοι σου πρὸς Θεόν, κατευθυνθεῖσαι Βασιλεῦ ἅπαντας, πλάνης ὁδοῦ χάριτι, πρὸς Θεογνωσίαν ἐπέστρεψαν.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Ρυόμενον τοὺς βροτοὺς, τῆς δυναστείας τοῦ ἐχθροῦ πανάγνε, τὸν δυνατὸν Κύριον, ἄχραντε Παρθένε ἐκύησας.

Ὁ Εἱρμός.

„Εὐφραίνεται ἐπὶ σοὶ, ἡ Ἐκκλησία σου „Χριστὲ κράζουσα. σύ μου ἰσχὺς Κύριε, „καὶ καταφυγὴ καὶ στερέωμα.

κα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Μύρῳ τῆς χάριτος ἱερατεύσαντες, Ποιμένες ὤφθητε λαοῦ Θεόφρονες, καὶ ὡς ἀμνία καθαρὰ τυθέντες προσηνέχθητε, Λόγῳ Ἀρχιποίμενι, τῷ τυθέντι ὡς πρόβατον, Μάρτυρες πανεύφημοι, καὶ Φωστῆρες παγκόσμιοι. διὸ πανηγυρίζομεν πάντες, πόθῳ τὴν θείαν μνήμην ὑμῶν.

Θεοτοκίον. Ὅμοιον.

Ὡς ἀγεώργητος Παρθένε ἄμπελος, τὸν ὡραιότατον βότρυν ἐβλάστησας, ἀναπηγάζοντα ἡμῖν τὸν οἶνον τὸν σωτήριον, πάντων τὸν εὐφραίνοντα, τὰς ψυχὰς καὶ τὰ σώματα. ὅθεν ὡς αἰτίαν σε, τῶν καλῶν μακαρίζοντες, ἀεὶ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ κεχαριτωμένη.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐπονείδιστον οἰκτίρμον θάνατον, διὰ Σταυρώσεως ἑκὼν ὑπέμεινας, ὃν ἡ τεκοῦσά σε Χριστὲ τὰ σπλάγχνα ἐτιτρώσκετο. ἧς ταῖς παρακλήσεσι, διὰ σπλάγχνα ἐλέους σου, μόνε ὑπεράγαθε, καὶ φιλάνθρωπε Κύριε, οἰκτείρησον καὶ σῶσον τὸν Κόσμον, ὁ αἴρων τὴν τούτου ἁμαρτίαν.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἱερώτατος Μαρτύρων χορὸς ὑμνείσθω, Ἱερωσύνης χάριτι καὶ τῆς μαρτυρίας, καταγλαϊζόμενος, καὶ μέλπων γηθόμενος, δόξα τῇ δυνάμει σου Κύριε.

Θεοφόροι κυβερνῆται τῆς Ἐκκλησίας, Ἐφραὶμ καὶ Ἀγαθόδωρος, Βασιλεὺς Καπίτων, Εὐγένιος Ἐλπίδιος, καὶ θεῖος Αἰθέριος, Πνεύματι Ἁγίῳ ἐδείχθησαν.

Μεμυημένοι τὰ Θεῖα Θεῖοι Πατέρες, λαοὺς ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ὄντως ἐποιμάνατε, καὶ τέλος μακάριον, διὰ μαρτυρίου ἐδέξασθε.

Οἱ θανόντες ἀπιστίᾳ τοῦ τεθνηκότος, τῇ ἀνεγέρσει ἔτυχον ζωῆς αἰωνίου, διὰ σοῦ πιστεύσαντες Χριστῷ τῷ Θεῷ ἡμῶν, Μάρτυς Βασιλεῦ ἱερώτατε. Θεοτοκίον.

Νενεκρωμένους ἐζώωσας τοὺς ἀνθρώπους, ζωὴν τὴν ἐνυπόστατον τεκοῦσα Παρθένε, ὑπὲρ πᾶσαν ἔννοιαν Χριστὸν τὸν Θεὸν ἡμῶν, ἄνθρωπον δι' οἶκτον γενόμενον.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Ποτήριον σεπτοῦ Μαρτυρίου ἐπίετε, τὸ ὄνομα τοῦ Κυρίου Θεοφόροι Πατέρες, πιστῶς ἐπικαλούμενοι.

Ὁ μόνος τοῖς νεκροῖς ἐπιπνέων ἀνάστασιν, ἐντάξει σου τὸν θανόντα Βασιλεῦ ἐξεγείρει, λαμπρύνων σου τὸ κήρυγμα.

Ἰσότιμον Πατρὶ τὸν Υἱὸν καταγγέλλοντες, πολύθεον τυραννίδα τῆς Εἰδωλομανίας, Πατέρες ἐμειώσατε.

Θεοτοκίον.

Μακάριός ἐστιν ὁ λαὸς ὁ γινώσκων σε, πανάμωμε τοῦ Δεσπότου τῶν ἁπάντων Μητέρα, καὶ πόθῳ μακαρίζων σε.

Ὠδὴ ϛ'. Θύσω σοι, μετὰ φωνῆς.

Ἐπαίνοις, Ἀγαθόδωρόν τε καὶ Εὐγένιον, καὶ Βασιλέα τὸν μέγαν, καὶ σοφὸν Ἐλπίδιον στέψωμεν, Ἱεράρχας, καὶ γενναίους ὑπάρχοντας Μάρτυρας.

Νομίμως, τεθραμμένοι τοῦ Πνεύματος πάνσοφοι, τοῖς ἀνομοῦσι τοὺς Νόμους, τοὺς σωτηριώδεις παρατιθέντες, εὐσεβείας, πρὸς τὸ φέγγος αὐτοὺς ἐφειλκύσατε.

Ὤφθητε, διαφόρων ἐκ Πόλεων θρέμματα, ἑνὸς Ποιμένος λαοῦ δὲ, καὶ τῆς Θείας Πόλεως κληρονόμοι, ἣ οἰκοῦσιν, οἱ Θεὸν θεραπεύοντες Μάρτυρες.

Θεοτοκίον.

Νόμου σε, αἱ σκιαὶ Προφητῶν τε αἰνίγματα, προδιετύπουν Παρθένε, τὴν ἀῤῥήτῳ λόγῳ κυοφορίαν, ἐχηκῦαν, διασώζουσαν Κόσμον πανάμωμε.

Ὁ Εἱρμός.

„Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, „ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ Δαιμόνων „λύθρου κεκαθαρμένη, τῷ δι' οἶκτον, ἐκ „τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι.

Τὸ

Digitized by Google

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Ζ'. Τῶν Ἁγίων Ἱερομαρτύρων, τῶν ἐν Χερσῶνι ἐπισκοπησάντων, Ἐφραὶμ, Βασιλέως, Εὐγενίου, Ἀγαθοδώρου, Καπίτωνος, καὶ Αἰθερίου.

Στίχ. Μὴ τὴν κεφαλὴν τοῖς ἀγάλμασι κλίνων,
Ἐφραὶμ ἀγάλλῃ τῇ τομῇ ταύτην κλίνων.
Ἐφραὶμ ἑβδομάτῃ ξίφος ἔκτανεν ἀρχιερῆα.
Συρεὶς Βασιλεὺς χερσὶ δεισιδαιμόνων,
Χεῖρας διασπᾷ δεισιδαίμονος πλάνης.
Τριὰς συνάθλος τοῦ Προφήτου τὸν λόγον,
Εἰς μάστιγας δέδωκα τὸν νῶτον λέγει.
Ἐπῆρε χεῖρας εἰς προσευχὴν Καπίτων,
Καὶ πρὸς Θεὸν μετῆρεν ἐξάρας πόδας.
Ἐκ τοῦ ποταμοῦ πρὸς Θεὸν χωρεῖς Πάτερ,
Τὸν ἐν ποταμῷ σαρκικῶς λελυμένον.

Τῷ ἑκκαιδεκάτῳ ἔτει τῆς Διοκλητιανοῦ βασιλείας, Ἑρμωνος τοῦ ἁγιωτάτου Ἐπισκόπου Ἱεροσολύμων ἐν διαφόροις Ἔθνεσιν Ἐπισκόπους ἐξαποστείλαντος, ἀποστολικῶς τὸν λόγον κηρύττειν, καὶ τὸν Χριστὸν καταγγέλλειν, ἀπεστάλησαν παρ' αὐτοῦ καὶ οἱ Θεοφόροι οὗτοι Πατέρες ἡμῶν ἐπὶ τὴν τῶν Ταυροσκυθῶν Χώραν. Ἐφραὶμ μὲν εἰς Σκυθίαν, Βασιλεὺς δὲ εἰς Χερσῶνα. καὶ δὴ τὴν Πόλιν καταλαβὼν, καὶ βίου διόρθωσιν καὶ μεταβολὴν πίστεως κηρύττων, ὑπὸ τῶν ἐνοικούντων ὡς καινῆς τινὸς πολιτείας καταγγελεὺς καὶ τῶν πατρῴων ἐθῶν, ἅμα καὶ πίστεως διαφθορεὺς νομισθεὶς, τύπτεται, καὶ τῆς Πόλεως ἀπελαύνεται. καὶ ἐν οἰκῶν ἔν τινι σπηλαίῳ, Παρθενῶνι λεγομένῳ, χαίρων μὲν καὶ ἡδόμενος, ὡς ὑπὲρ Χριστοῦ ἀτιμασθεὶς, ἀλύων δὲ καὶ δυσφορῶν καὶ ἀχθόμενος ἐπὶ τῇ πωρώσει καὶ πλάνῃ τῶν ἀπίστων. οὕτως οὖν ἔχων καὶ ὑπὲρ αὐτῶν ἀχθόμενος, πρὸς αὐτῶν ἐκείνων ἐκλήθη. ἀποθανόντος γὰρ τοῦ παιδὸς κατάρχοντος αὐτῶν καὶ πρώτου τῆς Πόλεως αὐτῶν, ὃν οἱ προσήκοντες ταφῇ παραδόντες, καὶ ἐπὶ τῷ τάφῳ προσμένοντες, ἔδοξαν ὄναρ ἐπιστάντα τούτοις εἰπεῖν. εἰ θελητὸν ὑμῖν ἐστὶν ἀναβιῶσαί με, τὸν ἀτιμασθέντα καλέσαντες ξένον, καὶ τῇ διδαχῇ αὐτοῦ πιστεύσαντες, ὑπὲρ ἐμοῦ εὔξασθαι δυσωπήσατε. Τούτου δὲ γενομένου, καὶ ταῖς εὐχαῖς τοῦ Ἁγίου διὰ τῆς ἐπιχύσεως τοῦ ἁγιασθέντος ὕδατος, τῷ τοῦ Βαπτίσματος τύπῳ τοῦ παιδὸς πρὸς ζωὴν ἐπιστρέψαντος, τὴν εἰς Χριστὸν ἐδέξαντο Πίστιν οἱ τούτου γεννήτορες, καὶ μετὰ πάντων τῶν γνωστῶν καὶ οἰκείων τῷ λουτρῷ τοῦ Βαπτίσματος προσέδραμον. Οἱ δὲ ἐν ἀπιστίᾳ ὑπὸ τῶν Ἰουδαίων εἰς ὀργὴν κινηθέντες, κατὰ τῆς πλατείας τὸν ἅγιον ἔσυρον, καὶ ἐπὶ πολὺ συρόμενος, τὸ Πνεῦμα τῷ Θεῷ παρέθετο. εἶτα αὖθις Εὐγενίου, καὶ Ἀγαθοδώρου, καὶ Ἐλπιδίου, μετὰ τὴν τοῦ Ἁγίου Βασιλέως τελευτὴν, ἐν Χερσῶνι περαιωθέντων, διά τε καὶ αὐτοὺς ὁμοίως ἀπὸ τοῦ Ἐπισκόπου Ἱεροσολύμων ἀποσταλῆναι Κήρυκας τῶν Ἐθνῶν, καταγγέλλοντας τὴν σωτηρίαν, ἐπιστάντες οἱ ἐν ἀσεβείᾳ κατ' αὐτῶν, καὶ συνδήσαντες αὐτοὺς ἀνηλεῶς, καὶ ὠμοτάτως τύπτοντες ἀπέκτειναν, διαγενομένου τοῦ χρόνου κατὰ τὴν ἡμέραν τῆς τελειώσεως τοῦ μακαρίου Ἐφραὶμ καὶ Βασιλέως, τῇ ἕκτῃ τοῦ Μαρτίου Μηνός. Χρόνοις δὲ ὕστερον αὖθις Αἰθέριος ἐξ Ἱεροσολύμων ἀπεστάλη Ἐπίσκοπος. ὃς τὸ ἀγριαῖνον τοῦ λαοῦ καὶ δυσσεβὲς κατιδὼν, ἀπῆρε πρὸς τὸ Βυζάντιον, τῷ Βασιλεῖ κατ' αὐτῶν ἐντευξόμενος. ἤδη γὰρ ὁ μέγας Κωνσταντῖνος ἦν ἰθύνων τὴν Ῥωμαίων ἀρχήν. Τῆς δὲ ἐντεύξεως κατὰ νοῦν αὐτῷ γενομένης, καὶ διὰ τῆς Βασιλικῆς χειρὸς ἀπελαθέντων μὲν τῶν ἀπίστων τῆς Πόλεως, ἀντεισαχθέντων δὲ τῶν εἰσοικισθέντων ἀνδρῶν εὐσεβῶν, καὶ τοῦ μακαρίου Αἰθερίου μετ' εὐχαριστίας ἐπὶ τὸ Βυζάντιον ἐπανιόντος, καὶ ἐν τῷ ἐπανιέναι ἀπορριφέντος αὐτοῦ ὑπὸ τῶν ἀπίστων κατὰ τὸν Δάναβιν ποταμὸν, κἀκεῖ μαρτυρικῶς τὸν δρόμον τελέσαντος, τῇ ἕκτῃ τοῦ Μαρτίου Μηνός, πρεσβείαν οἱ τῆς Πόλεως Χερσῶνος πρὸς τὸν μέγαν Κωνσταντῖνον στελλόμενοι, Καπίτωνα τὸν Μακάριον Ἐπίσκοπον ἔλαβον. ἐφ' ᾧ τῶν εὐσεβῶν ἡδομένων, τῶν δὲ ἀπίστων δυσχεραινόντων, καὶ σημεῖον πίστεως αἰτούντων ἐν

μιᾷ

Digitized by Google

μιᾷ τῶν παρ' αὐτοῖς καιομένων καμίνων εἰσελθεῖν, καὶ ἀπαθῆ ἐξελθεῖν, καὶ ἄφλεκτον, τὴν ἱερατικὴν ἐσθῆτα περιβαλόμενος ὁ Ἐπίσκοπος, καὶ τὸ ὠμοφόριον αὐτοῦ περιθείς, καὶ σφραγισάμενος, καὶ ἐν τῷ πυρὶ εἰσελθών, καὶ ἐφ' ὥραν ἱκανὴν διαμείνας, ἐξῆλθεν ἄφλεκτος, μεστὸν ἔχων τὸ φελώνιον ἀνθράκων πυρός, πάντας σχεδὸν ἐπὶ τῷ θαύματι καταπλήξας καὶ βαπτίσας, ἤδη πρὸς τὸν Θεὸν ἐπιστρέψαντας, μακαρίως τὸν βίον μετήλλαξε, τῇ εἰκοστῇ δευτέρᾳ τοῦ Δεκεμβρίου μηνός.

Τῇ αὐτῇ ἡμέρᾳ, Νέστωρ καὶ Ἀρκάδιος, Ἐπίσκοποι Τριμυθοῦντος, ἐν εἰρήνῃ τελειοῦνται.

Στ. Τῆς Τριμυθοῦντος Ποιμένες καλοὶ δύω.
Ἐν τῇ καλῇ σκιρτῶσι τῆς Ἐδὲμ πόᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παύλου τοῦ Ἁπλοῦ.

Στ. Γῆθεν μεταστὰς πρὸς Θεόν, Παῦλε λόγον,
Τῆς ἁπλότητος πολλὰ τὰ στέφη λάβοις.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Παῦλος, ὁ καὶ Ἁπλοῦς προσαγορευθείς, γεωργὸς ἦν, καὶ ἄγροικος καθ' ὑπερβολήν, ἄκακος δὲ καὶ ἄπλαστος τὴν γνώμην, ὡς ἄλλος οὐδείς. εἶχε δὲ σύμβιον δύστροπον καὶ μοιχαλίδα, καὶ ἐπὶ πολὺ ἐλάνθανε τὸν δίκαιον. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἐλθόντος αὐτοῦ ἐκ τοῦ ἀγροῦ ἐξαίφνης παρὰ τὸν διατεταγμένον καιρόν, οἷα εἰκὸς συμβαίνειν, εὗρε τὴν ὁμόζυγον μοιχευομένην ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ σεμνὸν γελάσας, λέγει πρὸς αὐτούς· καλόν, καλόν, οὐ μέλει μοι μὰ τὸν Ἰησοῦν. ἐγὼ αὐτὴν ἀπὸ τοῦ νῦν οὐδὲ ἐν ὀφθαλμοῖς ἴδω, ἀλλ' ἔχε αὐτὴν καὶ τὰ παιδία αὐτῆς, κἀγὼ ἀπέρχομαι, καὶ γενήσομαι Μοναχός. Καὶ εὐθὺς τὰ πάντα ἐάσας, καὶ καλῶς οἰκονομήσας, ἀπῆλθε πρὸς τὸν μακάριον Ἀντώνιον. καὶ κρούσαντος τὴν θύραν ἐξῆλθεν ὁ μακάριος Ἀντώνιος, καὶ λέγει αὐτῷ· τίς εἶ ἀδελφέ; καὶ τί ἐνταῦθα ζητεῖς; ὁ δέ, ξένος εἰμί, καὶ ἦλθον πρὸς σὲ γενέσθαι Μοναχός. Ὁ δὲ Ἅγιος, ἑξήκοντα, φησίν, ἐτῶν γέρων ὤν, Μοναχὸς γενέσθαι οὐ δύνασαι, οὐδὲ τὰς θλίψεις ὑπομεῖναι, καὶ τὴν στέρησιν τοῦ ὄρους. μᾶλλον δὲ ἄπελθε ἐν Κοινοβίῳ, ἵνα τὰ σωματικὰ ἄφθονα εὑρήσῃς, καὶ σὺν αὐτοῖς ἀκόπως διατρίψῃς. ἀντέχονται γὰρ οἱ ἀδελφοὶ τῆς ἀδυναμίας σου· ἐπεὶ ἐγὼ μόνος κάθημαι, καὶ διὰ πέντε ἡμερῶν ἐσθίω, καὶ τοῦτο λιμώττων. Ὁ δὲ οὐκ ἠνείχετο ἀκοῦσαι τοῦ γέροντος, ἀλλ' ἐνταῦθα σὺν αὐτῷ εἶναι. Μὴ δυνηθεὶς δὲ ὁ Ἅγιος ἀπώσασθαι αὐτόν, κλείσας τὴν θύραν τοῦ κελλίου, εἴασεν αὐτὸν ἔξω ἐπὶ τρεῖς ἡμέρας, μὴ ἐξελθὼν δι' αὐτόν. ὁ δὲ Παῦλος ἔμεινε νῆστις, καὶ οὐκ ἀνεχώρησε. Τῇ δὲ τετάρτῃ ἡμέρᾳ, χρείας κατεπειγούσης, ἀνοίξας ὁ Ἅγιος τὸ κελλίον, καὶ εὑρὼν τὸν Παῦλον, λέγει πρὸς αὐτόν· ἄπελθε γέρων τῶν ὧδε, μὴ ἀναγκάζῃς, οὐ δύνασαι εἶναι σὺν ἐμοί. Ὁ δὲ Παῦλος, ἀμήχανον ὅτι, φησίν, ἀλλαχοῦ με ἀπελθεῖν. τότε κατανοήσας αὐτὸν ὁ Ἅγιος, μήτε πήραν ἔχοντα, μήτε ἄρτον, οὐχ ὕδωρ, μήτε ἄλλο τι, λέγει πρὸς αὐτόν· ἐὰν ἔχῃς ὑπακοήν, καὶ ὅπερ ἀκούσῃς παρ' ἐμοῦ, ἀόκνως καὶ ἀγογγύστως ποιῇς, δύνασαι καὶ ὧδε σωθῆναι. εἰ δὲ ταῦτα οὐ ποιεῖς, τί μάτην κοπιᾷς, καὶ οὐχ ὑποστρέφεις ὅθεν ἐλήλυθας; Ἀποκριθεὶς δὲ ὁ Παῦλος λέγει· ὅσα ἂν εἴπῃς μοι, πάντα προθύμως ποιήσω. καὶ ὁ Ἅγιος· στῆθι λοιπὸν καὶ πρόσευξαι, ἕως οὗ εἰσέλθω καὶ κομίσω σοι ἐργόχειρον. Εἰσελθὼν οὖν εἰς τὸ σπήλαιον ὁ μακάριος, προσεῖχεν αὐτῷ διὰ μικρᾶς θυρίδος, καὶ ἵστατο ἀκίνητος, μετὰ τὴν ἑβδομάδα φρυγανωθεὶς ὑπὸ τοῦ καύματος. Ἐξελθὼν δὲ ὁ Ἅγιος, καὶ λαβὼν ἐκ τῶν φοινίκων, λέγει αὐτῷ· δέξαι, καὶ πλέξον σειράν, ὡς ἐμὲ βλέπεις πλέκοντα. ἔπλεξεν ὁ γέρων ἕως ὥρας ἐννάτης ὀργυίας δεκαπέντε, μόχθῳ πολλῷ. καὶ λέγει ὁ Ἅγιος· κακῶς ἔπλεξας. ἀνάλυσον αὐτήν, ἄνωθεν πλέξον. ἦν δὲ νῆστις ἡμέρας ἑπτά. ταῦτα δὲ ἐποίει ὁ Ἅγιος, ἵνα δυσφορήσας ὁ Παῦλος, ἀναχωρήσῃ ἐξ αὐτοῦ. Ὁ δὲ Παῦλος μετὰ μακροθυμίας καὶ σπουδῆς ἀναπλέξας τὴν σειράν, καὶ πάλιν ἀγογγύστως καὶ ἀπερι-

θεια-

Digitized by Google

θείας ὡς μετὰ πολλῆς τάξεως πλέξας, ἐξέπληξε τὸν Ἅγιον. διὸ καὶ κατανυγεὶς, Ἡλίου δύναντος, λέγει πρὸς αὐτόν· Παππία, θέλεις φάγωμεν ἄρτον κλάσματος; ὁ δὲ Παῦλος, ὡς δοκεῖ σοι Πάτερ. Τοῦτο δὲ πάλιν πλέον ἔκαμψε τὸν γέροντα, καὶ θεὶς τράπεζαν, τέθεικεν ἄρτου κλάσματα τέσσαρα, ἀνὰ οὐγγίας ἕξ, ἑαυτῷ βρέξας ἕν, τῷ δὲ γέροντι τρεῖς. Καὶ ἀρξάμενος ὁ Ἀντώνιος ψαλμοῦ, ἵνα καὶ ἐν τούτῳ δοκιμάσῃ τὸν Παῦλον, ἔψαλλε δὶς ἕξ, τὸν αὐτὸν ἐπεξιὼν ψαλμόν. Ὁ δὲ Παῦλος προθυμότερον σὺν τῷ Ἁγίῳ προσηύχετο. καὶ λέγει ὁ γέρων τῷ Παύλῳ, καθίσας ἐν τῇ τραπέζῃ. πρόσεχε, καὶ μὴ ἅψῃ τῶν παρακειμένων. Τούτου δὲ τὸ προσαχθὲν ποιήσαντος, λέγει ὁ Ἅγιος· ἀναστὰς πρόσευξαι καὶ ὕπνωσον. ὁ δὲ, μηδ' ὁπωσοῦν ἀψάμενος τροφῆς, ἐποίησεν οὕτω. Περὶ δὲ τὸ μεσονύκτιον ἀναστὰς ὁ Ἀντώνιος εἰς προσευχὴν, ἤγειρε καὶ τὸν Παῦλον, καὶ μέχρις ὥρας ἐννάτης ἡμερινῆς παρέτεινε τὰς εὐχάς. ἑσπέρας δὲ βαθείας παραθεὶς ὁ Ἀντώνιος τὸν ἕνα ἄρτον, ἑτέρου οὐχ ἥψατο. ὁ δὲ Παῦλος σχολαιότερον ἐσθίων, εἶχεν ἔτι ἐξ οὗ ἤσθιεν ἄρτου. καὶ τέως πληρώσαντος τὸν ὅλον ἄρτον, λέγει ὁ Ἀντώνιος. Παππία, φάγε καὶ ἕτερον ἄρτον, καὶ λέγει ὁ Παῦλος· ἐὰν φάγῃς καὶ αὐτὸς, ἐσθίω κἀγώ. καὶ ὁ Ἀντώνιος· ἐμοὶ ἀρκετόν ἐστιν, ὅτι Μοναχός εἰμι. καὶ ὁ Παῦλος. οὐκοῦν καὶ αὐτὸς Μοναχὸς μέλλω γενέσθαι, ἀρκεῖ κἀμοί. Καὶ ἀναστάντες ἔψαλλον. καὶ μικρὸν ὑπνώσαντες, πάλιν ἀναστάντες τοῦ ψάλλειν ἤρξαντο. ἡμέρας δὲ γενομένης ἔπεμψεν αὐτὸν εἰς τὴν ἔρημον περιάγειν, καὶ μετὰ τρίτην ἡμέραν ὑποστρέψαι. τούτου δὲ γενομένου, καὶ ἀδελφῶν ἐληλυθότων πρὸς τὸν γέροντα, προσεῖχεν ὁ Παῦλος, τί ὀφείλει ποιῆσαι. ὁ ἅγιος φησὶ πρὸς αὐτόν. Διακόνει τοῖς ἀδελφοῖς σιωπηρῶς μή τινος γευσάμενος, ἕως ἂν ἀποχωρήσωσι. καὶ τρίτη ἡμέρα λοιπὸν ἐπληρώθη, μὴ γευσάμενος ὁ Παῦλος. οἱ δὲ ἀδελφοὶ ἠρώτων αὐτόν, τίνος ἕνεκεν σιωπᾷς; αὐτοῦ δὲ μὴ ἀποκρινομένου, φησὶν ὁ ἅγιος πρὸς αὐτόν· ὁμίλησον τοῖς ἀδελφοῖς, καὶ ἤρξατο ὁμιλεῖν. ἐν μιᾷ οὖν τῶν ἡμερῶν, ἐνεγκών τις τῷ μακαρίῳ στάμνον μέλιτος, ἐν τῇ γῇ ἐξέχεε. τούτου δὲ γενομένου, λέγει ὁ γέρων τῷ Παύλῳ. σύναξον μειράκιον τὸ μέλι, καὶ ὅρα ἵνα μήτι ἐξ αὐτοῦ γένηται ἄχρηστον. καὶ τούτου γενομένου, οὐδ' ὅλως ἐταράχθη; ἢ ἠλλοιώθη. ἐν ἑτέρῳ δὲ πάλιν καιρῷ, ἀντλεῖν ὕδωρ προσετάγη, καὶ δι' ὅλης ἡμέρας ἀνωφελῶς αὐτὸ ἐκχέειν. καὶ ἄλλοτε πάλιν, τὸ ἱμάτιον αὐτοῦ παραλύσας, προσέταξεν αὐτῷ ἐπιμελῶς ῥάπτειν. ὡς δὲ εἶδεν αὐτὸν ὁ ἅγιος, ἀδιστάκτως, ἀγογγύστως, καὶ ἀνεμποδίστως πάντα τὰ διατεταγμένα ποιοῦντα, φησὶ πρὸς αὐτόν. ἴδε ἀδελφὲ, ἐὰν δύνασαι καθ' ἡμέραν οὕτω ποιεῖν, μένε σὺν ἐμοί. εἰ δὲ μήγε, πορεύου ὅθεν ἦλθες. ὁ δὲ Παῦλος φησὶ πρὸς αὐτόν. ἐάν τι ποτὲ πλέον ἔχῃς δεῖξαί μοι, οὐκ οἶδα, ἐπεὶ ἃ εἶδον ἕως ἄρτι, εὐχερῶς πάντα ποιῶ. τοιαύτην δὲ καὶ τοσαύτην ὑπακοὴν καὶ ταπείνωσιν ἐκτήσατο ὁ μακάριος, ὥστε κατὰ τῶν Δαιμόνων χάριν λαβεῖν, ἀπελαύνειν αὐτούς. καὶ πληροφορηθεὶς ὁ μέγας Ἀντώνιος, εἶχεν αὐτὸν μεθ' ἑαυτοῦ μέχρι τινός. εἶτα κέλλαν κατασκευάσας, ἐκάθισεν αὐτὸν ἐκεῖ, ἵνα καὶ τὰς πανουργίας μάθῃ, καὶ αὐτὸς ἀντιπολεμῇ. ἕνα δὲ χρόνον γεγονὼς καθ' ἑαυτὸν, καὶ θαυματουργὸς ἀποφανεὶς, καὶ τὸν Θεὸν ἀξίως θεραπεύσας, ἀπῆλθε πρὸς τὰς οὐρανίους μονάς.

Ταῖς αὐτοῦ Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Χαίρων ὑπῆλθες, Πάτερ Καπίτων πρὸς τὴν κάμινον μόνος, οὐ φλεχθεὶς δὲ παῖδες ὥσπερ οἱ τρεῖς, τοὺς ἀπίστους ἐξαιρούμενος, πυρὸς τοῦ μέλλοντος, πιστωθέντας τοῖς θείοις σου θαύμασιν.

Οὐ δειλιάσας, οὐ φοβηθεὶς τὸ ἐπίταγμα, Πάτερ ἱερὲ Καπίτων, τὴν ἱερὰν ἀμπεχόνην περιβέβλησαι, ταύτῃ τοὺς ἄνθρακας, τοῦ πυρὸς ἐπιφέρων μακάριε.

Ῥώμην ἐπέσχες, τῆς ἀγνωσίας θείοις λόγοις σου γνῶσιν, εὐσεβείας πᾶσιν ἐπι-

Digitized by Google

ἐπιτιθεὶς, τοῖς βάθει ὀλιωθήσασι, τῆς ματαιότητος, ἱερουργὸς Καπίτων θεόληπτε. Θεοτοκίον.

Ὁ διαπλάσας, χειρὶ τὴν Εὔαν Λόγος Θεοῦ κόρη, ἀναπλάσαι ἅπαντας βουληθείς, ἐκ γαστρός σου ἀναπλάττεται, ἀρχὴν δεχόμενος, ὁ τῷ Πατρὶ καὶ Πνεύματι σύνθρονος.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας.

Νεκρούμενοι πόνοις τῆς σαρκός, ζωὴν ἀθάνατον, προεξενήσατε, Πατέρες ἄσιοι ἅπασι, τοῖς νεκροῖς θεοῖς λατρεύουσι, καὶ οἱ σωθέντες σὺν ἡμῖν, ἀεὶ κραυγάζουσιν. εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Συμφώνως Εὐγένιον πιστοί, καὶ Ἀγαθόδωρον, Ἐφραὶμ Ἐλπίδιον, σὺν Αἰθερίῳ μέλψωμεν, Βασιλέα καὶ Καπίτωνα, ὡς καθαιρέτας τοῦ ἐχθροῦ, καὶ Ἱεράρχας Χριστοῦ. ᾧ βοῶμεν, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Εὐφράνας Λαοὺς Πάτερ σοφέ, τοῖς σοῖς διδάγμασι, νῦν μεταβέβηκας, πρὸς τὴν ἀνέσπερον ἔλλαμψιν, εὐφροσύνην πρὸς ἀΐδιον, τῶν σῶν καμάτων ἀμοιβὰς ὑποδεξόμενος, καὶ κραυγάζων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Βότρυες ἀμπέλου τῆς ζωῆς μακαριώτατοι, νῦν χρηματίζοντες, οἶνον ἐκβλύζετε πάντοτε, ἰαμάτων καὶ εὐφραίνετε πάντων καρδίας, τῶν πιστῶς ἀνευφημούντων ὑμᾶς καὶ βοώντων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Θεοτοκίον.

Ὡράθη ὡς ἄνθρωπος ἐκ σοῦ ἀποτικτόμενος ὁ ὑπερούσιος, διπλοῦς ταῖς φύσεσιν ἄχραντε, ἐνεργείαις καὶ θελήσεσιν, οἷς ὡμοιώθη βουληθείς, ἐμφανιζόμενος. ᾧ βοῶμεν, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὁ Εἱρμός.

„Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταί, παῖδες κραυγάζοντες. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Ἱερομαρτύρων ἁγίων, τὴν ἱερὰν τελοῦντες μνήμην, ὕμνοις ἱεροῖς δεῦτε πάντες, μεγαλοφώνως αὐτοὺς τιμήσωμεν, ὑπὲρ ἡμῶν πρεσβεύοντας, τῷ πανοικτίρμονι Θεῷ ἡμῶν.

Ὤφθητε ὡς τίμιοι λίθοι, ἐπὶ τῆς γῆς ὑπὸ ἀθέων, μάρτυρες συρόμενοι θεῖοι, καὶ τῆς ἀπάτης τὰ ὀχυρώματα, δυνάμει Θεοῦ συντρίβοντες. ὅθεν ἀξίως μακαρίζεσθε.

Σήμερον ἡ πόλις Χερσῶνος, ὑμῶν τὴν μνήμην ἑορτάζει. ταύτης γὰρ ἐδείχθητε πύργοι, καὶ θεῖοι στύλοι καὶ ὀχυρώματα, ποιμένες καὶ διδάσκαλοι, καὶ πρεσβευταὶ θεομακάριστοι.

Ἤδη τοῖς χοροῖς τῶν Ἀγγέλων, χορὸς πατέρων ἠριθμήθη, Εὐγένιος Ἐφραὶμ καὶ Καπίτων, Ἐλπίδιός τε καὶ ὁ Αἰθέριος, καὶ Βασιλεὺς ὁ ἔνδοξος, καὶ ὁ θεόφρων Ἀγαθόδωρος. Θεοτοκίον.

Φέρουσα Χριστὸν ἐν ἀγκάλαις, χειρὶ τὸν φέροντα τὰ πάντα, ἡ θεοχαρίτωτος Κόρη, ἐκπληττομένη ἐβόα λέγουσα. πῶς καὶ Υἱὸν γνωρίζω σε, καὶ ποιητήν μου ἀκατάληπτε; Ὁ Εἱρμός.

„Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη Χριστός, συνάψας τὰς διεστώσας φύσεις. διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου.

Εἰς τὸν στ. τὸ Ἰδιόμ. τῆς ἡμέρας, καὶ τὸ Μαρτ.

Δόξα, καὶ νῦν. Θτ. ἢ Σταυροθτ.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ἡ α'. Ὥρα, ὡς ἡ συνήθεια, καὶ Ἀπόλυσις.

---

Τῇ αὐτῇ Μηνὶ Η.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφυλάκτου Ἐπισκόπου Νικομηδείας.

Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, στ. προσόμοια. Ἦχος α.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Πάτερ Θεοφύλακτε Θεοῦ, φυλακαῖς φρουρούμενος, διεφυλάχθης ἀλώβητος,

Digitized by Google

τος, ἢ πύργος ἀσειστος, Ἐκκλησίας ὤφθης, πειρασμοῖς ἀκλόνητος, τοῖς τῶν αἱρετικῶν μηχανήμασι· ἢ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, ἢ τὸ μέγα ἔλεος. Ὅμοιον.

Πάτερ Θεοφύλακτε τῆς γῆς, μεταστὰς ἀνέδραμες, πρὸς οὐρανὸν ἢ οὐράνια, οἰκεῖν σκηνώματα, ἠξιώθης μάκαρ, ἐξορίας ἕνεκεν, ἣν διὰ τὸν Χριστὸν ἐκαρτέρησας· ἢ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, ἢ τὸ μέγα ἔλεος. Ὅμοιον.

Πάτερ Θεοφύλακτε Θεὸν, νῦν ὁρῶν μακάριε, ὡς ἐφικτὸν ἢ ὁρώμενος, ἑνώσει κρείττονι, ἀπολαύων τούτου, καὶ θετὸς γενόμενος, τὸ μόνον ὀρεκτὸν καὶ μακάριον, χαίρων ἀπέλαβες, Ἱεράρχα παμμακάριστε, τοῖς Ἀγγέλοις, νῦν συναυλιζόμενος.

Δόξα, ἢ νῦν. Θεοτοκίον. Ὅμοιον.

Νοσοῦσαν παγύμνητε δεινῶς, τὴν ψυχήν μου πάθεσι, πονηροτάτοις θεράπευσον, ἡ τὸν ἀκέστορα, ἢ Σωτῆρα πάντων, τὸν Χριστὸν κυήσασα, τὸν πᾶσαν μαλακίαν ἰώμενον, τὸν τραυματίσαντα, διαβόλου τὴν κακόνοιαν, ἢ θανάτου, ἡμᾶς ἀπαλλάξαντα. Σταυροθ. Ὅμοιον.

Ῥομφαία διῆλθεν ὦ Υἱὲ, ἡ Παρθένος ἔλεγεν, ἐπὶ τοῦ ξύλου ὡς ἔβλεψε, Χριστὸν κρεμάμενον, τὴν ἐμὴν καρδίαν, ἢ σπαράττει Δέσποτα, ὡς πάλαι Συμεὼν μοι προέφησεν· ἀλλὰ ἀνάστηθι, ἢ συνδόξασον ἀθάνατε, τὴν Μητέρα, ἢ δούλην σου δέομαι.

Ἀπολυτίκιον, λεγόμενον εἰ οὐκ ἔστι Μ΄.

Ἦχος Πλ. β΄.

Καθὼς ἐβίωσας παμαοίδιμε, ἀλλ᾽ ὁ Χριστός σε πᾶσιν ἀνέδειξεν, ὡς φωστῆρα φθεγγόμενον, λυχνίαν ἐπιθεὶς τὴν μονὴν, πλάκας ἐνεχείρισε, δογμάτων τῶν τοῦ Πνεύματος, δι᾽ ὧν καταύγασον ἡμᾶς.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τοῦ Τριῳδίου, ἢ τοῦ Ἁγίου ὁ Κανὼν τοῦ Ἁγίου εἰς ς΄. μετὰ τῶν Εἱρμῶν, ἢ τοῦ Τριῳδίου εἰς η΄. ὁ Κανὼν τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχίς.

Θεῖον Θεοφύλακτον, ἐν ᾠδαῖς εὐφημήσω.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄. Ὁ Εἱρμός.

„Ἄσωμεν τῷ Κυρίῳ, τῷ διαγαγόντι „τὸν Λαὸν αὐτοῦ, ἐν ἐρυθρᾷ θα„λάσσῃ, ὅτι μόνος ἐνδόξως δεδόξασται.

Θρόνῳ τῷ τοῦ Δεσπότου, Πάτερ Θεοφόρε Θεοφύλακτε, παριστάμενος πίστει, τοὺς τελοῦντας τὴν μνήμην σου φύλαττε.

Ἔχρισέ σε ἀξίως, χάρις ἡ τοῦ Πνεύματος πανόλβιε, ἕνεκεν ἀληθείας ἢ τῶν τρόπων σου χάριν χρηστότητος.

Ἴμα τῶν οὐρανίων, μάκαρ ἐπιτύχῃς τὰ ἐπίγεια, κατεπάτησας πάντα, ἢ Χριστῷ τῷ Θεῷ ἠκολούθησας. Θεοτοκίον.

Ὅλος ἐπιθυμία, ὁ ἐκ τῆς γαστρός σου Θεονύμφευτε, εὐδοκήσας τεχθῆναι, γλυκασμός τε ἢ φῶς Ἁγνὴ ἄδυτον.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Νόμοις σοῦ πειθόμενος, τοῖς τοῦ Δεσπότου σου ἔνδοξε, Ἀρχιερεῦ, μόνων παρανόμων, Θεοφρόνως ἠλόγησας.

Θεῖον ἐξεικόνισμα, Χριστοῦ καὶ ἄχραντον ἔσεβες, Ἀρχιερεῦ, τὰς τῶν ἀσεβούντων, ἀσεβείας ἀρνούμενος.

Ἔτλης τὸ Μαρτύριον, τῆς συνειδήσεως πρότερον, ἀσκητικῶς, καὶ νῦν τῶν Μαρτύρων, ἀνεδήσω τὸν στέφανον.

Θεοτοκίον.

Ἴμα τρίβον δέσποτα, πρὸς ἁγιότητα φέρουσαν, δείξῃς ἡμῖν, μήτραν παναγίαν, παναγίως κατῴκησας. Ὁ Εἱρμός.

„Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων „σοι Κύριε, σὺ εἶ τὸ φῶς, τῶν ἐσκο„τισμένων· ἢ ὑμνεῖ σε τὸ πνεῦμά μου.

Κάθισμα. Ἦχ. Πλ. δ. Τὴν Σοφίαν ἢ Λόγον.

Ἐξασκήσας ὁσίως Πάτερ σοφὲ, Ἱεράρχης ἐχρίσθης ἱερουργεῖν, τὰ Θεῖα Μυστήρια, εἰς ψυχῶν περιποίησιν, τὴν Χριστοῦ δὲ εἰκόνα τιμήσας ὑπήνεγκας, ἐξορίας θλίψεις, καὶ χρόνιον κάθειρξιν· ὅθεν μετὰ τέλος ἀναβλύζων ἰάσεις, ἰᾶσαι τοὺς κάμνοντας, ἢ φωτίζεις τοὺς ψάλλοντας· Ἱεράρχα Θεοφύλακτε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.



Digitized by Google

Θεοτοκίον. Ὅμοιον.

Τοῦ Ἡλίου νεφέλη τοῦ νοητοῦ, θείου φέγγους λυχνία χρυσοφαής, ἄσπιλε ἀμόλυντε, ὑπεράμωμε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλῃ, καταύγασον δέομαι, καὶ μεμολυσμένην, τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας με δάκρυσιν, ἵνα πόθῳ κραυγάζω σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἀμνὸν καὶ Ποιμένα, καὶ Σωτῆρα τοῦ Κόσμου, ἡ Ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἡ τεκοῦσα ἔλεγε δακρύουσα· ὁ μὲν Κόσμος ἀγάλλεται. δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται ὁρώσης σου τὴν σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις, ὁ Υἱὸς καὶ Θεός μου.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Οὐ τὸ πῦρ ἐδειλίασας, τὸ τῶν πειρασμῶν παμμάκαρ Θεόπνευστε, οὐκ ἐχαύνωσε τὸν τόνον σου, τῆς ψυχῆς τὸ λεῖον Θεοφύλακτε.

Φυλακὴν σου τῷ στόματι, ἔθετο Χριστὸς καὶ χείλεσιν Ὅσιε· ὅθεν ἔμεινας ἀσάλευτος, ἀσεβῶν συστάντων ἐναντίον σου.

Υπομένων ὑπέμεινας, τὸν ἐπὶ τὴν πέτραν πόδας σου στήσαντα, καὶ προσέσχε σοι ὁ Ὕψιστος, τὴν αὐτοῦ Εἰκόνα προσκυνήσαντι.

Θεοτοκίον.

Λυτρωθέντες τῷ τόκῳ σου, τῆς ἁμαρτίας χρέους Πανάμωμε, χαριστήριον ἐφύμνιον, ἀναπέμπομέν σοι Θεονύμφευτε.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„Ὀρθρίζοντες βοῶμέν σοι Κύριε, σῶσον „ἡμᾶς· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς „σου ἄλλον οὐκ οἴδαμεν.

Αἱ Χεῖρές σου ὁσίως Θεόπνευστε, πρὸς τὸν Θεὸν, Πάτερ ἐπαιρόμεναι, τοὺς δυσσεβεῖς ἐτροπώσαντο.

Κρατήσας τῆς χειρός σου ὁ Κύριος, τῆς δεξιᾶς, Πάτερ καθωδήγησε, πρὸς Οὐρανίους ἀπόλαυσιν.

Τὴν τρίβον τὴν στενὴν Θεοφύλακτε, διαπερῶν, πρὸς πλάτος κατήντησας, τοῦ Παραδείσου Θεόπνευστε.

Θεοτοκίον.

Οἱ μὴ σὲ Θεοτόκον γινώσκοντες, Θεομῆτορ, φῶς οὐ μὴ θεάσονται τὸ γεννηθὲν ἐκ σοῦ Πάναγνε.

Ὠδὴ ς'. Χιτῶνά μοι παράσχου.

Νεκρώσας τὰς αἰσθήσεις ἐγκρατῶς, παθῶν ἐβασίλευσας, καὶ νῦν Θεοφύλακτε, ἀπαθείας ἐντρυφᾷς ταῖς λαμπρότησι.

Εἰκόνα τοῦ Σωτῆρος προσκυνεῖν, τοὺς πάντας ἐδίδαξας, ἔργοις καὶ δόγμασι, διαπρέψας ἐμφανῶς Θεοφύλακτε.

Νεφέλην σε τὸν ὄμβρον τῆς ζωῆς, ὁ Χριστὸς ἀνέδειξε, Πάτερ πηγάζουσαν, Ἱεράρχα τοῦ Χριστοῦ Θεοφύλακτε.

Θεοτοκίον.

Ὡραῖος παρὰ πάντας τοὺς βροτοὺς, ὁ Υἱός σου Πάναγνε, κάλλει Θεότητος, εἰ καὶ σάρκα δι' ἡμᾶς ἀνελάβετο.

„Χιτῶνά μοι παράσχου φωτεινὸν, ὁ ἀνα„βαλλόμενος, φῶς ὡς ἱμάτιον, πο„λυέλεε Χριστὲ ὁ Θεὸς ἡμῶν.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Η'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Θεοφυλάκτου, Ἐπισκόπου Νικομηδείας.

Στ. Καὶ σαρκὸς χωρισθεὶς ὡς καὶ Πατρίδος, Θεῖος Θεοφύλακτος, οὗ ὁ Θεὸς φύλαξ. Ἦλθ' ἐν ὀγδοάτῃ Θεοφύλακτος Θεὸν ἄγχι.

Οὗτος ὁ μακάριος ἐκ τῶν τῆς Ἀνατολῆς μερῶν ὥρμητο, καὶ παιδιόθεν καλῶς τὸν ἑαυτοῦ βίον διεξάγων, θείᾳ τινὶ προμοίᾳ ἐκεῖθεν ἀπάρας, ἐν Κωνσταντινουπόλει παρεγένετο· καὶ τῷ Ἀφηγουμένῳ ἐντυχὼν τῶν ἐν ταῖς Βασιλικαῖς σακραις ὑπηρετουμένων, ἀσκηρίτας αὐτοὺς καλοῦσι Λατίνων φωνῇ, εἰς ὑπηρεσίαν ἑαυτὸν δίδωσι. Ταράσιος οὕτως ἦν τὸ μέγα τῆς Ὀρθοδοξίας ἀγλάϊσμα. Ἐπεὶ οὖν οὗτος θείᾳ ψήφῳ προεκρίθη εἰς τὸν θρόνον Κωνσταντινουπόλεως, Παύλου τοῦ Κυπρίου ἑαυτὸν ἑκὼν ἐξώσαντος τοῦ θρόνου, ἀνάγεται ὁ λύχνος ἐπὶ τὴν λυχνίαν· καὶ αὐτίκα ὁ θεῖος Ἀρχιερεὺς Μοναστήριον δειμάμενος, πρὸς τῇ εἰσβολῇ



Digitized by Google

τοῦ Εὐξείνου Πόντου, τὸν πανόσιον Θεοφύλακτον, καὶ Μιχαὴλ τὴν Σύνοδον ἔργοις καὶ λόγοις κοσμήσαντας, μονασὰς ἀντὶ κοσμικῶν ἀναδείκνυσιν. Εἶτα ὁ Ἀρχιερεὺς, μαθὼν τὴν ἀπαστράπτουσαν τῶν ἀνδρῶν ἀρετήν τε, καὶ τὴν εἰς Χριστὸν προκοπὴν, μεταστειλάμενος αὐτοὺς εὐθὺς, τῷ καθ' αὐτὸν Εὐκτηρίῳ αὐτοὺς καθιστᾷ· οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ Μιχαὴλ μὲν εἰς Συνάδα, τὸν δὲ τίμιον Θεοφύλακτον ἐν Νικομηδείᾳ προχειρίζεται Ἐπισκόπους. Ὁπόσα οὖν τὰ τούτου κατορθώματα, αὐτὰ δηλοῖ τὰ πράγματα, οἵ τε δομηθέντες παρ' αὐτοῦ θεῖοι Οἶκοι, καὶ τὰ Νοσοκομεῖα, καὶ ἡ τῶν χηρῶν καὶ ὀρφανῶν προστασία, καὶ ἡ ἄμετρος ἐλεημοσύνη. Τοσοῦτον δὲ ἦν πρακτικὸς ὁ μέγας τοῦ Θεοῦ μιμητὴς, ὅτι πληρῶν τὴν φιάλην ἀκράτου θερμοῦ, τοὺς ἀναπήρους καὶ χωλοὺς καὶ τὰ μέλη λελωβημένους αὐτόχειρ ὁ μακάριος ἔσμηχε καὶ ἀπέρριπτε. Τοῦ τοίνυν μεγάλου Ταρασίου τὸν βίον ἀπολιπόντος, ἐννέα καὶ δέκα χρόνους ἐν τῇ Ἀρχιερωσύνῃ διαπρέψαντος, καὶ Νικηφόρου τοῦ πανσόφου τοῦτον διαδεξαμένου, ἐλεεινὸν συμπίπτει πρᾶγμα. Λέοντος γὰρ τοῦ Μισοχρίστου δραξαμένου τῆς βασιλείας τὰ σκῆπτρα, παρ' αὐτὰ ὁ δείλαιος πρὸς τὴν τῶν Ἁγίων Εἰκόνων καθαίρεσιν χωρεῖ. Τούτου δὲ καταδήλου γενομένου, τοὺς λογάδας τῶν Ἀρχιερέων ὁ μέγας Νικηφόρος μεταστειλάμενος, τόν τε Αἰμιλιανὸν Κυζίκου, καὶ Εὐθύμιον τῶν Σάρδεων, Ἰωσὴφ Θεσσαλονίκης, Εὐδόξιον Ἀμωρίου, Μιχαὴλ Συνάδων σὺν πολλοῖς ἄλλοις, καὶ τὸν μακάριον Θεοφύλακτον, πρὸς τὸν ἀσεβῆ καὶ ἀποστάτην παραγίνεται βασιλέα, καὶ πολλὰ ἀπὸ τῶν θείων Γραφῶν αὐτῷ προσάγουσι φάρμακα· ὁ δὲ, ὥσπερ ἀσπὶς, τὰ ὦτα βύσασα, τῶν λεγομένων οὐκ ἤσθετο· πάντα δὲ ἐκεῖνος ὡς οὐδὲν θέμενος, τῶν προτέρων εἴχετο· καὶ οἱ μὲν ἄλλοι σιγὴν εἴχοντο ἀπὸ τοῦδε, μόνος δὲ ὁ Μακάριος Θεοφύλακτος πρὸς αὐτὸν ἔφη· οἶδα ὅτι τῆς ἀνοχῆς τοῦ Θεοῦ καὶ μακροθυμίας καταφρονεῖς, ἀλλ' ἥξει ἐπὶ σὲ ἀπότομα δεινὸς ὄλεθρος, καὶ ἡ καταστροφὴ ὁμοία καταιγίδι, καὶ οὐχ εὑρήσεις τὸν ῥυόμενον. Ἐπὶ τούτοις θυμοῦ πλησθεὶς, ἅπαντας ὑπερορίᾳ καταδικάζει· καὶ τὸν μὲν θεῖον Νικηφόρον ἐν Θάσῳ τῇ Νήσῳ· τὸν δὲ ἀοίδιμον Μιχαὴλ Συνάδων εἰς Εὐδοκιάδα, καὶ ἄλλον ἀλλαχοῦ. Θεοφύλακτον δὲ τὸν τρισόλβιον εἰς Στρόβηλον· φρούριον δὲ τοῦτο ἐστὶν ὑπὸ τὸ θέμα τῶν Κυβερρεωτῶν, παράλιον κείμενον. Ἐκεῖσε ὁ μακάριος οὗτος ὁμολογητὴς Θεοφύλακτος χρόνους διαρκέσας τριάκοντα, τὴν ἐκ τῆς ἀλλοτρίας κακουχίας ἐγκαρτερῶν, πρὸς Κύριον ἐξεδήμησε. Μετὰ δέ τινας χρόνους, παυσαμένης τῆς Αἱρέσεως, καὶ τῆς Ὀρθοδοξίας ἀναλαμψάσης, ἐπὶ Θεοδώρας τῆς εὐσεβεστάτης Αὐγούστης, καὶ Μεθοδίου τοῦ Ἁγιωτάτου Πατριάρχου, τὸ τίμιον σῶμα τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφυλάκτου ἐκ τῆς ὑπερορίας ἀνακομίζεται, καὶ κατατίθεται ἐν Νικομηδείᾳ, ἐν τῷ αὐτοῦ κτισθέντι Ναῷ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παύλου Πλουσιάδος τοῦ ὁμολογητοῦ.

Στίχος. Σάλπιγξ σιωπᾷ Παῦλος ὁ
Πλουσιάδος.
Σάλπιγγος ἦχον τὴν τελευταίαν μένων.

Οὗτος ἦν κατὰ τοὺς χρόνους τῶν Εἰκονομάχων καὶ τοὺς ἀφρόνως κατὰ τῆς Ἐκκλησίας μαινομένους, καὶ πᾶσαν ἀνατρέποντας θεσμῶν ἀκρίβειαν, καὶ τὰς μορφὰς τῶν ἁγίων Εἰκόνων ἀφανίζοντας, καὶ τὴν εὐπρέπειαν τῶν ἁγίων Ναῶν καταλύοντας, θείοις ῥήμασιν ὡς βέλεσι κατηκόντισε, διωγμοὺς, ἐξορίας, καὶ σκληραγωγίας ὑπὲρ τῆς Χριστοῦ εἰκόνος αἱρετισάμενος· ὅθεν καλῶς ἀνδρισάμενος, ἐν εἰρήνῃ τὸ Πνεῦμα τῷ Θεῷ παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἀποστόλου Ἑρμοῦ, οὗ μέμνηται ὁ Ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ.

Στ. Ἑρμῇ θανόντι τῷ μαθητῇ Κυρίου,
Ἑρμῶν ἔμπνουν ἐκ λόγων διαγλύφων.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Δίων, μαχαίρᾳ τελειοῦται.

Στίχος. Κἂν δεξιὰ σφάττει σε δεινὴ τοῦ
πλανοῦ.



Digitized by Google

Η' δεξιὰ στέφει σε Δεσπότου Δίων.
Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Δομέτιος, ἐν εἰρήνῃ τελειοῦται.
Στ. Ὁ Δομέτιος, τῆς τελευτῆς τὸ χρέος, Δι᾽ ἐκβιβαστῶν ἐξέτισεν Ἀγγέλων.
Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Δρόμον τὸν θεῖον ἐκτελέσας, καὶ τὴν πίστιν σου τηρήσας μέχρι τέλους, τῶν σῶν πόνων σοφὲ, τὸν στέφανον ἐκτήσω, ἀναβοῶν μακάριε, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἅρματι θείων ἀρετῶν σου, ἐποχούμενος πρὸς ὕψος ἀνηνέχθης· τῷ Θεῷ δὲ ταμιῶν, παρέστηκας κραυγάζων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἴδεν ὁ πλάσας κατὰ μόνας, τὰς καρδίας τῶν ἀνθρώπων θεοφόρε, τῆς καρδίας τῆς σῆς, τὸ ἔνθεον καὶ θρόνους, διδασκαλίας ἵδρυσε, Θεοφύλακτε τρισμάκαρ.

Θεοτοκίον.

Σοὶ νῦν προσφεύγω Θεοτόκε, καὶ τῇ σκέπῃ σου καὶ θείᾳ προστασίᾳ, λυτρωθῆναι δεινῶς, δεσμούμενος πταισμάτων, εὐλογημένη Πάναγνε, ἡ Θεὸν σαρκὶ τεκοῦσα.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Εὐφραινομένων ἐνθα νῦν, κατοικίᾳ κατῴκησας, Ὁμολογητὰ τῆς ἀληθείας πρόμαχε· καὶ φῶς σοι ἀνέτειλεν, οἷα δικαίῳ πάνσοφε, καὶ τοὺς τῶν μαρτύρων ἠθληκότι ἀγῶνας· μεθ᾽ ὧν νῦν ἀνακράζεις. Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὑπομονῆς τὸν στέφανον, ἐκομίσω θεόληπτε· τὰς ὑπερορίας γὰρ πικρῶς κατῴκησας, μισθὸν ἐκδεχόμενος, ἀπολαβεῖν τῶν ἄθλων σου, καὶ τῆς ἀγαθῆς οὐ διεψεύσθης ἐλπίδος, Χριστῷ ἀνακραυγάζων, Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Φωτοφανὴς ἡ μνήμη σου, θεοφόρε τελεῖται νῦν, τῆς ὁμολογίας φωτισμοὺς πυρσεύουσα· ἁγίων εἰκόνα γὰρ, τὴν τοῦ Χριστοῦ ἐτίμησας, καὶ τῆς Θεοτόκου, τῶν Ἁγίων τε πάντων, μεθ᾽ ὧν νῦν ἀναμέλπεις, Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε.

Θεοτοκίον.

Ὦ Θεομῆτορ πάναγνε, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας τοὺς ὕλας ἐξάλειψον, Θεὸν ἡ κυήσασα, τὸν ἐπὶ πάντων κόρη ἁγνή, ἐκ παρθενικῆς ἀπειρογάμου νηδύος, ὃν Παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, Λαοὶ ὑπερυψοῦσιν εἰς πάντας.

Ὁ Εἱρμός. Ἑπταπλασίως κάμινον.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Μεγάλων χαρισμάτων, ὄντως ἠξιώθης, ὑπὲρ Χριστοῦ κινδυνεύσας φρονήματι, καρτερικῷ Θεοφόρε Θερμακάριστε.

Ἡμᾶς τοὺς σὲ ὑμνοῦντας, μάκαρ ἐποπτεύοις, ἐκ πειρασμῶν καὶ κινδύνων λυτρούμενος, καὶ τῶν αἱρέσεων θραύων τὰ μηχανήματα.

Σωφρόνως καὶ δικαίως, ὡς ἱεροφάντωρ, πολιτευσάμενος μάρτυς ἐγένου λαμπρὸς, τὴν στολὴν πορφύραν ὑφάνας ἐκ τῶν αἱμάτων σου.

Θεοτοκίον.

Ὡς ὄρθρος τοῖς ἐν σκότει, καὶ πεπλανημένοις, δικαιοσύνης τὸν ἥλιον ἐξέχεας, ἐν ταῖς ἀγκάλαις Παρθένε Χριστὸν ἀνέτειλας.

Ὁ Εἱρμός.

„Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ „διὰ σοῦ σεσωσμένοι Παρθένε ἁγνὴ, „σὺν ἀσωμάτων χορείαις σὲ μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου.

Εἰς τὸν Στ. τὸ Ἰδιόμελ. τῆς ἡμέρας, καὶ τὸ Μαρτυρ. Δόξα, καὶ νῦν. Θεοτ. ἢ Σταυροθεοτ. τὸ, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Τὸ Τροπάριον, αἱ μετάνοιαι, τὰ λοιπὰ, καὶ ἡ ά. Ὥρα μετὰ τῆς ἀκολ. αὐτῆς, καὶ μετανοιῶν, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

## ΤΥΠΙΚΟΝ.

Εἰς τὰς, θ'. Τῶν Ἁγίων τεσσαράκοντα Μαρτύρων τῶν ἐν Σεβαστείᾳ τῇ λίμνῃ μαρτυρησάντων. Ἐνταῦθα χαλάζουσιν ἀπ᾽ αὐτῆς τῆς ἐνάρξεως τοῦ ἑσπερινοῦ αἱ μετάνοιαι, πλὴν τῶν τελευταίων τριῶν μεγάλων, καὶ τῶν γινομένων ὁμοίως εἰς τὸ, Κατευθυνθήτω, καὶ εἰς τὸ, Νῦν αἱ δυνάμεις,

Digitized by Google

μέ, καὶ εἰς τὸ, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν, ὡς σύνηθες. Ἑσπέρας εἰς τὸ λυχνικὸν, προηγεῖται τὸ ἰδιόμ. τῆς ἡμέρας καὶ τὸ Μαρτυρικὸν. Εἶθ' οὕτω τὰ προσόμοια τοῦ Τριῳδίου. Καὶ τῶν Ἁγίων. ἦχος β'. Φέροντες τὰ παρόντα γενναίως. Καὶ δευτεροῦμεν αὐτὸ, καὶ ἕτερα, β'. Δόξα. ἦχος β'. Φέροντες τὰ παρόντα. καὶ νῦν Θεοτ. Εἴσοδος, καὶ τὰ ἀναγνώσματα. Τὸ Κατευθυνθήτω. Καὶ ἡ λοιπὴ τῶν Προηγιασμένων Ἀκολουθία. Εἰς τὸν Ὄρθρον, Θεὸς Κύριος. Τροπάριον. ἦχος α'. Τὰς ἀλγηδόνας τῶν Ἁγίων σου. Καὶ ἡ συνήθης στιχολ. Ἀναγινώσκομεν δὲ καὶ τὸ μαρτύριον τῶν Ἁγίων. καὶ τὸ ἐγκώμιον τοῦ μεγάλου Βασιλείου, τὸ εἰς τοὺς μ'. Μάρτυρας. Ὁ Κανὼν τῶν Ἁγίων, εἰς ϛ'. καὶ τὰ Τριῴδια εἰς τὴν τάξιν αὐτῶν. Ἀφ' ἕκτης τὸ Κοντάκ. τῶν Ἁγίων, πρὸς, Τὴν ὑπὲρ ἡμῶν. Πᾶσαν στρατιὰν τοῦ Κόσμου. Εἰς τοὺς αἴνους. δ'. προσόμοια τῶν Ἁγίων, πρὸς, Χαίροις ἀσκητικῶν. Δευτεροῦντες τὰ, α'. Δόξα. ἦχος πλ. α', Ἀθλοφόροι Χριστοῦ. καὶ νῦν, Θεοτ. Εἰς τὸν δ'. τὸ ἰδιόμ. τῆς ἡμέρας, καὶ τὸ Μαρτυρ. Δόξα. ἦχος β'. Ἀληθείας κρατῆρα. Καὶ νῦν. Θεοτ. τὸ Τροπάρ. τῶν Ἁγίων, ἦχος α'. Τὰς ἀλγηδόνας τῶν Ἁγίων ἅς. Καὶ ἡ λοιπὴ Ἀκολουθία. Ἐν δὲ τῷ τέλει, γ'. μετανοίας. καὶ ἀπόλυσις. Ἡ δὲ τριτέκτη γίνεται εἰς τὴν τάξιν αὐτῆς, ὡς σύνηθες. Ὡσαύτως καὶ ἡ ἐννάτη, μετὰ τῶν μακαρισμῶν, ἀνὰ μέλους, συναπτομένου καὶ τοῦ λυχνικοῦ. Ἐν ᾧ μετὰ τὴν συνήθη στιχολ. Εἰς τὸ, Κύριε ἐκέκραξα, Προηγεῖται τὸ ἰδιόμ. τῆς ἡμέρας, καὶ τὸ Μαρτυρ. Τὰ προσόμοια τοῦ Τριῳδίου καὶ τῶν Ἁγίων. Φέροντες τὰ παρόντα γενναίως. Καὶ τὰ ἕτερα, β'. δευτεροῦντες τὸ α'. Τοῦ δὲ κατὰ τὴν ἡμέραν Ἁγίου, ψάλλομεν ἐν τοῖς ἀποδείπνοις. Δόξα. ἦχος β'. Προφητικῶς μὲν ἐβόα. Καὶ νῦν. Θεοτ. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Τὰ Ἀναγνώσματα τῆς ἡμέρας. Τὸ, Κατευθυνθήτω. Εἶθ' οὕτω τὸ Προκείμενον τοῦ Ἀποστόλου. ἦχος πλ. α'. Σὺ Κύριε φυλάξαις ἡμᾶς. στ. Σῶσόν με Κύριε ὅτι ἐκλέλοιπεν Ὅσιος. Ὁ Ἀπόστολος, πρὸς Ἑβραίους Ἐπιστολῆς. Ἀδελφοὶ τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν. Ἀλληλούϊάριον. ἦχος δ'. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. στ. Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεός. Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν Οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ. Καὶ ἡ θεία Λειτουργία τῶν Προηγιασμένων.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Αὕτη ἡ Ἀκολουθία γίνεται εἰ τύχῃ μησεία. Εἰ δὲ τύχῃ ἐν Σαββάτῳ, ἢ Κυριακῇ, γίνεται ἡ Ἀκολουθία τῶν Ἁγίων, καὶ τῆς ἡμέρας. Ἐὰν δὲ τύχῃ τῇ τρίτῃ Κυριακῇ τῆς Σταυροπροσκυνήσεως, γίνεται ἡ Ἀκολουθία πᾶσα ἡ ἀναστάσιμος, τοῦ Σταυροῦ, καὶ τῶν Ἁγίων. Ἀπόστολον τῆς ἡμέρας, καὶ τῶν Ἁγίων. Ἀλληλούϊάριον, Στίχος πρῶτος τοῦ Σταυροῦ, καὶ δεύτερος τῶν Ἁγίων. Εὐαγγέλιον, τὰ ἀμφότερα. Κοινωνικόν. Ἐσημειώθη ἐφ' ἡμᾶς, καὶ, Εἰς μνημόσυνον αἰώνιον.

Περὶ τῆς μνήμης τῶν Ἁγίων, μ'. εἰ τύχῃ τῷ Α'. Σαββάτῳ τῶν Νηστειῶν, ἢ τῇ α'. ἢ τῇ γ'. Κυριακῇ τῶν Νηστειῶν.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ μνήμη τῶν Ἁγίων μ'. Μαρτύρων τῷ α'. Σαββάτῳ τῶν Νηστειῶν, ἢ τῇ α'. ἢ τῇ γ'. Κυριακῇ τῶν Νηστειῶν, ψάλλεται ἡ Ἀκολουθία ὡς συνετέθη ἡ ἑορτὴ τοῦ Προδρόμου ἐν αὐταῖς, ἐν τοῖς ἀπορρήτοις, καὶ ἡ τῶν Ἁγίων μ'.

Περὶ τῆς μνήμης τῶν Ἁγίων μ'. εἰ τύχῃ τῷ Σαββάτῳ τῆς Ἀκαθίστου.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ ἡ μνήμη τῶν Ἁγίων μ'. τῷ Σαββάτῳ τῆς Ἀκαθίστου, ψάλλεται ἡ Ἀκολουθία τῆς Ἀκαθίστου, καὶ τῶν Ἁγίων οὕτως. Ἑσπέρας, μετὰ τὴν συνήθη στιχολ. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ι'. καὶ ψάλλομεν τὸ ἰδιόμ. τῆς ἡμέρας, δίς. τῆς ἑορτῆς προσόμοια. ἦχος πλ. β'. εἰς ι'. καὶ τῶν Ἁγίων γ'. ἦχος β'. Φέροντες τὰ παρόντα γενναίως, καὶ τὰ ἕτερα δύω. Δόξα. τῶν Ἁγίων. ἦχος β'. Ἀθλοφόροι Κυρίου. Καὶ νῦν. ὁ αὐτός. Τὸ ἀπ' αἰῶ-

αἰῶνος μυστήριον. τὰ ἀναγνώσματα τῆς ἡμέρας. μετὰ τό, Κατευθυνθήτω αἱ, γ΄. μετανοίαι. ὁμοίως καὶ εἰς τό, Νῦν αἱ δυνάμεις, καὶ εἰς τό, Εἴη τὸ ὄνομα Κυρίου. Τελεῖται δὲ ἡ Λειτουργία τῶν Προηγιασμένων. ψάλλεται δὲ τὰ τετραῴδια τῆς ἡμέρας ἐν τῷ Νάρθηκι, ἀντὶ τοῦ νεκρωσίμου κανόνος μετὰ τῶν νεκρωσίμων ἐκτενῶν, ὁπότε δόξῃ τῷ προεστῶτι, εἴτε πρὸ τῆς τραπέζης, εἴτε μετὰ τὴν τράπεζαν.

Ἐν τῷ ὄρθρῳ εἰς τό, Θεὸς Κύριος. Τροπ. τῆς ἑορτῆς, δίς. Δόξα τῶν Ἁγίων, καὶ νῦν τῆς Ἑορτῆς. ἡ συνήθης στιχολ. μετὰ τὸ α΄. καθισμ. ψάλλεται τὸ Κοντ. τῆς ἑορτῆς, καὶ λέγομεν οἴκους, ϛ΄. καὶ πάλιν τὸ Κοντ. καὶ ἀνάγνωσις τῆς ἑορτῆς. Ὡσαύτως καὶ εἰς τό, β΄. καθισμ. ὁ Ν΄. οἱ κανόνες τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς, η΄. καὶ τῶν Ἁγίων εἰς, ϛ΄. ὕστερον δὲ λέγομεν Καταβασίαν τὸν εἱρμὸν τῆς ἑορτῆς, ὁμοῦ οἱ δύω χοροί. ἀπὸ, γ΄. ᾠδῆς Κοντ. τῆς ἑορτῆς, καὶ οἴκους, ϛ΄. εἶτα τὸ Κοντ. τῶν Ἁγίων, καὶ τὸν οἶκον. εἶθ᾽ οὕτω καθισμ. τῶν Ἁγίων. Δόξα, καὶ νῦν. τὸ α΄. τοῦ αὐτοῦ ἤχου, καὶ ἀνάγνωσις εἰς τὸ ἐγκώμιον τῶν Ἁγίων. ἀφ᾽ ϛ΄. Κοντ. τῆς ἑορτῆς, καὶ οἴκους, ϛ΄. καὶ πάλιν τὸ Κοντάκ. καὶ τὸν πρῶτον οἶκον, ἐν ᾧ καὶ καθήμεθα. εἶτα ἀνάγνωσις τῶν Ἁγίων. ἐν τῇ, θ΄. ᾠδῇ στιχολογεῖται ἡ τιμιωτέρα. Ἐξαποστειλάρ. τῶν Ἁγίων, καὶ τῆς ἑορτῆς. εἰς τοὺς αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στίχ. προσόμοια τῆς ἑορτῆς, γ΄. ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων. καὶ τῶν Ἁγίων προσόμοια, γ΄. ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν. Δόξα, τῶν Ἁγίων, ἦχος β΄. Ἀληθείας κρατῆρα. καὶ νῦν, τῆς ἑορτῆς, ἦχος δ΄. Γλῶσσαν ἣν οὐκ ἔγνων. Δοξολογία μεγάλη. μετὰ τὸ Τρισάγιον, Τροπ. τῶν Ἁγίων. Δόξα, καὶ νῦν, τῆς ἑορτῆς, ἡ ἐκτενής, ἡ κατήχησις, καὶ Ἀπόλυσις. ἡ συνήθης λιτή, καὶ ἡ, α΄. ὥρα ἐν τῷ Νάρθηκι. Εἰς τὴν Λειτουργίαν, τυπικά. ἡ γ΄. ᾠδὴ τῆς ἑορτῆς εἰς δ΄. καὶ ἡ ϛ΄. ᾠδὴ τῶν ἁγίων εἰς δ΄. Τροπ. τῆς ἑορτῆς, καὶ τῶν ἁγίων. Δόξα. τὸ Κοντάκιον τῶν ἁγίων. Καὶ νῦν. τῆς ἑορτῆς. Προκείμενον, Ἀπόστολον, Ἀλληλουιάριον, Εὐαγγέλιον, καὶ Κοινωνικόν, πρῶτον τῆς ἑορτῆς, εἶτα τῶν Ἁγίων.

Τῷ αὐτῷ Μηνὶ Θ΄.

Τῶν Ἁγίων μεγάλων Μ΄. Μαρτύρων, τῶν ἐν τῇ Λίμνῃ Σεβαστείας μαρτυρησάντων.

Ἑσπέρας εἰς τὸ λυχνικὸν εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι΄. καὶ ψάλλομεν τὸ ἰδιόμ. τῆς ἡμέρας δίς, καὶ τὸ Μαρ. εἶτα τὰ γ΄. προσόμοια τοῦ Τριῳδίου. εἶθ᾽ οὕτω τῶν Ἁγίων τὰ ἰδιόμ. εἰς δ΄. Ἦχος β΄.

Ἰωάννου Μοναχοῦ.

Φέροντες τὰ παρόντα γενναίως, χαίροντες τοῖς ἐλπιζομένοις, πρὸς ἀλλήλους ἔλεγον οἱ ἅγιοι Μάρτυρες. μὴ γὰρ ἱμάτιον ἀποδυόμεθα, ἀλλὰ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθέμεθα. δριμὺς ὁ χειμών, ἀλλὰ γλυκὺς ὁ Παράδεισος· ἀλγεινὴ ἡ πῆξις, ἀλλ᾽ ἡδεῖα ἡ ἀπόλαυσις. μὴ οὖν ἐκκλίνωμεν, ὦ συστρατιῶται. μικρὸν ὑπομείνωμεν, ἵνα τοὺς στεφάνους τῆς νίκης ἀναδησώμεθα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Τοῦ αὐτοῦ.

Ῥίπτοντες περιβόλαια πάντ[illegible]βαίνοντες ἀτρόμως εἰς λίμνην, πρὸς ἀλλήλους ἔλεγον οἱ ἅγιοι Μάρτυρες. διὰ Παράδεισον, ὃν ἀπωλέσαμεν, ἱμάτιον φθαρτὸν σήμερον μὴ ἀντιχώμεθα. δι᾽ ὄφιν ποτὲ φθοροποιὸν ἐνδυσάμενοι, ἐκδυσώμεθα νῦν διὰ τὴν πάντων ἀνάστασιν. καταφρονήσωμεν κρύους λυομένου, καὶ σάρκα μισήσωμεν, ἵνα τοὺς στεφάνους τῆς νίκης ἀναδησώμεθα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Τοῦ αὐτοῦ.

Βλέποντες ὡς τρυφὰς τὰς βασάνους, τρέχοντες πρὸς λίμνην κρυώδη, ὡς πρὸς θάλψιν ἔλεγον οἱ ἅγιοι Μάρτυρες, μὴ ὑποπτήξωμεν ὥραν χειμέριον, ἵνα τὴν φοβερὰν γέενναν τοῦ πυρὸς φύγωμεν. καιέσθω ὁ ποῦς, ἵνα χορεύῃ αἰώνια. ἡ δὲ χεὶρ ῥυείτω, ἵνα ὑψοῦται πρὸς Κύριον, καὶ μὴ φεισώμεθα φύσεως θνησκούσης. ἑλώμεθα

θανα-

Digitized by Google

θανάτου, ἵνα τοὺς στεφάνους τῆς νίκης ἀναδησώμεθα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Δευτεροῦντες τὸ α΄. Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ἔργοις σκοτεινοῖς συναπαχθεὶς, ὅλον ἀπημαύρωσα κάλλος, τὸ τοῦ βαπτίσματος, θέλων ὁ παμάθλιος, καὶ περιβέβλημαι, στολισμὸν κατακρίσεως, καὶ σκότους διό σου, δέομαι παναμωμε, τῇ δυναστείᾳ σου, ῥῆξον τῶν παθῶν μου τὰ νέφη, καὶ τῆς ἀφθαρσίας με χλαῖναν, ἔνδυσον γυμνωθέντα καὶ σῶσόν με.

Εἴσοδος, μετὰ τοῦ θυμιατοῦ καὶ κηροῦ, εἶτα τὰ Ἀναγνώσματα, καὶ καθ᾽ ἑξῆς ἡ Θεία Λειτουργία τῶν Προηγιασμένων. Αὕτη ἡ Ἀκολουθία γίνεται, Λειτουργίας τελουμένης. Εἰ δὲ οὐ τελεῖται Λειτουργία, πρῶτον ψάλλεται τὰ γ΄. προσόμ. τοῦ Τριῳδίου, εἶτα τῶν Ἁγίων. Δόξα. τῶν Ἁγίων. καὶ νῦν. Θεοτ. Ἀναγνώσμ. τῆς ἡμέρας. εἰς δὲ τὸν δ΄. τὸ Ἰδιόμ. τῆς ἡμέρας, δὶς, καὶ τὸ Μαρτυρ.

Δόξα. τῶν Ἁγίων. Ἦχος Πλ. β΄.

Ἐν ᾠδαῖς ᾀσμάτων εὐφημήσωμεν πιστοὶ, τοὺς ἀθλοφόρους τεσσαράκοντα Μάρτυρας, καὶ πρὸς αὐτοὺς μελῳδικῶς ἐκβοήσωμεν λέγοντες. χαίρετε Ἀθλοφόροι τοῦ Χριστοῦ, Ἡσύχιε Μελίτων, Ἡράκλειε Σμάραγδε καὶ Δόμνε, Εὐνοϊκὲ Οὐάλη καὶ Βιβιανὲ, Κλαύδιε καὶ Πρίσκε. χαίρετε Θεόδουλε Εὐτύχιε καὶ Ἰωάννη, Ξανθία Ἡλιανὲ Σισίνιε, Κυρίων Ἀγγία, Ἀέτιε καὶ Φλάβιε. χαίρετε Ἀκάκιε Ἐκδίκιε, Λυσίμαχε Ἀλέξανδρε, Ἡλία καὶ Γοργόνιε, Θεόφιλε Δομετιανὲ, καὶ θεῖε Γάϊε, καὶ Γοργόνιε. χαίρετε Εὐτυχὲς καὶ Ἀθανάσιε, Κύριλλε καὶ Σακερδὼν, Νικόλαε καὶ Οὐαλέριε, Φιλοκτῆμον Σεβηριανὲ καὶ Χουδίων. ὡς ἔχοντες παῤῥησίαν πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν, Μάρτυρες πανοίδιμοι, αὐτὸν ἐκτενῶς πρεσβεύσατε, τοῦ σωθῆναι τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν πανσέβαστον μνήμην ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή.

Τροπάριον τῶν Ἁγίων, εἰ οὐκ ἔστι Προηγιασμένη. Ἦχος α΄.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων σου, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε, δεόμεθα.

Οὕτω λέγεται, εἰ τύχοι ἐν Σαββάτῳ, ἢ Κυριακῇ. εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ, λέγε τὸ Θεοτόκε Παρθένε, εἶτα τὰ λοιπά. αἱ γ΄. μεγάλαι μετάνοιαι, καὶ Ἀπόλυσις.

Ἐνταῦθα σχολάζουσιν αἱ μετάνοιαι, ἀπ᾽ αὐτῆς τῆς ἐνάρξεως τῆς Ἑσπέρας, πλὴν τῶν τριῶν μεγάλων μετανοιῶν, γινομένων ὁμοίως εἰς τὸ, **Κατευθυνθήτω**, εἰς τὸ, **Νῦν αἱ δυνάμεις**, καὶ εἰς τὸ, **Εἴη τὸ ὄνομα Κυρίου**, ὡς σύνηθες. τὰ δὲ ἀπόδειπνα ψάλλομεν λιτῶς, καὶ ἄνευ μετανοιῶν, πλὴν τῶν τριῶν μεγάλων μετανοιῶν.

Εἰς τὸν Ὄρθρον, τὸ, **Θεὸς Κύριος**, Τροπάριον τῶν Ἁγίων, δὶς, καὶ Θεοτ. εἶτα, ἡ συνήθης στιχολ. τῶν γ΄. κα΄. καὶ κα΄. τῆς Ὀκτωήχου καὶ τοῦ Τριῳδίου, κατὰ τὴν τάξιν. Ἀναγνώσματα εἰς τὸ Μαρτύριον τῶν Ἁγίων, καὶ τὸ ἐγκώμιον τοῦ μεγάλου Βασιλείου. εἶτα ὁ Κανὼν, εἰς ς΄. καὶ τὰ Τριῴδια εἰς τὴν τάξιν αὐτῶν. Κανὼν τῶν Ἁγίων.

Οὗ ἡ ἀκροστιχίς.

Θεοστεφῆ φάλαγγα μέλπω Μαρτύρων.

Ὠδὴ α΄. Ἦχος β΄. Ὁ Εἱρμός.

„ Δεῦτε λαοὶ, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν καὶ ὁδηγήσαντι, τὸν λαὸν ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται.

Θεοστεφῆ, φάλαγγα μέλπω Μαρτύρων Χριστοῦ, ἐν θεοπρεπέστοις ᾄσμασι τῶν τεσσαράκοντα, τὴν ἐτήσιον μνήμην, φαιδρῶς πανηγυρίζων, ὅτι δεδόξασται.

Ἐπὶ τῆς γῆς, ἅπασαν ἀπαρνησάμενοι, προσηγορίαν εἵλοντο οἱ τεσσαράκοντα, τὴν Χριστώνυμον κλῆσιν, δι᾽ ἧς ἐν τοῖς ὑψίστοις νῦν πολιτεύονται.

Οἱ ἐν Χριστῷ, σάρκα καὶ Κόσμον μισήσαντες, τὸν παλαιὸν μὲν ἄνθρωπον συνεξεδύσασθε, τῇ προσκαίρῳ ἐσθῆτι, στολὴν δὲ ἀφθαρσίας περιεβάλεσθε.



Digitized by Google

Θεοτοκίον.

Τίς ἐξειπεῖν, σοῦ κατ' ἀξίαν δυνήσεται, τὴν ὑπὲρ λόγον σύλληψιν; Θεὸν γὰρ τέτοκας, ἐν σαρκὶ Παναγία, ἡμῖν ἐπιφανέντα Σωτῆρα πάντων ἡμῶν.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ „νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φό„βον σου ἐμφύτευσον; εἰς τὰς καρδίας ἡ„μῶν τῶν ὑμνούντων σε.

Στρατείαν καὶ ζωὴν καὶ ὡραιότητα, σωμάτων καὶ ὄλβον ἠλογηκότες, εὐκλεῶς οἱ τεσσαράκοντα, τὸν Χριστὸν ἀντὶ πάντων ἐκληρώσαντο.

Τοῖς λίθοις ἀφειδῶς οἱ τεσσαράκοντα, προστάξει βαλλόμενοι τοῦ Τυράννου, τὰς βολὰς διὰ τοῦ Πνεύματος, κατὰ τῶν προστατούντων ἀπεκρούσαντο.

Ἐλάλει κατὰ σοῦ Τυράννων χείλεσιν, ὁ ὄφις τοῦ κτίσαντος βλασφημίας, ἀλλ' αὐτοῦ τὸ Θεομάχον στόμα, τοῖς κατὰ τῶν Μαρτύρων λίθοις θλάττεται. Θεοτοκ.

Τοῦ ἄνθρακος χρυσοῦν θυμιατήριον, τοῦ θείου ἀνύμφευτε γενομένη, τὸ δυσῶδες τῆς καρδίας μου, εὐωδίασον μόνη Ἀειπάρθενε.

Ὁ Εἱρμός. Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τὸ σεπτὸν στερέωμα τῆς Ἐκκλησίας, ὡς Ἀστέρες μέγιστοι, καταλαμπρύνετε ἀεί, καὶ τοὺς πιστοὺς καταυγάζετε, Μάρτυρες θεῖοι Χριστοῦ τεσσαράκοντα.

Ἕτερον. Ἦχος Πλ. δ'. Τὴν Σοφίαν.

Τῷ Χριστῷ στρατευθέντες μαρτυρικῶς, τὸν ἐχθρὸν καθελόντες ἀθλητικῶς, ἔργοις ἐπληρώσατε, τοῦ Προφήτου τὰ ῥήματα. διὰ πυρὸς γὰρ καὶ ὕδατος, γενναίως διήλθετε, ἀναψυχὴν εὑράμενοι, ζωὴν τὴν αἰώνιον. ὅθεν καὶ στεφάνους, οὐρανόθεν λαβόντες, χοροῖς συνευφραίνεσθε, ἀσωμάτων μακάριοι, Ἀθλοφόροι πανεύφημοι, τεσσαράκοντα Μάρτυρες, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Θεοτοκίον. Ὅμοιον.

Ἐνθυμοῦμαι τὴν Κρίσιν καὶ δειλιῶ, τὴν ἐξέτασιν τρέμω τὴν φοβεράν. φρίττω τὴν ἀπόφασιν, καὶ πτοοῦμαι τὴν κόλασιν, τὴν τοῦ πυρὸς ὀδύνην, τὸ σκότος τὸν τάρταρον, τὸν βρυγμὸν τῶν ὀδόντων, τὸν ἄϋπνον σκώληκα. οἴ μοι τί ποιήσω, ὅταν τίθωνται θρόνοι, καὶ Βίβλοι ἀνοίγωνται, καὶ αἱ πράξεις ἐλέγχωνται; τότε Δέσποινα βοήθειά μοι γενοῦ, καὶ προστάτις θερμότατος, σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀχρεῖος οἰκέτης σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Παρθένος καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, τῷ Σταυρῷ παρεστῶσα ὀδυνηρῶς, ἠλάλαζε δακρύουσα, μητρικῶς ἐκβοῶσα· τί τὸ ξένον τοῦτο, Υἱὲ καὶ παράδοξον; ὁ πηγάζων πᾶσι, βροτοῖς τὴν ἀπάθειαν, μέσον καταδίκων, τῷ Σταυρῷ προσηλώθης, πλευρὰν ἐκκεντούμενος, καὶ χολὴν ποτιζόμενος, ὑπὸ χειρῶν ὧν ἔπλασας. ἀλλ' ἀνάστηθι καὶ δώρησαι, τῶν πταισμάτων ἄφεσιν τοῖς πίστει σου, ἀνυμνοῦσι τὰ θεῖα Παθήματα.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„Εἰσακήκοα Κύριε τὴν ἀκοὴν τῆς σῆς „οἰκονομίας, καὶ ἐδόξασά σε μόνε φι„λάνθρωπε.

Φρενοβλαβεῖτε ἔλεγον, οἱ Ἀθληταὶ τὴν πρόσκαιρον ζημίαν, δωρεὰν προτιμοῦντες, ἀθεώτατοι.

Ἠκονημένα ξίφη τε, θῆρας, καὶ πῦρ Σταυρόν τε τοῖς Ἁγίοις, οἱ Χριστοῦ διῶκται, ἐπανετείνοντο.

Φοβερὸν ἡμῖν ἔλεγον, οἱ Ἀθληταὶ τὸ πῦρ τὸ τῆς γεέννης, τὸ δὲ νῦν ὡς σύνδουλον, οὐ πτοούμεθα.

Καταστράπτοντες ἔνδοξοι, τῇ νοερᾷ Χριστοῦ φωταγωγίᾳ, πρὸς ἀκτῖνα θείαν με ὁδηγήσατε.

Θεοτοκίον.

Δυσωποῦμέν σε Ἄχραντε, τὴν τὸν Θεὸν ἀσπόρως συλλαβοῦσαν, τοῦ ἀεὶ πρεσβεύειν ὑπὲρ τῶν δούλων σου.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„Ὁ τοῦ φωτὸς χορηγός, καὶ τῶν αἰώνων „Ποιητὴς Κύριε, ἐν τῷ φωτὶ, τῶν σῶν „προ-

Digitized by Google

„ προσταγμάτων ὁδήγησον ἡμᾶς. ἐκτὸς σοῦ „ γὰρ ἄλλον, Θεὸν οὐ γινώσκομεν.

Λύσσῃ παράφρον, τῶν διωκτῶν οἱ Ἀθληταὶ αἴθριοι, ἐν τῷ κρυμῷ, διανυκτερεύειν καταδικασθέντες, ἀνέμελπον ὕμνον, Θεῷ χαριστήριον.

Ἀγαλλιώμενοι, οἱ τεσσαράκοντα Χριστοῦ Μάρτυρες, τὴν ἀλγεινὴν ὑπέμειναν πῆξιν, ἐν λίμνῃ ἑστῶτες, ἐλπίδι τῶν θείων, στεφάνων μαρνάμενοι.

Τέλος προτίθεται, τοῖς τεσσαράκοντα Χριστοῦ Μάρτυσιν, ἀποπνιγεὶς, ὁ πρὶν ἐμφωλεύων, τοῖς ὕδασιν ὄφις, τὴν ὀλεθροτόκον, ἰσχὺν γὰρ ἀφῄρηται.

Θεοτοκίον.

Σοὶ τῇ τεκούσῃ Χριστὸν, τὸν τοῦ παντὸς Δημιουργὸν κράζομεν. χαῖρε Ἁγνὴ, χαῖρε ἡ τὸ φῶς ἀνατείλασα ἡμῖν, χαῖρε ἡ χωρήσασα, Θεὸν τὸν ἀχώρητον.

Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Γεγηθὼς ὁ ἀρχέκακος ἥρπασεν, ὡς τῆς δωδεκάδος Ἰούδαν τὸν δείλαιον, καὶ τῆς Ἐδὲμ τὸν ἄνθρωπον, τῆς τεσσαρακοντάδος τὸν ἔκπτωτον.

Ἀναιδὴς ὢν δικαίως φρυάττεται. οἷα γὰρ Λῃστῇ, καὶ Ματθίᾳ τὸ πρότερον, οὕτω καὶ νῦν ὁ Τύραννος, τοῦ φρουροῦντος τῇ κλήσει εἰσπράττεται.

Ματαιόφρων καὶ θρηνῶν ἐπάξιος, ὅστις τῶν ζωῶν ἀμφοτέρων διήμαρτε. διὰ πυρὸς γὰρ λέλυται, καὶ πρὸς πῦρ ἐξεδήμησεν ἄσβεστον.

Θεοτοκίον.

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Ὁ Εἱρμός. Ἐν ἀβύσσῳ πταισμάτων.

Κοντάκιον. Ἦχος πλ. β'. Τὴν ὑπὲρ ἡμῶν.

Πᾶσαν στρατιὰν τοῦ Κόσμου καταλιπόντες, τῷ ἐν Οὐρανοῖς Δεσπότῃ προσεκολλήθητε, Ἀθλοφόροι τεσσαράκοντα. διὰ πυρὸς γὰρ καὶ ὕδατος, διελθόντες μακάριοι, ἐπαξίως ἐκομίσασθε, δόξαν ἐκ τῶν Οὐρανῶν, καὶ στεφάνων πληθύν.

Ὁ Οἶκος.

Τῷ ἐν θρόνῳ ἀστέκτῳ ἐποχουμένῳ, τῷ ἐκτείναντι τὸν Οὐρανὸν καθάπερ δέῤῥιν, τῷ τὴν γῆν ἑδράσαντι, καὶ συνάξαντι τὰ ὕδατα εἰς τὰς συναγωγὰς αὐτῶν. τῷ τὸ πᾶν ἐκ μὴ ὄντων ποιήσαντι ὑπάρχειν, καὶ πᾶσι χορηγοῦντι πνοὴν καὶ ζωήν. τῷ προσδεχομένῳ τῶν Ἀρχαγγέλων τὸν ὕμνον, καὶ ὑπὸ Ἀγγέλων ἀνυμνουμένῳ, καὶ ὑπὸ πάντων προσκυνουμένῳ, Χριστῷ τῷ παντοκράτορι, τῷ Πλάστῃ καὶ Θεῷ ἡμῶν, προσπίπτω ὁ ἀνάξιος, προσάγων τὴν δέησιν, λόγου χάριν αἰτῶ, ἵνα ἰσχύσω ὡσεβῶς ὑμνῆσαι ἐγὼ τοὺς Ἁγίους, οὓς αὐτὸς ἔδειξας νικητὰς, δωρησάμενος αὐτοῖς Δόξαν ἐκ τῶν Οὐρανῶν, καὶ στεφάνων πληθύν.

Τῷ αὐτῷ Μηνὶ Θ'. Τῶν Ἁγίων μεγάλων, Μ'. Μαρτύρων, τῶν ἐν Σεβαστείᾳ τῇ Πόλει μαρτυρησάντων.

Στίχ. Πληροῦμεν ὑστέρημα σοῦ Σῶτερ πάθους, Τεσσαράκοντα, συντριβέντες τὰ σκέλη. Ἀμφ' ἐννάτῃ ἐάγη σκέλη ἀνδρῶν τεσσαράκοντα.

Οὗτοι οἱ Ἅγιοι, ἐκ διαφόρων πατρίδων ὄντες, ἐφ' ἑνὶ τάγματι ἐστρατεύοντο. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν κατασχεθέντες, καὶ εἰς ἐξέτασιν ἀχθέντες, καὶ μὴ πεισθέντες θῦσαι τοῖς εἰδώλοις, λίθοις τὰς ὄψεις καὶ τὸ στόμα πρότερον βάλλονται. αἱ δὲ βολαὶ, οὐ μᾶλλον τούτους, ἢ τοὺς βάλλοντας ἀντιστρεφόμεναι, ἔπληττον. ἔπειτα, ἐν ὥρᾳ χειμερινῇ γυμνοὶ διανυκτερεύειν κατεδικάσθησαν μέσον τῆς λίμνης, τῆς πρὸ τῆς Πόλεως. Ἔνθα ἑνὸς αὐτῶν φιλοψυχήσαντος, καὶ πρὸς τὸ πλησίον βαλανεῖον προσδραμόντος, καὶ ἅμα τῇ προσβολῇ τῆς θέρμης διαλυθέντος, ὁ παρατηρῶν αὐτοὺς δήμιος καὶ φυλάττων, εὐθὺς μετὰ τῶν Ἁγίων, ἀντὶ τοῦ λιπόντος, κατέστησεν ἑαυτὸν, φῶς ἐν νυκτὶ περὶ τοὺς Μάρτυρας ἰδὼν καὶ στεφάνους, ἐφ' ἕκαστον αὐτῶν κατιόντας. Ἤδη δὲ τῆς ἡμέρας ἐπιφαινούσης, ὡς λειποψυχοῦντες ἦσαν μὲν οἱ Ἅγιοι. ἔτι δὲ ἐμπνέοντες ὤφθησαν, τὰ σκέλη θλασθέντες, τὸν τοῦ Μαρτυρίου στέφανον ἐκομι-



Digitized by Google

μίσαντο. Οὕτως δὲ ἄρα αὐτοῖς ἀσπαςὸς ἢ καθ' ἡδονὴν ὁ θάνατος ἐγνωρίζετο, ὡς καταλειφθέντα τινὰ παρὰ τοῦ Τυράννου, δι' ἡλικίαν ἢ ῥώμην σώματος ἔτι ἐμπνέοντα, νομίσαντος αὐτὸν ἴσως μεταβουλεύσεσθαι. ἡ δὲ μήτηρ αὐτοῦ παρέμενεν αὐτοῖς πάσχουσι, παῖδα τὸν ἑαυτῆς βλέπουσα· καὶ γὰρ οὗτος ὑπὲρ πάντας τὴν ἡλικίαν νεώτερος, καὶ ἐδεδοίκει μήποτε δειλίαν αὐτῷ ἐμποιήσει τὸ νεαρὸν ἢ φιλόζωον, ἢ ἀνάξιος τῆς τῶν συςρατιωτῶν τάξεώς τε ἢ τιμῆς εὑρεθῇ. Ἵςατο οὖν ἀτενὴς ὁρῶσα σχήματί τε ἢ βλέμματι, ὅπως εἶχε, θάρσος αὐτῷ ἐμβάλλουσα, χεῖρας τέως εἰς αὐτὸν ἐκτείνουσα, καὶ τέκνον ἐμοὶ γλυκύτατον, λέγουσα, τέκνον ἤδη Πατρὸς Οὐρανίου, μικρὸν ὑπόμεινον, ἵνα τέλειος καταςῇς. μὴ φοβηθῇς τὰς βασάνους. ἰδοὺ γὰρ παρίςαταί σοι βοηθὸς Χριςὸς ὁ Θεός. οὐδὲν τὸ λοιπὸν ἀηδὲς, οὐδὲν ἐπίπονον ἀπαντήσεις. πάντα ἐκεῖνα παρῆλθον, πάντα ταῦτα τῇ σῇ νενίκηκας γενναιότητι. χαρὰ τὸ μετὰ ταῦτα, ἡδονὴ, ἄνεσις, εὐφροσύνη, ὧν μεθέξεις συμβασιλεύων Χριςῷ, καὶ πρέσβυς ἐμοὶ τῇ τεκούσῃ τὰ πρὸς αὐτὸν γινόμενος. Οἱ οὖν Ἅγιοι συντριβέντες τὰ σκέλη, τῷ Θεῷ παρέθεντο τὰς ψυχάς. οἱ δὲ ςρατιῶται ἁμάξας ἐνεγκόντες, καὶ ταύταις τὰ ἱερὰ σώματα ἐπιθέντες, παρὰ τὸ χεῖλος τοῦ ἐκ γειτόνων ποταμοῦ ἄγουσι. τὸν μέν τοι νέον ἐκεῖνον, ᾧ Μελίτων ὄνομα, ἐμπνέοντα ἔτι καθιδόντες, καταλείπουσιν ὄντα τοῦ ζήσεσθαι. ὃν ἡ μήτηρ μόνον ὑπολειφθέντα θεασαμένη, τοῦτο μᾶλλον θάνατον αὐτῆς ἢ τοῦ παιδὸς εἶναι λογισαμένη, ὑπεριδοῦσα γυναικὸς ἀσθένειαν, ἢ σπλάγχνων μητρικῶν ἐπιλαθομένη, τὸν Υἱὸν ἐπ' ὤμων ἀραμένη, ταῖς ἁμάξαις ἠκολούθει μεγαλοψύχως, τότε ζήσειν οἰομένη, ὅταν νεκρὸν μᾶλλον, ἢ ἐκλελοιπότα θεάσαιτο. Ἐπεὶ οὖν οὕτω φερόμενος ὑπ' αὐτῆς ἀφῆκε τὸ πνεῦμα, τότε δὴ τῶν φροντίδων ἡ μήτηρ ἑαυτὴν λύσασα, μέγα τι καὶ ὑπερήδιςον ἐπὶ τῷ τέλει τοῦ Υἱοῦ σκιρτήσασα, μέχρι τοῦ τόπου, οὗ τὰ σώματα τῶν Ἁγίων ἦν, ἀπενέγκασα τὸ τοῦ φιλτάτου νεκρὸν, ἐπάνω αὐτῶν τίθησι, ἢ τοῖς ἄλλοις συναριθμεῖ, ἵνα μηδὲ τὸ σῶμα τῶν σωμάτων ἀπολειφθῇ, οὗ τὴν ψυχὴν ἔσωθε ταῖς ψυχαῖς ἐκείνων συναριθμεῖσθαι. Μέγα δὲ πῦρ ἀνάψαντες οἱ τῷ ἀντικειμένῳ ὑπηρετούμενοι, τὰ τῶν Ἁγίων σώματα κατακαίουσιν, εἶτα τῶν λειψάνων Χριςιανοῖς φθονοῦντες, εἰς τὸν ποταμὸν αὐτὰ ἀφιᾶσιν. ἀλλ' ἐκεῖ θεία παντως οἰκονομία, ἐχόμενα κρημνοῦ συνήχθη τινὸς, ἢ Χριςιανῶν ταῦτα χεῖρες ἑλόμεναι, πλοῦτον ἡμῖν ἄσυλον ἐδωρήσαντο. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Ἁγιωτάτῳ αὐτῶν Μαρτυρείῳ, τῷ ὄντι πλησίον τοῦ χαλκοῦ τετραπύλου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου ἢ Θεοφόρου Πατρὸς ἡμῶν ἢ ὁμολογητοῦ Παύλου, Ἐπισκόπου Πλουσιάδος.

Οὗτος τὰς ἀφορμὰς αἴρων κατὰ τῆς Χριςοῦ Ἐκκλησίας μαινομένους, ἢ πᾶσαν ἀνατρέποντας θεσμῶν εὐπρέπειαν, καὶ θείων Πατέρων τὰς παραδόσεις, ἢ τύπους ἀναβαθμίζοντας, θείοις ῥήμασιν ὡς βέλεσι κατηκόντισεν, ὡς Χριςοῦ μαθητὴς, διωγμοὺς ἢ ἐξορίας ἢ σκληραγωγίας ὑπὲρ τῆς τοῦ Χριςοῦ Εἰκόνος αἱρετισάμενος. Ὅθεν καλῶς ἀθλήσάμενος, ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Θεῷ παρέθετο, πρὸς τὴν ἀμείνω λῆξιν μετατεθείς.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Οὐρπασιανοῦ, ἢ τοῦ Ἁγίου Ταρασίου, ἢ Καισαρείου, Ἀδελφοῦ τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου.

Στ. Ὁ Γρηγορίου πρὸς νεκρὸν Καισαρίου,
Γλώττης γαληνὸς, τῆς ἐμῆς, λόγε, λόγος.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Μάρτυρες, Πάππος, Μάμμη, Πατὴρ, Μήτηρ, ἢ δύω τέκνα, ξίφει τελειοῦνται.

Στ. Διὰ ξίφους ἤθλησε συγγενὲς γένος.
Ἡ Παππομαμμος πατρομητροτεκνία.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Εξέςη ὁρῶν, τοὺς ςεφανους ὁ φρουρὸς τῶν τεσσαράκοντα, ἢ πάρωσάμενος τὸ φιλό-

Digitized by Google

λόζωον, ἀνεπτερώθη τῷ ἔρωτι, τῆς ἐπιφανείσης σοι δόξης, καὶ σὺν τοῖς Μάρτυσιν ἔψαλλεν. Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Λουτρῷ προσδραμὼν, ψυχοφθόρῳ θανατοῦται ὁ φιλόζωος. ὁ δὲ φιλόχριστος ἅρπαξ, ἄριστος τῶν θεαθέντων γενόμενος, ὥσπερ ἐν λουτρῷ ἀφθαρσίας, σὺν τοῖς Μάρτυσιν ἔψαλλεν. Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Πυρὸς νοητοῦ, ἀναφθέντος ἐν φρεσὶ τῶν τεσσαράκοντα, ἡ πολυμήχανος κατεφλέγετο, τῶν ἀσεβούντων ἀπόνοια, ὥσπερ τις κηρὸς τηκομένη, σοὶ δὲ Χριστὲ ἀνεμέλπετο. Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς λίαν φαιδρὰ, εὐπρεπής τε τοῦ Σταυροῦ Χριστὲ ἡ δύναμις, δι' ἀμαρτίων στέφη πλέκουσα, τοῖς τεσσαράκοντα Μάρτυσιν. ὕδωρ γὰρ καὶ πῦρ διελθόντες, ἐν ἀφθαρσίᾳ κραυγάζουσιν. Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἐν βάτῳ Μωσῆς, ἐν τῷ ὄρει τῷ Σινᾶ πυρπολουμένην, Ἁγνὴ προεθεώρει τὴν ἐνέγκασαν, ἀκαταφλέκτως τὴν ἄστεκτον, αἴγλην τῆς ἀρρήτου οὐσίας, ἑνωθείσης παχύτητι, σαρκὸς μιᾶς τῶν ἐν αὐτῇ, Ἁγίων ὑποστάσεων.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ῥαψῳδῶς τοῖς Ἀθληταῖς, ἐποτρύνας ὁ ἐχθρὸς ἅπασαν κτίσιν, διὰ πάσης ᾐσχύνθη. οἱ τεσσαράκοντα γὰρ, ἀπαύστως ὑμνεῖτε κραυγάζουσι, καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀνηλεῶς ὑπὲρ Χριστοῦ, τὰ τοῦ σώματος ὑμῶν μέλη θλασθέντες, ὁλοκαύτωμα θεῖον προσενεχθέντες Θεῷ, Ἀγγέλων χοροῖς συναγάλλεσθε, Μάρτυρες ὑμνοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥωμαλεότητι φρενῶν, ὃν ἐκύησεν ἐπ' ὤμων ἀραμένη, ἡ φιλόθεος μήτηρ, τῆς εὐσεβείας καρπὸν, προσάγει σὺν Μάρτυσι Μάρτυρα, τὴν ἱερουργίαν Ἀβραὰμ μιμουμένη.

Τὴν πρὸς τὴν ἄληκτον ζωὴν, εὐθυβόλως ὦ Υἱὲ στέλλου πορείαν, ἡ φιλόχριστος μήτηρ τῷ φιλοχρίστῳ παιδὶ, ἐβόα οὐ φέρουσα δεύτερον, τῷ ἀγωνοθέτῃ Θεῷ ἐμφανισθῆναι. Δόξα.

Τὴν ὡς Ἡλίοις ἐν τρισὶν, ἑνιαίαν εὐσεβῶς καταυγοῦντες, ἐχομένην ἀλλήλοις τὸ τρισυπόστατον φῶς, ὑμνοῦμεν τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νεῦσον δεήσεσιν ἡμῶν, τῶν σῶν δούλων ἀγαθὴ Θεοκυῆτορ, καὶ δεινῶν τὰς ἐφόδους καὶ πειρασμῶν προσβολὰς, ταχέως κατάπαυσον Δέσποινα· ἵνα σε τιμῶμεν ὑπερευλογημένην.

Ὁ Εἱρμός.

„Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων „τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν „φλόγα εἰς δρόσον μεταβαλόντα Θεὸν, „ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυ„ψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν ἀρρήτῳ „σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν Ἀ„δὰμ, βρώσει φθορᾷ πεπτωκότα δεινῶς, „ἐξ ἁγίας Παρθένου, ἀφράστως σωματού„μενον Θεὸν, οἱ πιστοὶ ὁμοφρόνως ἐν ὕ„μνοις μεγαλύνομεν.

Ὑπὲρ Χριστοῦ γυμνωθέντες, καὶ τοῖς λίθοις βληθέντες, ἀέρος ὑπεμείνατε κρυμὸν, ὕδατος πῆξιν, καὶ θλάσιν μελῶν, καὶ πυρὶ φλογισθέντες, ἐν ποταμίῳ λάμπετε ῥείθρῳ, τηλαυγεῖς ὡς Φωστῆρες, Μάρτυρες τεσσαράκοντα.

Ῥάβδον δυνάμεως θείας, τὸν Σταυρὸν κεκτημένοι, ἐβόων τῷ Χριστῷ οἱ Ἀθληταὶ, οἱ Τεσσαράκοντα Δέσποτα, πανσθενεῖ Τροπαιούχῳ, τῇ σῇ στεφανωθείημεν χειρὶ, ἵνα πάντες σε ὕμνοις, ἀπαύστως μεγαλύνωμεν.

Ὡς ἀλγεινὴ μὲν ἡ πῆξις, ὡς δὲ λίαν ἔκτοπος, δεινοὺς ὃν ὑπεμείνατε κρυμὸν, ἀλλὰ γλυκὺς ὁ Παράδεισος. Ἀβραὰμ γὰρ οἱ κόλποι, τοῦ Πατριάρχου θάλπουσιν ὑμᾶς, ἐν σκηναῖς αἰωνίοις, Μάρτυρες τεσσαράκοντα.



Digitized by Google

Νενικηκότες τοῖς ἄθλοις, καὶ τῇ τρισυποστάτῳ Τριάδι, παρεστῶτες Ἀθληταὶ, νῦν δωρηθῆναι πρεσβεύσατε, τὴν εἰρήνην τῷ Κόσμῳ, νίκας τῷ φιλοχρίστῳ Βασιλεῖ, καὶ ἡμῖν σωτηρίαν, Μάρτυρες τεσσαράκοντα. Θεοτοκίον.

Χαῖρε πηγὴ ἀφθαρσίας. χαῖρε κούφη νεφέλη, χαῖρε τερπνὲ Παράδεισε Θεοῦ, χαῖρε πηγὴ ἰαμάτων ψυχῶν, χαῖρε ἅγιον ὄρος ὃ εἶδεν ὁ Προφήτης Δανιὴλ, χαῖρε Μήτηρ Παρθένε, χαῖρε ἡ πάντων Ἄνασσα.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Χορὸς τετραδεκάριθμος, Μαρτύρων τεσσαράκοντα, τῆς ὑπερθέου Τριάδος, τῶν ἀρετῶν τετρακτύϊ, πυρὸς ἀέρος ὕδατος, καὶ γῆς στοιχείων τετράδος, ᾄσμασι θείοις ὑμνείσθω, ὑπὲρ Χριστοῦ ὡς ἀθλήσας, τοῦ τῶν ἁπάντων Δεσπότου.

Θεοτοκίον. Ὅμοιον.

Χαῖρε κατάρας λύτρωσις, καὶ τοῦ Ἀδὰμ ἀνάκλησις, χαῖρε Ἁγνὴ Θεοτόκε, ἐλπὶς καὶ σκέπη τοῦ Κόσμου, χαῖρε σεμνὴ μητρόθεε, χαῖρε τὸ θεῖον ὄχημα. χαῖρε ἡ κλίμαξ καὶ πύλη, χαῖρε κούφη νεφέλη, χαῖρε τῆς Εὔας ἡ λύσις.

Παρισταμένη πάναγνε, ἐν τῷ Σταυρῷ τοῦ Κτίστου σου, ταθέντα ἄπνουν ἰδοῦσα, ἠλάλαζες ὥσπερ Μήτηρ, δακρύουσα καὶ λέγουσα· τί τοῦτο τὸ παράδοξον, ὅπερ νῦν βλέπω Υἱέ μου, ὅτι ὁ Κτίστης τοῦ Κόσμου, Σταυρῷ ταθῆναι ἠνέσχου;

• Εἰς τοὺς Αἴνους, ἱστῶμεν στ. δ΄. Εἰ βούλει δὲ, ψάλλε τὰ Ἰδιόμελα τῶν Ἁγίων, καὶ ποίησον, στ. ἑξ. στ. προσόμοια. Ἦχος Πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Δεῦτε μαρτυρικὴν Ἀδελφοὶ, μετ' ἐγκωμίων ἀνυμνήσωμεν φάλαγγα, τῷ κρύει πυρποληθεῖσαν, καὶ τὸν τῆς πλάνης κρυμὸν, διαπύρῳ ζήλῳ πυρπολήσασαν, στρατὸν γενναιότατον, ἱερώτατον σύνταγμα, συνασπισμόν τε, ἄρραγῆ καὶ ἀνίκητον· τοὺς τῆς πίστεως, περιβόλους καὶ φύλακας, Μάρτυρας τεσσαράκοντα, χορείαν τὴν ἔνθεον, τῆς Ἐκκλησίας τοὺς Πρέσβεις, τοὺς δυνατῶς ἱκετεύοντας, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, καὶ μέγα ἔλεος. Ὅμοιον.

Χαίροις συναγωγὴ κραταιὰ, καὶ ἱερὰ καὶ τροπαιοῦχος παράταξις, οἱ πύργοι τῆς εὐσεβείας, οἱ στρατιῶται Χριστοῦ, οἱ στερροὶ ὁπλῖται καὶ ἀήττητοι, τὸν νοῦν ἀτομώτατοι, καὶ ψυχὴν ἀνδρειότατοι, τῷ ὄντι θεῖοι, καὶ Θεῷ ποθεινότατοι. χορὸς Ἅγιος, καὶ Θεόλεκτον σύστημα, Μάρτυρες τεσσαράκοντα, οἱ ἴσοι τὴν ἄθλησιν, ἴσοι τὴν γνώμην καὶ ἴσως, καὶ τοὺς στεφάνους δεξάμενοι, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος. Ὅμοιον.

Χαίροις τροπαιοφόρον πλῆθος, ἡ ἐν πολέμοις ἀνδρικῶς ἀριστεύσασα, ἀστέρες, οἱ διελθόντες, διὰ πυρὸς καὶ κρυμοῦ, καὶ ὑδάτων πῆξιν διαλύσαντες. οἱ γῆν οὐρανώσαντες, καὶ τὰ πάντα φωτίσαντες, οἱ ἐν τοῖς κόλποις Ἀβραὰμ νῦν θαλπόμενοι, οἱ χορεύοντες, σὺν Ἀγγέλων στρατεύμασι. Μάρτυρες τεσσαράκοντα, τὰ ἄνθη τὰ πνέοντα, τὴν εὐωδίαν τῆς ὄντως, Πνευματικῆς διαδόσεως, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος. Τὰ Ἰδιόμελα. Ἦχος α΄.

Χορὸς τετραδεκαπύρσευτος, στρατὸς ὅπλος Θεοσύλλεκτος, συνεξέλαμψε τοῖς ἄθλοις σεπτοῖς ἁγιάζων, καὶ φωτίζων τὰς ψυχὰς ἡμῶν. Ἦχος β΄.

Τὴν τετραδεκάριθμον χορείαν τῶν Μαρτύρων, τίς μὴ ἀνυμνήσει; τῷ γὰρ ὕδατι τῆς λίμνης εἰσῆλθον θαρσαλέως, καὶ τῷ κρύει σφιγγόμενοι, τὴν ᾠδὴν ἀνέμελπον τῷ Κυρίῳ. μὴ ἐν ποταμοῖς ὀργισθῇς ἡμῖν Κύριε, μὴ ἐν ποταμοῖς ὀργισθῇς ἡμῖν φιλάνθρωπε. ἐλάφρυνον τὸ βάρος καὶ τὴν πικρότητα τοῦ ἀέρος. τῷ οἰκείῳ γὰρ αἵματι, ἐβάφησαν ἡμῶν οἱ πόδες, καὶ εἰσάγαγε ἡμᾶς ὁ Θεὸς, εἰς τὰς αἰωνίους σου σκηνὰς, ἵνα ὁ κόλπος ἡμᾶς θάλψῃ τοῦ Πατριάρχου Ἀβραάμ. Ὁ αὐτός.

Ἀληθείας κρατῆρα ἐξ οἰκείων αἱμάτων, τῷ πυρὶ τῶν βασάνων τῇ τοῦ ὕδατος πήξει, τοῖς πιστοῖς κατ[illegible]ύσαν. τετρα-

Digitized by Google

ραρίθμῳ γὰρ ᾄδοντες δεκάδι τῷ Σωτῆρι· εἷς μὲν ὢν τοῖς ἅπασιν, ἐν σώμασι δὲ πλείους, προσηνέχθησαν Χριστῷ, καὶ Θεόνυμφος Μήτηρ τῷ φιλοχρίστῳ παιδὶ, ἐπ' ὤμων ἀραμένη ἔλεγε· δεῦρο Ἀθλητὰ καὶ συναγωνίζου τοῖς προλοίποις.

Δόξα. Ἦχος Πλ. α΄. Ἰωάννου Μοναχοῦ.

Ἀθλοφόροι Χριστοῦ, τὴν πάνσεπτον μνήμην φαιδροτέραν ἀπειργάσασθε, τῇ μνήμῃ τῆς ἐνδόξου ὑμῶν ἀθλήσεως· τεσσαράκοντα γὰρ ὄντες, τὴν τεσσαρακονθήμερον ἁγιάζετε, τὸ σωτήριον Πάθος μιμησάμενοι τῆς ὑπὲρ Χριστοῦ ὑμῶν ἀθλήσεως· διὸ ἔχοντες παῤῥησίαν πρεσβεύσατε, ἐν εἰρήνῃ καταντῆσαι ἡμᾶς, εἰς τὴν τριήμερον Ἀνάστασιν τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν Πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἄῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Ἢ Σταυροθεοτοκίον. Ὅμοιον.

Εἰς τὸν Στ. τὸ Ἰδιόμ. τῆς ἡμέρας, δίς· καὶ τὸ Μαρτυρ. Δόξα. τῶν Ἁγίων. Ἦχος β΄.

Τὴν λίμνην ὡς Παράδεισον, καὶ τὸ κρύος ὡς καύσωνα, οἱ Μάρτυρες ἡγήσαντο Χριστὲ ὁ Θεός· οὐκ ἔπτηξαν τὸν λογισμὸν αἱ τῶν Τυράννων ἀπειλαὶ, οὐκ ἐδειλίασαν οἱ γενναῖοι τῶν βασάνων τὰς προσβολὰς, ὁπλοφόρον κεκτημένοι τὸν Σταυρόν· δι' αὐτοῦ τὸν ἐχθρὸν, ὡς κραταιοὶ ἐτροπώσαντο· ὅθεν καὶ τὸν στέφανον ἐκομίσαντο τῆς χάριτος. Καὶ νῦν. Θεοτοκίον.

Ἡ διοδεύτε πύλη μυστικῶς ἐσφραγισμένη, εὐλογημένη Θεοτόκε Παρθένε, δέξαι τὰς δεήσεις ἡμῶν, καὶ προσάγαγε τῷ Υἱῷ σου, καὶ Θεῷ, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Ἢ Σταυροθεοτοκίον. Ὅμοιον.

Εἶτα, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι.

Καὶ ἡ λοιπὴ Ἀκολουθία· αἱ γ΄. μεγάλαι μετάνοιαι, καὶ ἡ α΄. ὥρα μετὰ τῆς ἀπολ. αὐτῆς, καὶ ἀπόλυσις. Τῇ δὲ ἑπιούσῃ ἡμέρᾳ τῆς μνήμης τῶν Ἁγίων, γίνεται ἡ γ΄. καὶ ς΄. ὥρα, ὡς συνήθες, εἰς τὴν τάξιν αὐτῶν, ὁμοίως καὶ ἡ θ΄. μετὰ τῆς ἀπολ. αὐτῶν· οἱ Μακαρισμοὶ, συναπτομένου καὶ τῇ Ἑσπερινοῦ· ἐν ᾧ μετὰ τὴν συνήθη ἀπολ. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ι΄. καὶ ψάλλομεν τὸ Ἰδιόμελ. τῆς ἡμέρας δίς, καὶ τὸ Μαρτυρ. καὶ γ΄. προσόμοια τοῦ Τριῳδίου, καὶ τῶν Ἁγίων. Ἦχος β΄. Φέροντες τὰ παρόντα γενναίως, ζήτει αὐτὰ τῇ χθὲς εἰς τὸν Ἑσπερινόν· καὶ τὰ ἕτερα β΄. δευτεροῦντες τὸ α΄.

Δόξα. Ἦχος β΄. Κυπριανοῦ Μοναχοῦ.

Προφητικῶς ἀνεβόα ὁ Δαβὶδ ἐν ψαλμοῖς· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν· ὑμεῖς δὲ Μάρτυρες Χριστοῦ, δι' αὐτῶν τῶν ἔργων, τὸ λόγιον πληροῦντες, διήλθετε διὰ πυρός τε καὶ ὕδατος, καὶ εἰσήλθετε εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν· διὸ πρεσβεύσατε τεσσαράκοντα ὄντες Ἀθληταὶ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου. Ἢ Σταυροθεοτοκίον.

Τὰ δὲ προσόμοια τοῦ Ἁγίου Κοδράτου ψάλλομεν ἐν τοῖς Ἀποδείπνοις. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Τὸ, Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας, τὰ Ἀναγνώσμ. μετὰ δὲ τὴν συμπλήρωσιν τῶν Ἀναγνωσμάτων, τὸ, Κατευθυνθήτω, καὶ μετὰ τοῦτο.

Προκείμενον τοῦ Ἀποστόλου.

Σὺ Κύριε φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς.

Στ. Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Ὁ Ἀπόστολος πρὸς Ἑβραίους.

Ἀδελφοὶ, τοσοῦτον ἔχοντες περικείμενον.

Ἀλληλούϊα. Ἦχος β΄.

Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν Οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ.

Τέλος. Πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

Digitized by Google

Καὶ ἡ Θεία Λειτουργία τῶν Προηγιασμένων.
Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.
Εἰς δὲ τὴν τράπεζαν ἐσθίομεν ἔλαιον καὶ οἶνον, εἰ δὲ ἐν τῇ α΄. Ἑβδομάδι τύχῃ, οἶνον μόνον, Αὕτη ἡ Ἀκολουθία γίνεται, νηστείας οὔσης· εἰδὲ τύχῃ τῷ α΄. Σαββάτῳ τῶν Ἁγίων Νηστειῶν, ἤτοι τοῦ Ἁγίου Θεοδώρου, συμψάλλεται ἡ Ἀκολουθία τῶν Ἁγίων· εἰδὲ τῇ α΄. Κυριακῇ τύχῃ, ἢ τῇ Κυριακῇ τῆς Σταυροπροσκυνήσεως, καὶ ἁπλῶς εἰπεῖν, οἵα ἂν ἡμέρα τύχῃ, ψάλλεται ἡ Ἀκολουθία αὐτῶν, καὶ ψάλλεται ἡ Ἀκολουθία ἡ Ἀναστάσιμος, τοῦ Σταυροῦ, καὶ τῶν Ἁγίων· ὁ Ἀναστάσιμος Κανὼν μετὰ τοῦ Εἱρμοῦ, εἰς δ΄. καὶ τοῦ τιμίου Σταυροῦ, εἰς ϛ΄. καὶ τῶν Ἁγίων, εἰς δ΄. Καταβασία τοῦ Σταυροῦ.

Τῷ αὐτῷ Μηνὶ Ι΄.

Τοῦ Ἁγίου Μάρτυρος Κοδράτου, καὶ τῶν σὺν αὐτῷ.

Εἰς τό, Κύριε ἐκέκραξα, ϛ΄. προσόμοια.
Ἦχος α΄.
Πανεύφημοι Μάρτυρες.

Κοδράτε παράδεισε ζωῆς, θείας ἐφιέμενος, ζωῆς φθαρτῆς κατεφρόνησας· τῆς τῶν ῥεόντων γάρ, προτιμήσας ὕλης, τὴν ἄϋλον ὕπαρξιν, σὺν ἄληκτον ἐκτήσω ἀπόλαυσιν· διὰ θανάτου γάρ, πρὸς ἀθάνατον μετέβης τρυφήν, καὶ πρὸς δόξαν τὴν μὴ διαπίπτουσαν.

Ὅμοιον.

Κοδράτε Θεόληπτε ὁδόν, Μαρτυρίου ἔδραμες, ἀνεπιστρόφῳ φρονήματι· τὰ διαβήματα, ἐπλατύνθη γάρ σου, τῆς ψυχῆς καὶ ἴχνη σου, οὐδ' ὅλως τῆς ἀνδρείας ἠθέτησαν· ἐν οἷς γενόμενος, ὁδηγὸς τῶν συναθλούντων σοι, πρὸς τὴν ἄνω Μητρόπολιν ἔφθασας. Ὅμοιον.

Κοδράτε Καλλίνικε στρατόν, εἰς Θεοῦ παράταξιν, νεανικῶς ἀριθμούμενον συνεπαγόμενος, τῶν σῶν Συμμαρτύρων, Στρατηγὸς ὡς ἄριστος, κατὰ τῶν ἀντιθέων ἠρίστευσας, καὶ νίκης τρόπαια, εἰληφὼς ἐν μυριάσι Χριστῷ, στεφηφόρος σὺν αὐτοῖς παρέστηκας.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε ξένον ἄκουσμα Ἁγνή, χαῖρε ξύλον ἅγιον, τοῦ Παραδείσου Θεόφυτον, χαῖρε ἐξάλειψις, πονηρῶν Δαιμόνων, χαῖρε ξίφος δίστομον, ἐχθροῦ τὴν κεφαλὴν ἀποτέμνουσα, τῷ ξένῳ τόκῳ σου. Παναγία ὑπεράμωμε, ἐξουθενηθέντας ἡμᾶς ἀνακάλεσαι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σφαγήν σου τὴν ἄδικον Χριστέ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι, Τέκνον γλυκύτατον, πῶς ἀδίκως πάσχεις; πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι; μὴ λίπῃς μόνην με, εὐεργέτα πολυέλεε, τὴν Μητέρα καὶ δούλην σου δέομαι.

Εἰς τὸν στίχον. τὸ Ἰδιόμελον τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν.
Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.
Τό, Θεοτόκε Παρθένε, καὶ τὰ λοιπὰ ὡς σύνηθες, καὶ Ἀπόλυσις.
Εἰς δὲ τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. τὰ Καθίσματα κατὰ τὴν τάξιν, καὶ οἱ Κανόνες τῶν Ἁγίων, καὶ τοῦ Τριῳδίου κατὰ τὴν τάξιν.
Ὁ Κανὼν τῶν Ἁγίων, Ποίημα Ἰωσήφ.
Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

„ Τριστάτας κραταιούς, ὁ τεχθεὶς ἐκ Παρθένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς τὸ τριμερὲς καταπόντισον δέομαι, ὅπως σοι ὡς ἐν τυμπάνῳ τῇ νεκρώσει τοῦ σώματος, ἐπινίκιον ᾄσω μελῴδημα.

Μαρτύρων ἱερῶν, ἱερῶς ἀθλησάντων, ἱερὰ καὶ θαυμαστή, ἐπέστη Ἑορτή φωταυγία τοῦ Πνεύματος, ἅπαντας φωταγωγοῦσα· συνελθόντες φιλέορτοι, κατὰ χρέος αὐτοὺς μακαρίσωμεν.

Ὡς Ἥλιος φαιδρός, ἀρετῶν δαδουχίαις, ἀνατέταλκας ἡμῖν Κοδράτε ἀθλητά, φεγγοβόλοις σου λάμψεσι, σκότος τῆς πολυθεΐας ἐκδιώκων μακάριε, καὶ φωτίζων πιστῶν τὰ συστήματα.

Τὴν πέτραν τῆς ζωῆς, Ἰησοῦν τὸν Σωτῆρα, καταγγέλλοντες Θεὸν ἠθλήσατε στερρῶς, καὶ πηγὴν ἁγιάσματος, πέ-
πέτραν

Digitized by Google

τραν ὑποδεξαμένην τῶν αἱμάτων τὰ ῥάμματα, φωταυγεῖς ἀπειργάσασθε Μάρτυρες.

Θεοτοκίον.

Λύσας ἐκ παθῶν λογισμῶν τρικυμίας, ἐκ βελῶν τοῦ πονηροῦ, ἐκ πάσης προσβολῆς ἁμαρτίας διάσωσον, ἄχραντε Θεοκυῆτορ, τὰς ψυχὰς τῶν ὑμνούντων σου, τὸν ἀνέκφραστον τόκον Παμάμωμε.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

„Ὅτι στεῖρα ἔτεκεν ἡ ἐξ Ἐθνῶν Ἐκ„κλησία, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠ„σθένησε συναγωγὴ, τῷ θαυμαστῷ Θεῷ „ἡμῶν βοήσωμεν. Ἅγιος εἶ Κύριε.

Οἱ στεῤῥοὶ ἀδάμαντες τυμπανιζόμενοι ξίφει, καὶ ἀλγεινῶν ἰδέαις, προσομιλοῦντες καρτερῶς, τῷ θαυμαστῷ Θεῷ ἡμῶν ἐκραύγαζον, Ἅγιος εἶ Κύριε.

Ἡ σοφία Κοδρᾶτος τῇ θεοσδότῳ δεικνύει, Ἑλληνικῆς σοφίας ἐρεσχελίας ἐναθλῶν, ἐν τοῖς οἰκείοις αἵμασιν, ἐν Πνεύματι θείῳ καλλωπιζόμενος.

Σὺν Κοδράτῳ Ἄνεκτον, καὶ σὺν τῷ Παύλῳ Κρήσκεντα, Κυπριανὸν τὸν θεῖον, καὶ Διονύσιον ὁμοῦ. εὐσεβοφρόνως μέλψωμεν, τοῖς ᾄσμασι πίστει ἐναθλήσαντας. Θτ.

Νοῦς οὐδὲ οὐράνιος τὴν ὑπὲρ νοῦν σου λοχείαν, διερμηνεῦσαι Κόρη δύναται. Νοῦ γὰρ τοῦ πρώτου ἐν γαστρὶ, Λόγον Ἁγνὴ συνέλαβες, τὸν πάντα λόγῳ συστησάμενον,

κα. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τῇ καρτερίᾳ τῶν δεινῶν θανατώσας, τὸν ὑπερήφανον ἐχθρὸν Ἀθλοφόρε, τὸν διὰ ξίφους θάνατον ὑπέμεινας, ἅμα τοῖς Συνάθλοις σου, τοῖς πανσόφοις Κοδρᾶτε· ὅθεν ἑορτάζομεν, τὴν σεπτὴν ὑμῶν μνήμην, ἀναβοῶντες μνήσθητε ἡμῶν, πρὸς τὸν Δεσπότην ἅγιοι Μάρτυρες.

Θεοτοκίον. Ὅμοιον.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους, οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ᾿ ἐσχάτων σε σαρκὶ τετοκυῖα, ἐπὶ Σταυροῦ κρεμάμενον ὁρῶσά σε Χριστέ· οἴμοι ποθεινότατε Ἰησοῦ ἀνεβόα, πῶς ὁ δοξαζόμενος, ὡς Θεὸς ὑπ᾿ Ἀγγέλων, ὑπὸ ἀνόμων νῦν βροτῶν Υἱὲ, θέλων σταυροῦσαι, ὑμνῶ σε μακρόθυμε.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Τῆς σοφίας σου τῷ λόγῳ, τοὺς ἀσόφους κατήχησας, καὶ τῇ παραινέσει, τῶν θεοπειθῶν διδαγμάτων σου, Μάρτυς Κοδρᾶτε ζωγρήσας θεῖον Ἄνεκτον, τῷ Δεσπότῃ σου, καρτερικὸν φέρεις Μάρτυρα.

Ἐκ σπαργάνων ᾠκειώθης, τῷ τὰ πάντα ποιήσαντι, ἐκ παιδὸς τελείου, φρόνημα ἀνδρὸς ἐπιλέλεξαι, καὶ τὴν σοφίαν ποθήσας ὅλως γέγονας, καθαρώτατον, Μάρτυς Χριστοῦ ἐνδιαίτημα.

Ἡ ἑξάφωτος λυχνία, τῶν Μαρτύρων σου Κύριε, μυστικῷ ἐλαίῳ, ἐπαρδευομένη ἐμείωσε, πολυθείας τὴν νύκτα καὶ κατηύγασε, τοὺς κραυγάζοντας, δόξα Χριστὲ τῇ δυνάμει σου.

Θεοτοκίον.

Ἡ ἁγία Θεοτόκος, ἣν οἰκῆσαι ηὐδόκησεν, ὡς ἐν ᾅδῃ οἶκον, Λόγος τοῦ Πατρὸς ὁμοούσιος, οὐ κατεφλέχθη τὴν μήτραν οὐκ ὠδύνησε· καὶ γὰρ τέτοκεν, Ἐμμανουὴλ τὸν Θεάνθρωπον.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

„Τὸν φωτισμόν σου Κύριε κατάπεμ„ψον ἡμῖν, καὶ τῆς ἀχλύος ἡμᾶς „τῶν πταισμάτων λῦσον ἀγαθὲ, τὴν „σὴν εἰρήνην δωρούμενος.

Τὸν φωτισμὸν τῆς γνώσεως, ἀγνοίας τὴν ἀχλὺν, ἀποδιώκων Κυρίῳ προσάγεις, δῆμον ἀθλητῶν σοφὲ Κοδρᾶτε, σὺν αὐτοῖς στεφανούμενος.

Ἀσκητικῶς τὸ πρότερον νικήσας τῶν παθῶν, ἐπαναστάσεις τὸ δεύτερον, εἷλες κράτος δυσσεβῶν, Κοδρᾶτε Μάρτυς, ἐναθλήσας στεῤῥότατα.

Ῥαινομένων ἀνικμος ἡ πέτρα προχοαῖς, σεπτῶν αἱμάτων Μάρτυς Κοδρᾶτε,

Digitized by Google

δράτε, καὶ ῥεῖθρον διαυγὲς, Θεϊκαῖς ἐπιπνεύσεσι.

Θεοτοκίον.

Ὁ πλαστουργήσας ἄχραντε τὴν Εὔαν, ἐκ πλευρᾶς, σοῦ ἐκ νηδύος Ἀμνὴ πλαστουργεῖται, σῶσαι τὸν Ἀδὰμ δι' εὐσπλαγχνίαν, βουληθεὶς ὡς φιλάνθρωπος.

Ὠδὴ ϛʹ. Ὁ Εἱρμός.

„Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν „τριήμερον, ὁ Προφήτης, Ἰωνᾶς ἐν „τῷ κήτει δεόμενος· ἐκ φθορᾶς με ῥῦ„σαι, Ἰησοῦ Βασιλεῦ τῶν δυνάμεων.

Ἰσάριθμος, Ἀθλοφόρων χορὸς ἡμῖν ἔλαμψεν, ὡς ἀστέρων, Ἐκκλησίας σεπτῷ στερεώματι, τοὺς πιστοὺς φωτίζων, καὶ τῆς πλάνης σκεδάζων σκοτόμαιναν.

Τὸ πέλαγος, τῶν βασάνων διήλθετε Μάρτυρες, ἀκυμάντως, καὶ τῆς ἄνω γαλήνης ἐτύχετε, τῶν πιστῶν λιμένες, γεγονότες καὶ Πρέσβεις θερμότατοι.

Αἰνέσωμεν, σὺν Ἀνέκτῳ Κοδρᾶτον τὸν ἔνδοξον, καὶ σὺν Παύλῳ, Κυπριανὸν Διονύσιον Κρίσκεντα, τῆς Χριστοῦ ἀμπέλου, τὰ καλὰ καὶ κατάκαρπα κλήματα.

Θεοτοκίον.

Οὐρανώσας, γεωθεῖσαν τὴν φύσιν Παναμώμε, τῶν ἀνθρώπων, καὶ φθαρεῖσαν αὐτὴν ἐθεούργησας· διὰ τοῦτο πάντες, ἀσιγήτοις φωναῖς σε δοξάζομεν.

Ὁ Εἱρμός. Ἐβόησε, προτυπῶν.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Ιʹ. Μνήμη τοῦ Ἁγίου Μάρτυρος Κοδράτου καὶ τῶν σὺν αὐτῷ, Κυπριανοῦ, Ἀνέκτου, καὶ Κρίσκεντος.

Στίχ. Τῶν δυσσεβῶν θρησκείαν ὕβρεσι πλύνας,
Τμηθεὶς Κοδρᾶτε σῶν ἀφ' αἱμάτων πλήρη.
Ἀμφὶ δεκάτῃ Κοδρᾶτον ξίφος ἐγκατέπεφνε.

Στίχος. Γνωστοῖς Ἄνεκτον σὺν δυσὶ κτείνει ξίφος.
Οἷς οὐκ ἀνεκτὸν μὴ θανεῖν Θεοῦ χάριν.
Ὁρῶν καταθνήσκοντα Κρίσκεντα ξίφει,
Σπεύδει σὺν αὐτῷ Κυπριανὸς τεθνάναι.

Οὗτοι ὑπῆρχον ἐκ Κορίνθου, κατὰ τοὺς καιροὺς Δεκίου καὶ Οὐαλεριανοῦ, Ἰάσωνος τῆς Ἑλλάδος ἡγεμονεύοντος· ὁ δὲ Ἅγιος Κοδρᾶτος, κομιδῇ νήπιος καταλειφθεὶς, τῆς Μητρὸς αὐτοῦ τελευτησάσης, παραδόξως ἐτρέφετο, νέφους ἐπ' αὐτὸν ἐρχομένου, καὶ χορηγοῦντος τὴν τροφήν. Ἤδη δὲ καὶ ἐν νεανίσκοις τελῶν, συνήθεις αὐτῷ οἱ εἰρημένοι γεγόνασιν Ἅγιοι, ἄλλος ἀλλαχόθεν ὁρμώμενος· μεθ' ὧν συνελήφθη διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, καὶ τυφθεὶς σφοδρῶς, εἶτα σὺν αὐτοῖς ἀπετμήθη τὴν κεφαλήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ὁσίας Μητρὸς ἡμῶν Ἀναστασίας τῆς Πατρικίας.

Ἐν ταῖς ἡμέραις Ἰουστινιανοῦ τοῦ Βασιλέως, γέγονέ τις γυνὴ ἐν τῷ Βυζαντίῳ, τοὔνομα Ἀναστασία, εὐλαβουμένη τὸν Θεὸν, ἐξ εὐγενῶν καὶ πλουσίων γονέων· καὶ αὕτη Πατρικία οὖσα τοῦ Βασιλέως, πρῶτον τὸν τοῦ Θεοῦ φόβον ἐν ἑαυτῇ ἔχουσα, ἐπορεύετο κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ. Εἶχε δὲ φυσικὴν ἀγάθειαν, καὶ πολλὴν πραότητα, ὥστε πάντας ἐπιτέρπεσθαι εἰς τὰς ἀρετὰς αὐτῆς, ἀλλὰ μὴν καὶ αὐτὸν τὸν Βασιλέα. Καὶ ἐπειδὴ ἀεὶ ὁ τῶν ζιζανίων σπορεὺς τὸ καλὸν εἴωθε φθονεῖν καὶ διαβάλλειν, καὶ μὴ συγχωρεῖν ἀναπαύεσθαι, ἐφθονήθη καὶ αὕτη παρὰ τῆς Βασιλίσσης· καὶ γνοῦσα τὸν φθόνον παρά τινος ἢ ὄντως πεπυκνωμένη κατὰ Θεὸν, λέγει πρὸς ἑαυτήν. Ἀναστασία, εὐκαίρου ὑποθέσεως γενομένης, σώζουσα σῶσον τὴν σεαυτῆς ψυχὴν, καὶ τὴν Βασίλισσαν ἀπαλλάττῃ τοῦ ἀλόγου φθόνου, καὶ σεαυτῇ δὲ προξενήσεις τὴν Οὐράνιον Βασιλείαν. Καὶ ὡς ταῦτα πρὸς ἑαυτὴν ἐβουλεύσατο, μισθωσαμένη πλοῖον, συνάξασα ἐκ τοῦ πλούτου αὐτῆς μέρος τι, τὰ λοιπὰ πάντα καταλιποῦσα, τὴν Ἀλεξάνδρειαν κατέλαβε· καὶ κτίσασα ἐν τῷ πέμπτῳ Μοναστήριον, ἐξύφαινε θείους μίτους ἐκεῖσε καθεζομένη, καὶ τῷ Θεῷ ἀρέσαι σπουδάζουσα, ἐν ᾧ καὶ μέχρι τῆς σήμερον σώζεται ἡ ταύτης Μονὴ, τὸ Πατρικίας ὄνομα περιφέρουσα. Μετὰ δὲ χρόνον τινὰ, παρελθούσης τῆς Βασιλίσσης τὸν τῇδε βίον, ἀναμνησθεὶς ὁ Βασιλεὺς τῆς Πα-

τρι-

Digitized by Google

τριχίας, διέπεμψε πανταχοῦ, μετὰ πολλῆς τῆς ἐπιτάσεως ἀναζητοῦν αὐτήν. Τοῦτο πάλιν γνοῦσα ἡ Ἀμμὰς τοῦ Θεοῦ, νυκτὸς ἐάσασα τὸ ἑαυτῆς Μοναστήριον, ἀπῆλθεν ἐν σκήτῃ πρὸς τὸν Ἀββᾶ Δανιὴλ, καὶ προσαναθεῖσα τῷ μακαριωτάτῳ γέροντι τὰ κατ' αὐτὴν, ἐνέδυσεν αὐτὴν ἀνδρῴαν στολὴν, καὶ ἐκάλεσεν αὐτὴν Ἀναστάσιον εὐνοῦχον, καὶ εἰσαγαγὼν αὐτὴν ἐν σπηλαίῳ, μήκοθεν ὄντι τῆς λαύρας αὐτοῦ, καθεῖρξεν αὐτὴν, δοὺς αὐτῇ καὶ κανόνα, καὶ προσέταξε μηδέ ποτε ἐξέρχεσθαι τοῦ κελλίου, μήτε τινὰ ἔρχεσθαι πρὸς αὐτὴν τὸ παράπαν, τυπώσας ἕνα τῶν Ἀδελφῶν, αὐτῇ κομίζειν ἅπαξ τῆς ἑβδομάδος κεράμιον ὕδατος, καὶ τιθέναι ἔξω τοῦ σπηλαίου, καὶ λαμβάνειν εὐχὴν καὶ ὑπαναχωρεῖν. Ἐκεῖσε οὖν ἡ ἀδαμάντινος αὕτη καὶ ἀνδρεία ψυχὴ, ἀπροΐτος ἐκτελέσασα χρόνους ὀκτὼ πρὸς τοῖς εἴκοσιν, ἐφύλαττε τὸν κανόνα τοῦ γέροντος ἀπαράτρεπτον. Ποῖος οὖν νοῦς, ἢ γλῶσσα, τῶν εἰκοσιοκτὼ χρόνων τὰς κατὰ Θεὸν ἀρετὰς αὐτῆς ἐννοήσει, ἢ διηγήσασθαι, ἢ γραφῇ παραδοῦναι δυνήσεται, ἃς αὐτὴ μόνη καθ' ἑαυτὴν τῷ Θεῷ καθ' ἑκάστην προσήγαγε; τὸ δάκρυον, τοὺς στεναγμοὺς, τοὺς ὀδυρμοὺς, τὴν ἀγρυπνίαν, τὴν εὐχὴν, τὴν ἀνάγνωσιν, τὴν στάσιν, τὴν γονυκλισίαν, τὴν νηστείαν; πρὸ πάντων δὲ καὶ μετὰ πάντων, τὰς τῶν Δαιμόνων συμπλοκὰς καὶ ἐπαναστάσεις, τὰς τῆς σαρκὸς ἡδονὰς, καὶ πονηρὰς ἐνθυμήσεις, καὶ τὰ τούτων ἀντίρροπα; Τὸ δὲ εἶναι αὐτὴν παντάπασιν ἀπροΐτον, πάσας τὰς ἡμέρας τῶν τοσούτων ἐνιαυτῶν, γυναῖκα συγκλητικὴν, καὶ εἰς τὰ Βασίλεια ἀεὶ ἐκ συνηθείας μετὰ πλήθους ἀνδρῶν τε καὶ γυναικῶν ἀναστρεφομένην, ἐκπλήττει πάντα νοῦν καὶ διάνοιαν. ἐν τούτοις πᾶσι καλῶς ἀγωνισαμένη, γέγονε σκεῦος τοῦ Ἁγίου Πνεύματος. Προγνοῦσα δὲ τὴν ἑαυτῆς πρὸς Κύριον μετάθεσιν, ἔγραψεν ὄστρακον πρὸς τὸν γέροντα, λέγουσα· Πάτερ τίμιε, λάβε μετὰ σοῦ ἐν σπουδῇ τὸν τὸ ὕδωρ κομίζοντά μοι Μαθητὴν, καὶ τὰ ἐπιτήδεια ἐργαλεῖα πρὸς ταφὴν, καὶ ἐλθὲ ἵνα κηδεύσῃς Ἀναστάσιον τὸν εὐνοῦχον. Ταῦτα ὡς ἔγραψεν, ἐναπέθετο ἔξω τῆς θύρας τοῦ σπηλαίου. Ὁ δὲ γέρων διὰ νυκτερινῆς ὀπτασίας μυηθεὶς ταῦτα, φησὶ πρὸς τὸν Μαθητήν· σπεῦσον, Ἀδελφὲ, πρὸς τὸ σπήλαιον, ἐν ᾧ ἐστιν ὁ Ἀδελφὸς Ἀναστάσιος ὁ εὐνοῦχος, καὶ προσχὼν ἔξω τῆς θύρας τοῦ σπηλαίου, εὑρήσεις ὄστρακον γεγραμμένον, τοῦτο λαβὼν, σπουδῇ πολλῇ ὑπόστρεψον πρὸς ἡμᾶς. Τοῦ δὲ ἀπελθόντος, καὶ ἀνενεγκόντος αὐτὸ, ἀναγνοὺς ὁ γέρων ἐδάκρυσε. καὶ λαβὼν ἐν σπουδῇ τὸν ἀδελφὸν, καὶ τὰ πρὸς ταφὴν ἐπιτήδεια ἐπορεύθη, καὶ ἀνοίξαντες τὸ σπήλαιον, εὗρον τὸν Εὐνοῦχον πυρετῷ συνεχόμενον, καὶ προσπεσὼν ἐπὶ τὸ στῆθος αὐτοῦ ὁ γέρων ἔκλαυσε λέγων· μακάριος εἶ, Ἀδελφὲ Ἀναστάσιε, ὅτι τῆς ὥρας ταύτης ἀεὶ φροντίζων, κατεφρόνησας Βασιλείας ἐπιγείου· εὖξαι οὖν ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον. Ἡ δὲ, ἐγὼ μᾶλλον, Πάτερ, φησὶ, χρείαν ἔχω πολλῶν εὐχῶν ἐν τῇ ὥρᾳ ταύτῃ. καὶ λέγει ὁ γέρων· εἰ προέλαβον ἐγὼ, εἶχον ἂν παρακαλέσαι τὸν Θεόν. καὶ ἀνακαθίσασα ἐπὶ τοῦ ψιαθίου, τὴν κεφαλὴν τοῦ γέροντος κατεφίλησε προσδεξαμένη. Καὶ λαβὼν ὁ γέρων τὸν Μαθητὴν αὐτοῦ, ἔρριψε παρὰ τοὺς πόδας αὐτῆς λέγων· εὐλόγησον τὸν Μαθητήν μου τὸ τέκνον σου. Ἡ δὲ, εἶπεν· ὁ Θεὸς τῶν Πατέρων μου, ὁ παρεστηκώς μοι ἐν τῇ ὥρᾳ ταύτῃ τοῦ χωρίσαι με ἐκ τοῦ σώματος τούτου, ὁ εἰδὼς τὰ ἐν τῷ σπηλαίῳ τούτῳ διαβήματά μου, διὰ τὸ ὄνομά σου, καὶ τὴν ἐμὴν ἀσθένειαν καὶ ταλαιπωρίαν, ἀνάπαυσον τὸ πνεῦμα τῶν Πατέρων ἐπ' αὐτοῦ, ὡς ἀνεπαύσατο τὸ Πνεῦμα Ἠλιοῦ ἐπὶ τὸν Ἐλισσαιέ. Καὶ ἐπιστραφεὶς ὁ Εὐνοῦχος πρὸς τὸν γέροντα λέγει· διὰ τὸν Κύριον, Πάτερ, μὴ ἀποδύσητε ἃ περιβέβλημαι, καὶ μηδεὶς γνῷ τὰ περὶ ἐμοῦ. καὶ μεταλαβοῦσα τῶν Θείων Μυστηρίων, λέγει· δότε μοι τὴν ἐν Χριστῷ σφραγῖδα, καὶ εὔξασθε ὑπὲρ ἐμοῦ. Καὶ ἀναβλέψασα κατὰ Ἀνατολὰς, ἔλαμψεν, ὥσπερ πυρσὸν δεξαμένη ἐν τῷ σπηλαίῳ πρὸ προσώπου αὐ-



Digitized by Google

τῆς· καὶ ποιήσασα τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ, εἶπε· Κύριε, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· καὶ τοῦτο εἰποῦσα, παρέδωκε τὸ πνεῦμα. Καὶ ὀρύγματος γενομένου ἔμπροσθεν τοῦ σπηλαίου, ἀποδυσάμενος ὁ γέρων ὃ ἐφόρει ἱμάτιον, λέγει τῷ Μαθητῇ· ἔνδυσον τὸν Ἀδελφὸν, τέκνον, ἄνωθεν ὧν περιβέβληται. ἐνδύοντος δὲ τοῦ Ἀδελφοῦ τὴν μακαρίαν, ἐφάνησαν μὲν τούτῳ οἱ ταύτης μαστοὶ, ὡς φύλλα κατεξηραμμένα, οὐδὲν δὲ περὶ τούτου τῷ γέροντι ἐσάφησε. Μετὰ δὲ τὸ ἀπαρτισθῆναι τὴν κηδείαν, κατερχομένων αὐτῶν λέγει ὁ Μαθητής· ἔγνως, Πάτερ, ὅτι ὁ Εὐνοῦχος γυνὴ ἦν; ὁ δὲ γέρων ἀπεκρίνατο· οἶδα κἀγὼ, τέκνον, ἀλλὰ διὰ τὸ μὴ ἐξηγηθῆναι πανταχοῦ, τούτου χάριν ἀνδρῴαν στολὴν ἐνεδυσάμην αὐτὴν, καὶ Ἀναστάσιον Εὐνοῦχον ὠνόμασα αὐτὴν, διὰ τὸ ἀνύποπτον. πολλὴ γὰρ ζήτησις ἐγένετο παρὰ τοῦ Βασιλέως περὶ ταύτης κατὰ πᾶσαν Χώραν, καὶ μάλιστα ἐν τοῖς μέρεσι τούτοις. ἀλλ᾽ ἰδοὺ χάριτι Θεοῦ ἐφυλάχθη παρ᾽ ἡμῶν. καὶ τότε διηγήσατο ὁ γέρων τῷ Μαθητῇ λεπτομερῶς τὸν βίον αὐτῆς.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μαρκιανὸς, ξύλοις θλασθεὶς, τελειοῦται.

Στίχ. Ἐθαύμασαν βροτοί σε θλασθέντα ξύλοις,
Ἀμὴν λέγω σοι Μαρκιανὲ καὶ νόες.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἐν τῷ Κυρίῳ Πάσχα μνήμη τῆς Ἀκαθίστου, ἥτις εὐχαριστήριος ἐστὶν Ἑορτὴ τῆς Ὑπεραγίας Θεοτόκου, λυτρωσάσης τὴν Πόλιν ἐκ τῶν Ἐθνῶν.

Στ. Ὕμνοις ἀΰπνοις εὐχαρίστως ἡ Πόλις,
Τὴν ἐν μάχαις ἄϋπνον ὑμνεῖ προστάτιν.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

„Ὁ διασώσας ἐν πυρὶ, τοὺς Ἀβραμιαίους σου παῖδας, καὶ τοὺς Χαλδαίους ἀναιρῶν, οὓς ἡ δίκη δικαίως ἐνήδρευσεν, ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ἐν τῷ πυρὶ τῶν αἰκισμῶν, ἄνωθεν δεχόμενοι δρόσον, ὑπομονῆς σὺν τοῖς παισὶν, οἱ γενναῖοι ἐκραύγαζον λέγοντες. ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ἡ ἐπομβρία τοῦ σεπτοῦ, αἵματος ὑμῶν Ἀθλοφόροι, πέτρα ἡ ἄνικμος τὸ πρὶν, ἀνεστόμωσε ῥεῖθρα προχέουσα, ἰαμάτων τοῖς μέλπουσιν. ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ὡς μυροθήκη νοητὴ, μύρα ἰαμάτων Κοδράτε, ἡ τῶν λειψάνων σου σορὸς ἀναβλύζει παθῶν ἀπελαύνουσα, τὸ δυσῶδες καὶ φλέγουσα, τῶν Δαιμόνων παρατάξεις θείᾳ προνοίᾳ.

Θεοτοκίον.

Εὐλογημένος ὁ καρπὸς, τῆς εὐλογημένης γαστρός σου, ὃν εὐλογοῦσιν Οὐρανῶν αἱ δυνάμεις, βροτῶν τὰ συστήματα, ὁ ἡμᾶς λυτρωσάμενος, τῆς κατάρας τῆς ἀρχαίας εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν. πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Λαμπρυνθεὶς ταῖς τῶν ἄθλων λαμπρότησι, στεφηφόρος Κυρίῳ παρέστασαι, σὺν τοῖς συνάθλοις ἔνδοξε, ἀναμέλπων Κοδράτε, πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ὁρατῶν τῷ φωτὶ καλλυνόμενος, ἐπὶ τέλει Μαρτύρων φαιδρότητα, κατεκληρώσω πάνσοφε, ἀναμέλπων Κοδράτε. πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Προτειχίσματα Κόρινθος κέκτηται, τῶν ἁγίων τὰ τίμια Λείψανα, καὶ ἰατρεῖον ἄμισθον, τὸν Ναὸν ἔνθα πίστει, πᾶς ὁ προστρέχων, ἀλγεινῶν καὶ παθῶν ἀπαλλάττεται.

Θεοτοκίον.

Λυτρωθέντες ἀρᾶς τῆς Προμήτορος, διὰ σοῦ τῆς Ἁγνῆς Θεομήτορος, εὐλογημένη Δέσποινα, εὐλογοῦμέν σε πίστει, καὶ μελῳδοῦμεν, Παναγία Παρθένε Θεόνυμφε.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„Εὐα

Digitized by Google

„Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι, „τὴν κατάραν εἰσῳκίσατο. σὺ δὲ Παρ„θένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλα„στήματι, τῷ Κόσμῳ τὴν εὐλογίαν ἐξήν„θησας. ὅθεν σε πάντες μεγαλύνομεν.

Ἰχῶρες ὑμῶν μαρτυρικοὶ ἐκπέμπουσιν, εὐωδίαν θείας χάριτος, αἵματα τούτων ἰαμάτων, προχέουσι κρουνοὺς θείᾳ χάριτι, καὶ πάντων τὰς καρδίας φωτίζουσι, τοὺς εὐσεβῶς αὐτοὺς γεραίροντας.

Ὡραίων στιγμάτων καλλοναῖς γενόμενος, τοῖς Ἀγγέλοις ἐξωμοίωσαι. αἵματι δὲ τῷ ἐκχυθέντι, Κοδράτε ἐπιβὰς ὡς ἐν ἅρματι, ἀνέπτης πρὸς τὰ ἄνω Βασίλεια, γέρα τῶν πόνων κομισάμενος.

Ἐσταλάζων τὸν θεῖον γλυκασμὸν ἐκ στόματος, ἀθλοφόρων δῆμον ἔπεισας, Μάρτυς Κοδράτε συνάθλων σου, τὸν Ἀνέκτον καὶ Παῦλον καὶ Κρήσκεντα, Κυπριανόν τε καὶ σοφὸν Διονύσιον, οἷς συγχορεύεις ἀξιάγαστε.

Ἡμέραν ἑόρτιον ὑμῶν τὴν ἄθλησιν, Ἀθλοφόροι πάντες ἄγομεν. ταύτῃ γὰρ στέφος ἀφθαρσίας, ἀράμενοι Υἱοὶ χρηματίζετε, φωτός τε καὶ ἡμέρας χορεύοντες, περὶ τὸν θρόνον τοῦ Παντάνακτος. Θεοτ.

Φανεῖσα τοῦ πάντων Ποιητοῦ λοχεύτρια, ὑπὲρ πάντα νῦν παράμωμε, τῶν Οὐρανῶν ὑψηλοτέρα, ἐδείχθης καὶ τῶν ὅλων δεσπόζουσα, Παρθένε Θεοτόκε πανύμνητε· ὅθεν σε πάντες μεγαλύνομεν.

Τὸ Φωταγωγικ. τὸ Ἰδιόμ. τῆς ἡμέρας σὺν τῷ Μαρτυρ. καὶ Θεοτοκίον, ἢ Σταυροθ. Αἱ μετάνοιαι, ἡ ά. Ὥρα, ὡς σύνηθες κατὰ τὴν τάξιν, καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΙΑ'.

## Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Σωφρονίου, Πατριάρχου Ἱεροσολύμων.

Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ'. καὶ ψάλλομεν στιχ. προσόμοια, τοῦ Τριῳδίου, γ'. καὶ τοῦ Ἁγίου, γ'. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Σωφροσύνης ἐπώνυμος, ἐξ ἐνθέου προγνώσεως, προσκληθεὶς Σωφρόνιε σώφρων γέγονας, ἐπὶ τῶν ἔργων καὶ δίκαιος, ἀνδρεῖος καὶ φρόνιμος, ἀρεταῖς ταῖς γενικαῖς, γενναίως στεφανούμενος, καὶ διενείμας, κατ' ἀξίαν ἑκάστῳ τῇ ψυχῇ τε, καὶ τῷ σώματι καθάπερ, διαιτητὴς ἀκριβέστατος.

Ὅμοιον.

Θεολόγου ἐκ στόματος, θείους λόγους ἐβρόντησας, διδαχαῖς Σωφρόνιε παμμακάριστε, θεολογήσας τρανώτατα, Πατέρα τὸν ἄναρχον, καὶ συνάναρχον Υἱόν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, συναΐδιον, ἐν Μονάδι Τριάδα καὶ Μονάδα, ἐν Τριάδι Θεὸν ἕνα, τῇ οὐσιώδει ταυτότητι. Ὅμοιον.

Τῇ σαρκὶ καθ' ὑπόστασιν, ἑνωθέντα τὸν ἄσαρκον, καὶ Πατρὶ συνάναρχον Λόγον πάνσοφε, δίχα τροπῆς καὶ συγχύσεως, σοφῶς ἐδογμάτισας, ἐνεργοῦντα δὲ διττῶς, καταλλήλως ταῖς φύσεσιν, ἐξ ὧν σύγκειται, καὶ ἐν αἷς θεωρεῖται εἷς ὑπάρχων, ἀδιαίρετος τῷ ὄντι, τοῦτο κἀκεῖνο νοούμενος.

Δόξα, καὶ νῦν. Θεοτ. Ὅμοιον.

Κατακρίσεως λύτρωσαι, Πανάγια Θεόνυμφε, καὶ δεινῶν πταισμάτων τὴν ταπεινήν μου ψυχήν, καὶ τοῦ θανάτου ἀπάλλαξον, καὶ δώρησαι πάντοτε, δικαιώσεως τυχεῖν, ἐν ἡμέρᾳ ἐτάσεως· ἧς ἐπέτυχον, τῶν ἁγίων οἱ δῆμοι, μετανοίᾳ καθαρθέντα με. πρὸ τέλους, καὶ τῶν δακρύων ταῖς χύσεσιν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν Σταυρῷ ὡς ἑώρακε, καθηλούμενον Κύριε, ἡ ἀμνὰς καὶ Μήτηρ σου ἐξεπλήττετο, καὶ τί τὸ ὅραμα ἔκραζεν, Υἱὲ ποθεινότατε; ταῦτά σοι ὁ ἀπειθής, δῆμος ἀνταποδίδωσιν, ὁ παράνομος, ὁ πολλῶν σου θαυμάτων ἀπολαύσας; ἀλλὰ δόξα τῇ ἀρρήτῳ, συγκαταβάσει σου Δέσποτα.

Τό, Θεοτόκε Παρθένε, καὶ τὰ ἕτερα. καὶ Ἀπόλ.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν, οἱ Κανόνες τοῦ Ἁγίου, καὶ τοῦ Τριῳδίου.

Ὁ Κανὼν τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχίς.

Σωφροσύνης μέλπω τὸν ἐπώνυμον αἶσμα ῥέζων.

Ὠδὴ ά. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.



Digitized by Google

Σωφρόνως διέπλευσας, τῆς σωφροσύνης τὸ πέλαγος, ταῖς αὔραις τοῦ Πνεύματος, οἰακιζόμενος, καὶ συνήθροισας, πολλὴν περιουσίαν, σοφίας χαρίσματι, Πάτερ Σωφρόνιε.

Ὡς Ἄγγελος γέγονας, τῆς τοῦ Χριστοῦ ἀναστάσεως, καὶ πρόεδρος ἔνθεος, τοῦ θείου Πνεύματος, τοῦ πλουτίσαντος, τὴν γῆν ἀθανασίαν, Χριστοῦ τοῦ ἐγείραντος, πτῶσιν τοῦ γένους ἡμῶν.

Φαιδρότητι λόγων σου, καὶ διανοίας ὀξύτητι, τὸν Κόσμον ἐφαίδρυνας, θεολογήσας τρανῶς, τρισυπόστατον, θεότητος οὐσίαν, μονάδα τρισάριθμον, Πάτερ Σωφρόνιε.

Ῥημάτων ὁ φθόγγος σου, καὶ τῶν δογμάτων ἡ εὔσημος, κιθάρα διέδραμε, τῆς γῆς τὰ πέρατα, τὸ μυστήριον, τὸ τῆς οἰκονομίας, τοῦ λόγου διδάσκουσα, Πάτερ θεόληπτε. Θεοτοκίον.

Ὁ ὢν φύσει ἄκτιστος, καὶ τῷ Πατρὶ συναΐδιος, καὶ χρόνων ὑπέρτερος, καὶ προαιώνιος, ἐκ σοῦ Δέσποινα, κτιστὸς καὶ ὑπὸ χρόνον, ὡς ἄνθρωπος γίνεται, σώζων τὸν ἄνθρωπον. Ὠδὴ γ'. Ὁ Εἱρμός.

„ Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλούτῳ „ καυχώμεθα, ἀλλ' ἐν σοὶ τῇ τοῦ Πα„τρὸς, ἐνυποστάτῳ σοφίᾳ Θεοῦ. οὐ γάρ ἐστιν „ ἅγιος πλὴν σου φιλάνθρωπε.

Στηριζομένη, βακτηρίᾳ τῶν λόγων σου Ὅσιε, τὰς ὁρμὰς τῶν δυσσεβῶν, καὶ θεομάχων αἱρέσεων, ἐλαύνει διώκουσα, ἡ Ἐκκλησία Χριστοῦ.

Ὑπερμαχήσας, τοῦ σεπτοῦ θεοφόρε κηρύγματος, ἀνεδείχθης νικητὴς, τῇ συμμαχίᾳ τοῦ Πνεύματος, σοφῶς δυναμούμενος, Πάτερ Σωφρόνιε.

Νεκρώσας πᾶσαν, φθειρομένην σαφῶς ἡδυπάθειαν, τὴν ἀκήρατον ψυχὴν, δι' εὐσεβείας διέσωσας, καὶ ταύτην ἀνέδειξας, ἔνθεον ὄργανον.

Ἡ θεολόγος, καὶ τερπνὴ καὶ μελίρρυτος γλῶσσά σου, τοὺς τοῦ λόγου ποταμοὺς, ἀναπηγάζει θεόληπτε, τὰ θεῖα διδάγματα, πᾶσι προχέουσα. Θεοτοκίον.

Σὲ τὴν τεκοῦσαν, τὸν Θεὸν Θεοτόκε δοξάζομεν, τῷ γεννήματι τῷ σῷ, προσηγορίαν ἁρμόζοντες, καὶ κλῆσιν κατάλληλον, πάναγνε Δέσποινα.

Κάθισμα. Ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Τοῖς λόγοις ἐκόσμησας, τὴν Ἐκκλησίαν Χριστοῦ, τοῖς ἔργοις ἐτήρησας, τὸ κατ' εἰκόνα Θεοῦ, Σωφρόνιε Ὅσιε. ἔλαμψε γὰρ ἐν Κόσμῳ, ἡ ἐν σοὶ σωφροσύνη, χάριτας διδαγμάτων, ἀπαστράπτουσα πᾶσι, τοῖς πίστει ἑορτάζουσι, Πάτερ τὴν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

Ἐκαίνισας ἄχραντε, τῷ θείῳ τόκῳ σου, φθαρεῖσαν τοῖς πάθεσι, τῶν γηγενῶν τὴν θνητὴν, οὐσίαν καὶ ἤγειρας, πάντας ἐκ τοῦ θανάτου, πρὸς ζωὴν ἀφθαρσίας. ὅθεν σε κατὰ χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ὡς προεφήτευσας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρῷ σε ὑψούμενον, ὡς ἐθεάσατο, ἡ ἄχραντος μήτηρ σου, Λόγε Θεοῦ μητρικῶς, θρηνοῦσα ἐφθέγγετο, τί τὸ καινὸν καὶ ξένον, τοῦτο θαῦμα Υἱέ μου; πῶς ἡ ζωὴ τῶν ὅλων, ὁμιλεῖς τῷ θανάτῳ, ζωῶσαι τοὺς τεθνεῶτας, θέλων ὡς εὔσπλαγχνος.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Μίαν ἄναρχον οὐσίαν, ἐν τρισὶν ὑποστάσεσιν, ἰδικαῖς τελείαις, Πάτερ σὺ σαφῶς ἐδογμάτισας, διαιρουμένην ἀτμήτως ἑνουμένην τε, ἀσυγχύτως, βουλήσει μιᾷ καὶ θεότητι.

Ἔχων σώφρονας τὰς φρένας, καὶ τὸν νοῦν σωφρονέστερον, οὐ φυρμὸν ἐφρόνεις, Πάτερ οὐ τροπὴν οὐδὲ σύγχυσιν, τῶν ἡνωμένων ἀτρέπτως, δύο φύσεων, ἐν ἑνὶ Χριστῷ μονογενεῖ ἀπαστράπτουσαν.

Λαμπρυνόμενος ἐνθέως, φωτισμῷ τῷ τοῦ Πνεύματος, τὴν δεινὴν μανίαν, τὴν τοῦ Νεστορίου διέλυσας, ταυτοβουλίᾳ καὶ γνώμῃ, τοῦ τὴν ἕνωσιν, δογματίσαντος. ἐπὶ Χριστοῦ δύο φύσεων.

Πύρρον φλέξας τὸν ἀντάρτην, καὶ πυρσῷ τῶν δογμάτων σου, ἀθετοῦντα δύο, εἶναι τοῦ Χριστοῦ τὰ θελήματα, ταῖς δια-

φό-

Digitized by Google

φόροις οὐσίαις τὰ κατάλληλα, ἐνεργείαις τε, ἄμφω διπλαῖς Πάτερ Ὅσιε. Θτ.

Ὡραιώθης ὑπὲρ πᾶσαν, τῶν Ἀγγέλων εὐπρέπειαν, ὡς τεκοῦσα τούτων, Κόρη ποιητήν τε καὶ Κύριον, ἐκ σῶν ἀχράντων αἱμάτων, σωματούμενον, τὸν ῥυόμενον, πάντας αὐτὸν τοὺς δοξάζοντας.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

„ Ἀσεβεῖς οὐκ ὄψονται, τὴν δόξαν σου
„ Χριστέ, ἀλλ' ἡμεῖς σε μονογενές,
„ Πατρικῆς ἀπαύγασμα, δόξης Θεότητος,
„ πρὸς σὲ ὀρθρίζοντες, ἀνυμνοῦμέν σε φι-
„ λάνθρωπε.

Τὴν σεπτὴν ἀνάστασιν, καὶ τάφον τῆς ζωῆς, ἀκλινεῖ πόθῳ θεωρῶν, θεωρίαν ὑπέπλησας κρυφιομύστου, καὶ πιστοῖς μετέδωκας, Ἱεράρχα τῆς ἐλλάμψεως.

Ὁλικῶς ἐπόθησας, τὸν μόνον ἀγαθόν, πυρσωθεὶς φέγγει νοητῷ, καὶ πηγὴν ἠγάπησας τῆς ἀφθαρσίας, θεωρίαις πάνσοφε, πρὸς αὐτὴν ἀνατεινόμενος.

Ναὸς ζῶν καὶ ἔμψυχος, ἐγένου τοῦ Θεοῦ, νεκρωθεὶς πᾶσι τοῖς ἐν γῇ, τὴν τοῦ λόγου τράπεζαν ἀνθωκημένην, κεκτημένος Ὅσιε, καὶ λυχνίαν τὴν τῆς πίστεως. Θτ.

Ἐν δυσὶ νοούμενον οὐσίαις τὸν Χριστόν, τὸν Υἱὸν τὸν μονογενῆ, τοῦ Θεοῦ, τὸν ἄναρχον Σάρκα γενόμενον, ὑπὲρ λόγον τέτοκας, Θεομῆτορ ἀπειρόγαμε.

Ὠδὴ ϛ΄. Θύσω σοι, μετὰ φωνῆς.

Πλουσίως, ἐξεχύθη ἡ χάρις τοῦ Πνεύματος, τοῦ πανάγίου θεόφρον, ἐν τοῖς χείλεσί σου. ὅθεν ὁ φθόγγος, τῶν σῶν λόγων, τοῦ ποταμοῦ μιμεῖται τὰ ῥεύματα,

Ὡς φοίνιξ, ἐν τῷ οἴκῳ Κυρίου ἐξηνθήσας, τῇ εὐκαρπίᾳ τοῦ λόγου, καθαρῷ τε βίῳ καταγλυκαίνων, τὰς καρδίας, Ἱεράρχα τῶν πίστει τιμώντων σε.

Νεκροῦται, τῇ ζωτικῇ ῥομφαίᾳ τῆς γλώττης σου, τὸ τῶν αἱρέσεων στῖφος, καὶ θρασεῖα φάλαγξ τῶν θεομάχων, σφαττομένη, θανατοῦται δογμάτων σου ξίφεσιν.

Θεοτοκίον.

Ὑμνοῦμεν, Θεοτόκε τὸν ἄχρονον τόκον σου. δι' οὗ σωζόμεθα πάντες, καὶ θα-

μάτου βρόχων καὶ δεινοτάτης, ἁμαρτίας, καὶ τῶν μυχῶν τοῦ ᾅδου λυτρούμεθα.

Ὁ Εἱρμός. Θύσω σοι, μετὰ φωνῆς.

Τὸ φωταγωγικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΙΑ. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σωφρονίου, Ἀρχιεπισκόπου Ἱεροσολύμων,

Στίχ. Ἐστῶδε τηρεῖν καὶ κεραίαν τοῦ νόμου,
Ὁ Σωφρόνιος οὗ παρ' οὐρανοῖς γέρας.
Ἐνδεκάτῃ σώφρων ἔδυ Σωφρόνιος παρὰ τύμβον.

Οὗτος ὁ μέγιστος τῆς Ἐκκλησίας φωστήρ, χώρας μὲν ἔφυ Φοινίκης Λιβύας Στεφάνου, πόλεως δὲ Δαμασκοῦ, εὐσεβῶν καὶ ὁμοφρόνων γονέων τέκνον. πατρὸς μὲν καλουμένου Πλινθᾶ, μητρὸς δὲ Μυρσοῦ. ἐντεῦθεν εὐφυΐᾳ φύσεως τὴν ἐπιμέλειαν κερασάμενος, ὑπερφυῶς ἐπιστημῶν ἁπασῶν τὸ κράτος ἀνεδήσατο. ἔτι δὲ τὴν Δαμασκὸν οἰκῶν, πᾶσαν ἀρετὴν ἐν ταῖς ἐρήμοις πραττομένην μετήρχετο· ἔπειτα τὴν μάνδραν τοῦ μεγάλου Θεοδοσίου καταλαμβάνει, ἐν ἧ σχολάζων καὶ τῷ Θεῷ ἐν ἡσυχίᾳ συγγινόμενος, τῇ τῶν θείων γραφῶν μελέτῃ τὴν καρδίαν καὶ τὸν νοῦν κατωχύρωσε, πᾶν νόημα αἰχμαλωτίσας εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· ἔπειτα περισσοτέρας γλιχόμενος παιδείας καὶ φιλοσοφίας ἐπὶ τὴν Ἀλεξάνδρου μεγαλόπολιν ἀποπλεῖ, καὶ Ἰωάννῃ ἀξιολόγῳ τινὶ περιτυχὼν ἀνδρὶ πάσης σοφίας καὶ συνέσεως πεπληρωμένῳ, τούτῳ γίνεται σύσκηνος καὶ ὁμορρόφιος, ὁμοδίαιτος καὶ ὁμογνώμων, τὰ παρ' ἐκείνου λαμβάνων, καὶ μεταδιδοὺς τὰ σφέτερα. ἐνθα τοὺς ὀφθαλμοὺς ἐπίχυσιν παθόντας, ὑπὸ τῶν ἁγίων Κύρου καὶ Ἰωάννου θεραπεύεται, καὶ τῆς ἰατρείας ἀπαιτεῖται μισθόν, τὰ καθ' ἑκάστην παρ' αὐτῶν τελούμενα θαύματα γραφῇ παραδοῦναι. Καὶ μέν τοι καὶ παρέδωκεν. ἔπειτα Ἐπίσκοπος Ἱεροσολύμων διὰ τὸ ὑπεραναστηκὸς τοῦ βίου καθίσταται, καὶ τῆς Ἁγίας Πόλεως Ἱερουσαλὴμ ὑπὸ τῶν ἀλιτηρίων Περσῶν ἁλούσης, εἰς Ἀλεξάνδρειαν πρὸς τὸν μέγαν Ἰωάννην τὸν Ἐλεήμονα παραγίνεται, ἡνικαῦτα



Digitized by Google

τὸν Ἀποστολικὸν ἐκεῖνον θρόνον ἰθύνοντα· ὃ πρὸς τὴν μακαρίαν λῆξιν ἀπάραντος, τὸν ἄπειρον αὐτοῦ τῆς Ἐλεημοσύνης θησαυρὸν, καὶ τοῦ βίου τὸ ὑψηλὸν, διὰ τοῦ ἐγκωμιαστικοῦ λόγου ἀνεδίδαξε, πολλὰ καὶ αὐτὸς τὸν μακάριον ἐκεῖνον θρηνήσας. Ἐπεὶ δὲ αὖθις πρὸς τὴν Ἁγίαν Πόλιν ὑπέστρεψεν, οὐκ ἔστιν εἰπεῖν μεθ' ὅσης φροντίδος καὶ πόνου τὴν λαχοῦσαν αὐτῷ Ἐκκλησίαν ἐποίμανεν. οὐδαμῶς γὰρ δέδωκεν ὕπνον τοῖς ὀφθαλμοῖς αὐτοῦ, οὐδὲ τοῖς βλεφάροις νυσταγμόν· οὐδὲ γὰρ κατὰ Δαιμόνων ἦν αὐτοῦ ἡ πάλη μόνον, ἀλλὰ καὶ κατὰ τῶν αἱρετιζόντων, οὓς συγγραφαῖς καὶ πατρικαῖς παραδόσεσιν ἀνατρέπων, καὶ μέντοι καὶ οἰκείαις διδασκαλίαις φρούδους ἀπετέλει. καὶ ἄλλα δὲ πλεῖστα λόγου καὶ μνήμης ἄξια συγγράμματα τῇ Ἐκκλησίᾳ καταλέλοιπε, βίον ὀρθῶς ἐκδιδάσκοντα, κατὰ τὸ Θεῷ δοκοῦν πολιτεύεσθαι. ὧν ἐστι τὸ ὑπερθαύμαστον διήγημα τῆς ἐν γυναιξὶν ἰσαγγέλου Μαρίας τῆς Αἰγυπτίας, τῆς ὑπὲρ ἀνθρωπίνην φύσιν ἐρημικοὺς ἀγωνισαμένης ἀγῶνας. Οὕτω καλῶς καὶ θεοφιλῶς αὐτὸς βιώσας, καὶ ἄλλους ἐκδιδάξας, καὶ στόμα Χριστοῦ χρηματίσας, καὶ ὁσίως τὸ δοθὲν αὐτῷ ποίμνιον ἰθύνας, ἐν χρόνοις τρισὶν, ἐν εἰρήνῃ πρὸς τὸν Θεὸν μεθίσταται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Πιονίου Πρεσβυτέρου τῆς ἐν Σμύρνῃ Ἁγίας Ἐκκλησίας.

Στίχ. Ὡς ἐγκρυφίας ἄρτος ἐξωπτημένος,
Καυθεὶς προσήχθη Πιόνιος Κυρίῳ.

Οὗτος ἦν ἐν τῇ Σμύρνῃ τῆς Ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας Πρεσβύτερος, κατὰ τοὺς καιροὺς Δεκίου τοῦ βασιλέως. συνελήφθη δὲ καὶ μεθ' ἑτέρων. Καὶ πρῶτον μὲν ἄγεται παρὰ Πολέμωνα τὸν Νεωκόρον, πρὸς ὃν διηνέχθη περὶ τῆς θρησκείας, γραφικαῖς ἀποδείξεσι καὶ ἱστορικαῖς, καὶ πιστοῦται παρὰ τῶν ἤδη γεγονότων τὰ ἐσόμενα. καὶ ὅτι ὁ Θεὸς διὰ πυρὸς δοκιμάζειν μέλλει τὰ τῶν ἀνθρώπων ἔργα, καὶ παρατίθησιν εἰς πίστιν τὰς πυρίνους σταγόνας, αἳ τὴν Σοδόμων γῆν ἀπετέφρωσε, καὶ τὰς πολλαχοῦ τοῦ πυρὸς ἀναβλύσεις. Εἶτα παρ' Ἐλπίδιον τὸν Ἄρχοντα συνεδρεύσαντα τῷ Νεωκόρῳ, ὁ Ἅγιος ἄγεται. ὕστερον δὲ παρὰ Κυντιλιανῷ τῷ Ἀνθυπάτῳ γενόμενος, τὴν διὰ πυρὸς λαμβάνει τελείωσιν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Λιθοστρώτῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γεωργίου Θεοφόρου καὶ Θαυματουργοῦ, τοῦ ἐν τῷ ἱππίῳ λεγομένου, τοῦ Νεοφανοῦς.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Τροφίμου, καὶ Θαλοῦ, τῶν ἐν Λαοδικείᾳ μαρτυρησάντων.

Ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, ἡγεμονεύοντος Ἀσκληπιοῦ ἐν Λαοδικείᾳ, διωγμὸς γέγονε κατὰ τῶν Χριστιανῶν. καὶ κρατηθέντες οἱ Ἅγιοι Μάρτυρες, Τρόφιμος καὶ Θαλὸς, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ἐλιθοβολήθησαν ἐπὶ ὥρας ἱκανάς. τοῦ δὲ Θεοῦ περιφρουροῦντος αὐτοὺς, ἔμειναν ἀβλαβεῖς. Τοῦτο θεασάμενος ὁ Ἄρχων καὶ οἱ σὺν αὐτῷ, αἰδεσθέντες εἴασαν αὐτοὺς πρὸς μικρὸν διάγειν ἀτιμωρήτους· καὶ πάλιν διαβληθέντες, παρέστησαν τῷ Κριτηρίῳ, καὶ τὸν Χριστὸν μετὰ παῤῥησίας Θεὸν εἶναι ἀληθινὸν ἐνώπιον πάντων ὁμολογήσαντες, τὰ δὲ Εἴδωλα κωμῳδήσαντες, καὶ τοὺς Τυράννους ἐλέγξαντες, εἰς ὀργὴν αὐτοὺς ἐκίνησαν. διὸ καὶ γυμνοὺς ἐπὶ ξύλου κρεμάσαντες, τὰς σάρκας αὐτῶν εὐτόνως κατέξεσαν. οἱ δὲ Ἅγιοι προσευχόμενοι, καὶ τοὺς Ἕλληνας μυκτηρίζοντες, ἐξέμηναν αὐτὸν τὸν ἄρχοντα. διὸ καὶ ψηφισάμενος μετὰ ταῦτα, ἐν Σταυρῷ κρεμασθῆναι αὐτοὺς προσέταξεν. Ἀπερχομένων δὲ αὐτῶν ἐπὶ τὸν προκείμενον τόπον, πολὺ πλῆθος λαοῦ ἠκολούθησεν αὐτοῖς, καὶ σταυρωθέντες προσηύχοντο, καὶ ὡμίλουν τῷ λαῷ τὰ εἰς ψυχὴν συντείνοντα. Οἱ δὲ λαοὶ ἔσπευδον προσψαῦσαι τοῖς ἱεροῖς τῶν Ἁγίων σώμασιν, οἱ μὲν σταγόνας αἱμάτων, οἱ δὲ σουδάρια, ἄλλοι δακτυλίους, καὶ ἕτερα ἔτι τινὰ εἴδη ἐλάμβανον εὐλογίας χάριν, καὶ ἀποτροπὴν παντὸς ἐναντίου. Τότε οἱ Ἅγιοι εὐλογήσαντες καὶ προπέμψαντες πάντας, τὰς ἁγίας αὐτῶν ψυ-

χὰς

Digitized by Google

χὰς τῷ Θεῷ παρέθεντο. Τινὲς δὲ τῶν εὐσεβῶν, τὰ τῶν Ἁγίων λαβόντες λείψανα, μύροις ἀλείψαντες, καὶ ὀθονίοις εἱλίσαντες, κατέθεντο ἐν τῷ Ναῷ. καὶ προσελθοῦσα τοῦ Ἄρχοντος Ἀσκληπιοῦ ἡ γυνή, καὶ μυρίσασα τὴν τῶν Ἁγίων Μαρτύρων θήκην, ὀθόνην πολλοῦ ἀξίαν ἄνωθεν τῆς θήκης ἐφήπλωσεν. Ἀνὴρ δέ τις Ζώσιμος καὶ Ἀρτέμιος, ἄνδρες εὐλαβεῖς καὶ πιστοί, τῶν Ἁγίων συμπολῖται ὄντες, μετὰ ταῦτα τὴν τῶν Λειψάνων θήκην ἀναλαβόντες, καὶ εἰς τὴν αὐτῶν Πόλιν κομισάμενοι, Σκατωρίκην καλουμένην, πρὸ μιλίου ἑνός, ἐν τοῖς Λατομίοις κατέθεντο.

Τῇ αὐτῇ ἡμέρᾳ, εἰς τὴν Κωνσταντινούπολιν ἀνακομιδὴ τῶν Λειψάνων τοῦ Ἁγίου Μάρτυρος Ἐπιμάχου.

Στ. Κομίζεταί σοι ὄλβος ὀλβία Πόλις, Ἐπιμάχου τὸ σῶμα τοῦ τρισολβίου.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

„ Ὁ διασώσας ἐν πυρί, τοὺς Ἀβραμιαίους σου Παῖδας, καὶ τοὺς Χαλδαίους ἀνελών, οὓς ἡ δίκη δικαίους ἐνήδρασεν. ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Μετὰ τῆς ἄνωθεν ῥοπῆς, ταῖς αἱρετικαῖς γλωσσαλγίαις ἀντιταττόμενος σοφέ, νικηφόρος γενόμενος ἔψαλλες. ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ὅλος ἀνάθημα Θεῷ, τὰς τῶν Ἀσκητῶν φυτουργίας, περιϊπτάμενος σοφέ, καὶ λειμῶνα τὸν σὸν κατεφύτευσας, ἀρετῶν ἐμμελέτημα, τῷ Θεῷ τῷ ἐν ὑψίστοις καθιερώσας.

Νόμῳ πειθόμενος Χριστοῦ, τῆς σῆς ἐπιστήμης τὸν πλοῦτον, τοῖς δεομένοις εὐσεβῶς, ἀναμέλπων Θεόφρον μετέδωκας, ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἁγιασθεῖσα τὴν ψυχήν, καὶ προκαθαρθεῖσα τὸ σῶμα, τῇ ἐπελεύσει ἐπὶ σέ, τοῦ Ἁγίου παναμώμου Πνεύματος, τοῦ ὑψί-

Glichi.

σου τὴν δύναμιν, ἐν γαστρί σου συλλαβοῦσα τίκτεις ἀσπόρως.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἱεραρχικῆς ἱερουργίας, τῷ μύρῳ καθηγιάσθης τῷ τῆς πίστεως, ἔνθα πεφανέρωται, Κόσμου τὸ σωτήριον, Ἱεραρχίας πάνσοφε, Πάτερ Σωφρόνιε, τὸν Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σοφίαν τιμῶν διαφερόντως, στεφάνῳ τῷ τῶν χαρίτων ἐστεφάνωσαι, δόξαν τὴν ἀμάραντον, πλοῦτον ἀναφαίρετον, τὸ τῆς σοφίας ἔνδοξε δῶρον δεξάμενος, καὶ Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἱεροπρεπῶς Ἱερομύστα, τὴν θείαν δικαιοσύνην ἐνδυσάμενος, ἴθυνας πανόλβιε, Πάτερ γενναιότατα, τὸ τοῦ Δεσπότου ποίμνιον, λόγοις καὶ πράξεσι, τὸν Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μεγαλοπρεπῶς καὶ ὑπὲρ λόγον, ὁ Λόγος ὁ τῷ Πατρὶ Πάτερ συνάναρχος, λόγον σοι δεδώρηται, λόγους διατρέχοντα, καὶ γλωσσαλγίας λύοντα τὰς τῶν Αἱρέσεων, τὸν Κύριον ὑμνεῖτε βοῶντα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θτ.

Ἁγιοπρεπὴς Ναὸς ἐδείχθης, τοῦ Λόγου τοῦ πᾶσαν κτίσιν ἁγιάσαντος, ὄρος πῖον Ἅγιον, ὄρος ἐμφανέστατον, εὐλογημένη Δέσποινα μόνη πανύμνητε. διό σε Θεομῆτορ ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ῥῆσις ἐκ χειλέων σου θείων, προερχομένη Θεορρῆμον, τὰς τῶν ἀσεβῶν διανοίας, καταγλυκαίνει διὰ τῆς χάριτος, ὥσπερ κηρίον στάζουσα, τῶν νοημάτων τὴν εὐπρέπειαν.

Ἔνδον οὐρανίων ἀδύτων, περιπολεύεις Θεηγόρε, περὶ τὸν τῶν ὅλων Δεσπότην, τὸν Βασιλέα ἔνθα χορεύουσιν, Ἄγγελοι καὶ λαμπρότητες, καὶ τῶν Ἁγίων τὰ στρατεύματα.



Digitized by Google

Ζωὴν μετερχόμενος Πάτερ, ἐπὶ τῆς γῆς τὴν τῶν Ἀγγέλων, τῆς ἀγγελικῆς ἐν οὐρανοῖς, κατηξιώθης μακαριότητος, ἔνθα Χριστὸν δυσώπησον, σωθῆναι πάντας τοὺς ὑμνοῦντάς σε.

Ὡς τῶν ἀρωμάτων φιάλαι, αἱ σιαγόνες σου Θεόφρον, Νάρδου πιστικῆς πολυτίμου, σοφίας ὤφθης γέμων ἀλάβαστρον, σῶμα Χριστοῦ τὸ τίμιον, ἀρωματίζον τοῖς σοῖς δόγμασι. Θεοτοκίον.

Νεφέλην σε κούφην Παρθένε, ὁ Ἡσαΐας ἐθεώρει. ἐπὶ σοὶ γὰρ Κύριος ἐλθὼν, καθεῖλε πάντα τὰ χειροποίητα, καὶ τὴν αὐτοῦ ἐπίγνωσιν, τοῖς σὲ ὑμνοῦσιν ἐφανέρωσε.

Ὁ Εἱρμός. Λίθος ἀχειρότμητος.

Τὸ φωταγωγικὸν, τὸ Ἰδιόμ. τῆς ἡμέρας, τὸ Μαρτυρικόν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

Τῷ αὐτῷ Μηνὶ ΙΒ'.

**Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφάνους τοῦ Ὁμολογητοῦ τῆς Συγγριανῆς.**

Εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχ. Ἦχος Πλ. δ'.

Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Θεόφρον Θεόφανες, θεοφανείας Χριστοῦ, κεκλημένος ἐπώνυμος, ζωηφόροις ἴχνεσι, τοῖς αὐτοῦ ἠκολούθησας. καὶ τὰ τερπνὰ τοῦ βίου κατέλιπες, ἐνατενίζων τῷ ποθουμένῳ σοι, κάλλει πανάριστε, καὶ ταῖς θείαις μυήσεσι ταῖς πρὸς αὐτὸν, ἄριστα θεούμενος, καὶ τελεώτατα. Ὅμοιον.

Πάτερ Θεόφρον Θεόφανες, ὑπερορίας πικρὰς, ἀσθενῶς διακείμενος, καρτερῶς ὑπήνεγκας, ἀφειδήσας τοῦ σώματος, ὑπὲρ σεπτῶν Εἰκόνων πανεύφημε, θυμὸν λεόντων ἐξοριζόμενος, ὡς κατορχούμενος, τοὺς βουλὰς ἐμώρανας καὶ λογισμοὺς, ὄντως ματαιόφρονας, καὶ νοῦν ἀλάστορα.

Ὅμοιον.

Οὕτως ἀμοιβὰς τῶν πόνων σου, τῶν ἀγαθῶν ὁ Δοτὴρ, δαψιλῶς σοι δεδώρηται, ἀπελαύνειν Δαίμονας, θεραπεύειν νοσήματα, παρεσχηκὼς τρισμάκαρ τὴν δύναμιν, κατηξιώθης καὶ τῆς ἀφράστου χαρᾶς. ἔνθα χορεύουσι, τῶν Ἀγγέλων τάγματα διὰ παντὸς, πρόσωπον θεώμενος τοῦ Παντοκράτορος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Δεῦρο ψυχή μου στενάζουσα, καὶ τῶν δακρύων πηγὰς, ἐκ καρδίας προσφέρουσα, τῇ Παρθένῳ βόησον, καὶ μητρὶ τοῦ Θεοῦ ἡμῶν. διὰ τοῦ πλήθους τῶν οἰκτιρμῶν σου Ἁγνὴ, τῆς φοβερᾶς με ῥῦσαι κολάσεως. καὶ κατασκήνωσον, ἔνθα ἡ ἀνάπαυσις καὶ ἡ χαρὰ, ἡ διαιωνίζουσα καὶ ἡ ἀπόλαυσις.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σὲ καθηλούμενον βλέπουσα, ἐν τῷ Σταυρῷ Ἰησοῦ, καὶ τὰ πάθη δεχόμενον, ἑκουσίως Δέσποτα, ἡ Παρθένος καὶ μήτηρ σου, Τέκνον ἐβόα, Τέκνον γλυκύτατον, πληγὰς ἀδίκως πῶς φέρεις ὁ ἰατρὸς, ὁ ἰασάμενος, τὴν βροτῶν ἀσθένειαν καὶ τῆς φθορᾶς, ἅπαντας ῥυσάμενος, τῇ εὐσπλαγχνίᾳ σου.

Εἰς τὸν Ὄρθρον οἱ Κανόνες τοῦ Ἁγίου, καὶ τοῦ Τριῳδίου κατὰ τὴν τάξιν. Ὁ Κανὼν τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχίς.

Ἄνευ τῶν Θεοτοκίων.

Θεοφάνης μέλπει σὲ τὸν Θεοφάνην.

Ὠδὴ α'. Ἦχος δ'. Θαλάσσης.

Θεοῦ τοῦ σαρκὶ φανέντος ἴχνεσιν, ἐπηκολούθησας, ἐν εὐσεβείᾳ Πάτερ πυρσωθεὶς, ὡς ἐντεῦθεν τὴν κλῆσιν πλουτεῖν, τὴν ἀληθῶς φερώνυμον, ὡς τῇ προνοίᾳ προτετύπωτο.

Ἐθέλχθης ποθεινοτάτῳ ἔρωτι, τῷ τοῦ Δεσπότου σου, καταφρονῆσαι πόθου κοσμικοῦ. συγκραθεὶς δὲ τῇ χάριτι, βιωτικὴν τερπνότητα, οὐδὲν ἡγήσω παμμακάριστε.

Ὁρμήσας θηριωδῶς ἐδίωξε, Λέων ὁ τύραννος, τοὺς ἐκλεκτοὺς μὴ φέρων καθορᾶν, τιμωμένην Εἰκόνα Χριστοῦ, μεθ' ὧν καὶ σὲ Θεόφανες, ὑπερορίᾳ κατεδίκασε. Θτ.

Ἀπορρήτως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Οὐκ

Digitized by Google

„ Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλούτῳ „ καυχώμεθα, ἀλλ' ἐν σοὶ τῇ τοῦ Πα- „ τρὸς, ἐνυποστάτῳ Σοφίᾳ Θεοῦ. οὐ γὰρ „ ἐστιν Ἅγιος, πλὴν σοῦ φιλάνθρωπε.

Φωτὸς τοῦ θείου πεπλησμένος ὤφθης Θεόφανες, δι' ἀγάπης συγκραθεὶς, τῷ ποθουμένῳ μακάριε· διὸ σοῦ τὴν ἔνδοξον μνήμην γεραίρομεν.

Ἀπαγορεύσας, τὰ δυσσεβῆ τοῦ Λέοντος δόγματα, τοὺς θεσμοὺς πανευσεβῶς, τῆς Ἐκκλησίας ἐκράτυνας. διό σε τοῖς θαύμασι Χριστὸς ἐδόξασε.

Ἠνανδρωμένος, τῇ ἐλπίδι καὶ πίστει ὁ Ὅσιος, τῆς σαρκὸς τὸ ἀσθενὲς, ψυχῆς στερρότητι ῥωννύσιν, οἰκειωσάσης Θεῷ, σῶμα ὁμόδουλον.

Θεοτοκίον.

Ἀπειρόγαμε, ἡ Θεὸν σαρκωθέντα κυήσασα, τῶν παθῶν ταῖς προσβολαῖς, κλονούμενόν με στερέωσον. οὐ γὰρ ἔχω Ἄχραντε, πλὴν σοῦ βοήθειαν.

Ἦχος γ'. Θείας πίστεως.

Ζῆλον ἔνθεον προσκεκτημένος, δόγμα ἄθεον ἀπεβδελύξω, καὶ κινδύνοις πολυτρόποις ὡμίλησας, ὑπερορίαις ἀδίκως στελλόμενος, καὶ ἀσεβῶς παμμάκαρ τελειούμενος. Πάτερ Θεόφανες, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

Θείας φύσεως οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος ἐν τῇ γαστρί σου, ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον μητέρα Παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμε, μόνος Κύριος. αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀμίαντος ἀμνὰς τοῦ Λόγου, ἡ ἀκήρατος Παρθενομήτωρ, ἐν τῷ Σταυρῷ θεασαμένη κρεμάμενον, τὸν ἐξ αὐτῆς ἀνωδίνως βλαστήσαντα, Μητροπρεπῶς θρηνῳδοῦσα ἐκραύγαζεν· οἴμοι Τέκνον μου, πῶς πάσχεις θέλων ῥύσασθαι, παθῶν τῆς ἀτιμίας τὸν ἄνθρωπον.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἡ οὐράνιος ἑτοιμάσαι Βασιλεία, ὡς ἀθληταῖς ἐνδόξοις τῆς γὰρ ἐπιγείου χαίρων μετετέθης σκηνῆς, βοῶν τῷ Δεσπότῃ σου· δόξα τῇ δυνάμει σου Κύριε.

Στεφανηφόρος Θεόφανες ἀνεδείχθης, τὸ γὰρ σεπτὸν ἐκόμισμα, Χριστοῦ Θεοφόρε, μάκαρ οὐκ ἠρνήσω τιμᾶν· διὸ καὶ ἀνέκραζες· δόξα τῇ δυνάμει σου Κύριε.

Μεθιστάμενος προστάγματι τοῦ Τυράννου, τοῦ δυσσεβοῦς ὁ Ὅσιος σαρκὸς ἀσθενείας, ὅλως οὐκ ἐφρόντισε, κραυγάζων τῷ Κτίσαντι, δόξα τῇ δυνάμει σου Κύριε.

Ἐμεγαλύνθης τοῖς θαύμασι Θεοφόρε· ὁ γὰρ Χριστὸς ἠμείψατό σε τῆς καρτερίας. ὅθεν καὶ ἰάματα, πηγάζεις τοῖς χρῄζουσιν, ὥσπερ ἐκ πηγῆς ἱερώτατε.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν. ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Λόγῳ πανευσεβεῖ, ὀρθοδόξως ἐκήρυξεν, ὁ Ὅσιος Θεοφάνης, τὸ τῆς πίστεως δόγμα, τῷ πνεύματι λαμπόμενος.

Πλοῦτον παντοδαπῆ, θεοφρόνως διένειμας, προστάγματι τοῦ Δεσπότου, τοῖς πενίᾳ συζῶσιν, ἑπόμενος πανεύφημε.

Ἔχων σου τὴν ψυχὴν, κατ' εἰκόνα τοῦ κτίσαντος, τὴν ἄχραντον τοῦ Δεσπότου, προσεκύνεις Εἰκόνα, τῷ πόθῳ ἀσπαζόμενος.

Θεοτοκίον.

Ὡς ὅπλον ἄρραγες, κατ' ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ς'. Θύσω σοι, μετὰ φωνῆς.

Ἴθυνον, πρὸς ἀρετὴν τὸν βίον μου Ὅσιε, τὴν τῆς ἀσκήσεως τρίβον, ταῖς ἀρχαῖς σου Πάτερ ἐξομαλίσας, ἣν συντόμως, εὐθυπορεῖν με μάκαρ ἀξίωσον.

Σωφρόνως, σὺ τὴν ζωὴν διήνυσας Ὅσιε, μετὰ φρονήσεως ἔχες, σὺν ἀνδρείᾳ γὰρ τὴν δικαιοσύνην, καὶ τῷ κύκλῳ, τῶν ἀρετῶν ἐφάνης κοσμούμενος.

Εὐκλείας, μαρτυρικῆς ἐπέβης Θεόφανες, τῆς Θεομήτορος Κόρης, καὶ Μαρτύρων Πάτερ τοὺς χαρακτῆρας, ὡς τιμήσας, καὶ τοῖς διώκταις ἀντιταττόμενος.

Digitized by Google

Θεοτοκίον.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Ὁ Εἱρμός. Θύσω σοι, μετὰ φωνῆς.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους λαβὼν τὴν θείαν ἀποκάλυψιν, ἐξῆλθες αὐτόθεν ἐκ μέσου τῶν θορύβων, καὶ μονάσας Ὅσιε, εἴληφας ἐνεργείας καὶ προφητείας ἀξίωμα, συμβίου καὶ πλούτου στερούμενος.

Ὁ Οἶκος.

Ἐπὶ τῆς γῆς μηδὲν προτιμήσας, ἠκολούθησας χαίρων τῷ καλοῦντί σε Χριστῷ, καὶ τὸν ζυγὸν αὐτοῦ ἔλαβες ἐπὶ τῶν ὤμων τῶν σῶν προθύμως, καὶ ἀνάπαυσιν εὗρες τῇ ψυχῇ σου. Ὅνπερ κἀμοὶ τῷ πτωχῷ καὶ ῥαθύμῳ κατάπεμψον τῷ λέγοντι, καὶ μηδόλως ἐκτελοῦντι, ἀλλ' ἔτι σχολάζοντι ἐν τοῖς τοῦ βίου πράγμασι, καὶ θαυμάζοντι πάντα ἔφυγες, συμβίου καὶ πλούτου στερούμενος.

Τῷ αὐτῷ Μηνὶ ΙΒ'. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ, τοῦ τῆς Συγγριανῆς τοῦ ἐν τῷ μεγάλῳ ἀγρῷ κειμένου.

Στ. Θεόφανες φάνηθι, πιστῶν προστάτα,
Τιμῶσι πιστῶς σὸν μετ' εἰρήνης τέλος.

Δωδεκάτῃ φθινύθοντος ἀπῆρε βίου Θεοφάνης.

Οὗτος πατρὸς μὲν ἔφυ Ἰσαάκ, μητρὸς δὲ Θεοδότης. Τοῦ δὲ πατρὸς τελευτήσαντος ἐν τῇ ὑπ' αὐτοῦ διεπομένῃ τῶν Αἰγαιοπελαγιτῶν ἀρχῇ, ἦν παρὰ τῇ μητρὶ ἀναγόμενος καὶ τρεφόμενος. Γενόμενος δὲ αὐτὸς δωδεκαετὴς ἁρμόζεται γυναικί, καὶ αὐτῇ συνδιάγων ἦν χρόνους ὀκτώ. Πλοῦτος δὲ ἦν ἀμφοτέροις πολύς. Συμβούλῳ δέ τινι χρησάμενος ἰδίῳ οἰκέτῃ, πόθον ἔσχε πολὺν τὸν τῶν μοναστῶν ὑπελθεῖν βίον. Τῆς δὲ μητρὸς τὸν βίον ἀπολιπούσης, καὶ πλοῦτον ἄπειρον αὐτῷ καταλελοιπυίας, ὁ κηδεστὴς αὐτοῦ πληρῶσαι τὰ τῷ γάμῳ μεμνηστευμένα τοῦτον ἐβιάζετο. Καὶ δὴ τῆς κυρίας ἡμέρας καταλαβούσης, καὶ παστὰς ἐπήγνυτο, καὶ ὑμέναιος ᾔδετο, καὶ τὰ λοιπὰ ἐτελεῖτο. Ἐπεὶ δὲ ὁ καιρὸς αὐτῶν τὸν μακάριον καὶ τῇ συνεύνῳ κατὰ μόνας γενέσθαι ἐκάλει, τὰ τῶν λογισμῶν αὐτοῦ κρύφια ἐφανέρου τῇ νεάνιδι, ἥτις καὶ συγκατετίθετο· καὶ ἅτινα δ' ἂν καὶ βούλοιτο αὐτὸς πράττειν, καὶ αὐτὴ τοῦτο μετὰ προθυμίας διεβεβαιοῦτο ποιεῖν, ὅπερ ἀκούσας ηὐχαρίστησε τῷ Θεῷ. Ἐντεῦθεν οὖν ἐποίουν ἀμφότεροι τὰς ἡμερινὰς καὶ νυκτερινὰς εὐχάς. Ταῦτα μαθὼν Λέων ὁ δυσσεβὴς βασιλεύς, καὶ ὁ τούτου κηδεστής, διεκώλυε τοὺς νέους τοῦ σκοποῦ. Ἐξαπέστειλε δὲ αὐτὸν ὁ βασιλεὺς πρὸς τὸ τῆς Κυζίκου Κάστρον, συγχερήσοντα· ἤδη γὰρ τότε ἐκτίζετο. Καὶ ἀπελθὼν ὁ τίμιος παῖς, ἐξ ἰδίων ἀναλωμάτων, τὴν τοῦ κρατοῦντος δουλείαν πεποίηκε. Τῷ δὲ εἰκοστῷ πρώτῳ χρόνῳ τῆς αὐτοῦ ἡλικίας, ὅ, τε θηριώνυμος βασιλεύς, καὶ ὁ πενθερὸς αὐτοῦ, καταστρέφουσι τὸν βίον. Καὶ λοιπὸν ἐν ἐλευθερίᾳ, οὐ μόνον ὁ νέος, ἀλλὰ καὶ ἡ Οἰκουμένη γίνεται, Εἰρήνης τὰ σκῆπτρα διαδεξαμένης. Ἐπεὶ δὲ κατὰ νοῦν αὐτῷ πάντα γεγόνε, τοῖς ἐνδεέσι καὶ πτωχοῖς τὴν οὐσίαν αὐτοῦ διεσκόρπισε, καὶ τοὺς οἰκέτας ἐλευθερίᾳ τετίμηκε· τῇ δὲ τιμίᾳ αὐτοῦ συζύγῳ χρήματα πολλὰ παρασχόμενος, ἐν τῇ τοῦ Πριγγίπου Μονῇ ἀπέκειρεν, Εἰρήνην αὐτὴν ἀντὶ Μεγαλοῦς ὀνομάσας. Αὐτὸς δὲ τῷ Κυρίῳ ἑαυτὸν προσφέρων ἱερουργεῖ ἐν τῇ τῶν Σιγγριανικίων ὄρει κειμένῃ μονῇ, Πολυχρονίῳ λεγομένῃ. Μοναχοῦ δὲ αὐτοῦ γενομένου, οὐδ' ὅλως τὸ ἄρχειν κατεδέξατο. Ἀλλ' ἐν τῇ κέλλῃ καθεζόμενος, ἐξ οἰκείων χειρῶν τὴν τροφὴν ἐπορίζετο, καλλιγραφῶν, ἐξαετῆ χρόνον διηνεκῶς ἐν τῇ καλουμένῃ Νήσῳ τῆς Καλωνύμου, ἐν ᾗ συνεστήσατο αὐτὸς μονήν, καὶ πάλιν ἔρχεται ἐν τῷ τῆς Σιγγριανῆς ὄρει. Τῷ δὲ πεντηκοστῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ, ἀσθενείᾳ τινὶ παραδίδοται· ἥτις ἦν λιθιάσεως κύστεως, καὶ νεφριτικῆς ἀκολουθίας σύμπτωμα. Ἐκ τούτου λοιπὸν τοῦ χαλεποῦ νοσήματος, ἔμεινε διαπαντὸς τοῦ βίου κλινήρης καὶ ἀκίνητος.

Με-

Digitized by Google

Μετὰ ταῦτα ἐδέξατο τὰ σκῆπτρα τῆς Βασιλείας Λέων ὁ Ἀρμένιος. ἀλλ' οἷα τούτῳ συμβέβηκεν, οὐδεὶς ἀγνοεῖ. Τέως δὲ ὁ ἀνόητος καὶ ἀνόσιος πέμπει πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον, ἐλθὲ, λέγων, εὖξαι ὑπὲρ ἡμῶν, ὅτι κατὰ Βαρβάρων ἀπέρχομαι. αὐτὸς δὲ διὰ τὸ ἀκίνητος εἶναι, ἐκ τῆς ἁμάξης μετετέθη εἰς πλοῖον, καὶ ἤχθη πρὸς τὴν βασιλεύουσαν. καὶ τῆς μὲν δυσειδοῦς ὄψεως τοῦ Τυράννου οὐκ ἔτυχε, πλὴν μηνύσει ἐχρήσατο πρὸς αὐτόν. εἰ κατανεύσεις, λέγων, τῇ παρακλήσει μου, καὶ σοὶ καὶ τῇ Μονῇ σου ἀγαθὰ παρέξω, εἰ δὲ μήγε, ξύλῳ ἀγχόνης σε παραδειγματίσω, καὶ τῶν λοιπῶν εἰς φόβον σε προθήσω. Ὁ δὲ ὁμολογητὴς, τῶν δωρεῶν σου, ἔφη, μὴ κενώσῃς τοὺς θησαυρούς· τὸ δὲ ἀγχόνης ξύλον, ἢ καὶ τὸ πῦρ, ἀντεπίσπασον σήμερον. τοῦτο γὰρ ἐφίεμαι, διὰ τὴν τοῦ Χριστοῦ μου ἀγάπην. Ταῦτα ὁ ἀναιδὴς ἀκούσας, παρέδωκεν αὐτὸν Ἰωάννῃ τῷ μάντει περὶ λόγους αὐχοῦντι, καὶ τὸ μῖσος τῶν Εἰκονομάχων ἐμπεπλησμένῳ, στρεβλότητι ἀντεπεκκλῖναι αὐτὸν ἡγούμενος. ὃς παραληφθεὶς ἐν τῇ Ὀρμίσδου Μονῇ Σεργίου καὶ Βάκχου, τῇ παρακειμένῃ τῷ Παλατίῳ, καὶ πρὸς λόγων ἅμιλλαν τῷ Μάντει συνελθὼν, καὶ τοῦτον ἡττήσας, καὶ τῷ περιόντι τῆς σοφίας καταβροντήσας, καὶ τὸ ἀμετάθετον ἐνδειξάμενος, τοῦτον ᾐσχυμμένον εἰς τὸν μανιώδη Τύραννον ἀπέπεμψεν, ἀγροίκου μᾶλλον, ἢ ῥήτορος δόξαν ὁ δείλαιος ἀπηνέγκατο. ὃς ἀπελθὼν πρὸς αὐτὸν, κρεῖσσον, ἔφη, βασιλεῦ, κηρῷ μαλάξαι σίδηρον, ἢ πεῖσαι τὸν ἄνδρα, μεταθέσθαι πρὸς τὸ σοὶ ἐφετόν. Τούτων ἐπακούσας ὁ Τύραννος, μετάγει τοῦτον εἰς τὰ Ἐλευθερίου ἀνάκτορα, καὶ κατακλείει αὐτὸν ἔν τινι οἰκήματι σκοτεινοτάτῳ, καταστήσας καὶ φρουροὺς, ὡς μηδὲ διακονεῖσθαι αὐτὸν παρά τινος. Οὕτω διετῆ χρόνον τελέσας, θλίψεσι καὶ στενοχωρίαις πιεζόμενος, κατῄσχυνε κἀν τούτῳ τὸν τύραννον. Ἐπεὶ δὲ καθ' ἑκάστην ὑποκῦψαι τῇ αὐτοῦ βουλῇ ἠναγκάζετο, μὴ εἴξας, ἐξορίζεται ἐν τῇ τῆς Σαμοθράκης Νήσῳ. ἡ δὲ πρὸς τὴν ὑπερορίαν ἐπαγωγὴ, ταχεῖαν ἔσχε τὴν ἀπὸ τοῦ σώματος ἐξαγωγήν. ἡμέραις γὰρ τρισὶ πρὸς ταῖς εἴκοσι τὴν ἐν τῇ Νήσῳ ζωὴν διανύσας, ἐκεῖ κατεπαύσατο ἀπελθὼν ἐν Κυρίῳ ὁσίως καὶ εἰρηνικῶς. Τί δὲ χρὴ λέγειν ὁπόσης μὲν εὐλογίας τὸν τόπον ἐνέπλησε, καὶ ὁπόσων δὲ ἰατρειῶν ὁ χῶρος ἐκεῖνος εὐπόρησε;

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γρηγορίου, Πάπα Ῥώμης.

Στίχ. Ὁ Γρηγόριος ἐκ μέσου μὲν τοῦ βίου.
Ἐν τῷ μέσῳ δὲ τοῦ χοροῦ τῶν Ἀγγέλων.

Οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ τοῦ Βασιλέως, πρῶτον μὲν Μοναχὸς καὶ Ἡγούμενος γεγονὼς τῆς Μονῆς, τῆς οὕτω καλουμένης Κλειοσκάβρης, ἔπειτα δὲ τὸν Ἀρχιερατικὸν θρόνον ἐγχειρίζεται, οὐ κατὰ συντυχίαν καὶ ἀποκλήρωσιν τὴν ἄλογον, ἀλλὰ θείᾳ ψήφῳ τὴν Ἀρχιερωσύνην λαβὼν, ὡς προϊὼν ὁ λόγος δηλώσειεν. ἔτι γὰρ αὐτοῦ ἐν τῷ Μοναστηρίῳ ὄντος, καὶ κατὰ τὸ ἴδιον κελλίον καλάμῳ καὶ μέλανι πρὸς γραφὴν τὴν χεῖρα κινοῦντος, ἐπέστη τις αὐτῷ ἐκ ναυαγίου, κατατραγῳδῶν, καὶ τὸν Ὅσιον εἰς οἶκτον ἐπικαλούμενος, καὶ ἐπαρκέσαι αὐτοῦ τῇ συμφορᾷ δεόμενος. ἦν δὲ ἄρα οὐ κατὰ τὸ φαινόμενον ἐνδεὴς ὁ αἰτῶν. οὐδὲ γὰρ ἄνθρωπος ἦν, εἰς ἀνάγκην ἔχων, γυμνὸς ἐκ ναυαγίου ἐπανελθών τι λαβεῖν, ἀλλ' ἐν προσχήματι δεομένου, τὴν προσοῦσαν αὐτῷ συμπάθειαν ἐξεκάλυπτεν Ἄγγελος, ὃς ἅπαξ καὶ δὶς καὶ τρὶς προσελθὼν, οὐκ ἀπεπέμφθη κενός. ὡς μηδενὸς χρυσοῦ νομίσματος τῷ Ἁγίῳ καταλειφθέντος, ἀλλὰ καὶ τὸ τῆς Μονῆς ἐκομίσατο τρυβλίον ἀργυροῦν, τοῦτο τοῦ Ὁσίου προθύμως ἐπιδόντος αὐτῷ. Τοσοῦτον ἦν ἄρα πρὸς τοὺς δεομένους ἀνεξίκακος ἅμα καὶ συμπαθὴς, ἐξὸν γὰρ αὐτῷ καὶ διὰ τὴν σπάνιν τοῦ χρυσοῦ, καὶ τὸ τοῦ αἰτοῦντος φορτικὸν, ὅτι δὶς καὶ τρὶς λαβὼν προσέκειτο ὀχληρῶς, ὑπιδόμενον μισῆσαι καὶ ἀποπέμψασθαι. ἀλλὰ μᾶλλον εἵλετο τῶν ἀνεκποιήτων τῆς Μονῆς ἅψασθαι, ἢ τὸν ἄνθρωπον παριδεῖν, ὃν ἔδει τὸ μὴ τυχόντα ἐπανελθεῖν ἄπρακτον. Τοιγαροῦν

ἐν

Digitized by Google

Θεοτοκίον.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Ὁ Εἱρμός. Φύσει σοί, μετὰ φωνῆς.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους λαβὼν τὴν θείαν ἀποκάλυψιν, ἐξῆλθες αὐτόθεν ἐκ μέσου τῶν θορύβων, καὶ μονάσας Ὅσιε, εἴληφας ἐνεργείας καὶ προφητείας ἀξίωμα, συμβίου καὶ πλούτου ἐστερημένος.

Ὁ Οἶκος.

Ἐπὶ τῆς γῆς μηδὲν προτιμήσας, ἠκολούθησας χαίρων τῷ καλοῦντί σε Χριστῷ, καὶ τὸν ζυγὸν αὐτοῦ ἔλαβες ἐπὶ τῶν ὤμων τῶν σῶν προθύμως, καὶ ἀνάπαυσιν εὗρες τῇ ψυχῇ σου. οὗπερ κἀμοὶ τῷ πτωχῷ καὶ ῥαθύμῳ κατάπεμψον τῷ λέγοντι, καὶ μηδόλως ἐκτελοῦντι, ἀλλ' ἔτι σχολάζοντι ἐν τοῖς τοῦ βίου πράγμασι, καὶ θαυμάζοντι πάντα ἔφυγες, συμβίου καὶ πλούτου ἐστερημένος.

Τῇ αὐτῇ Μηνὶ ΙΒ΄. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ, τοῦ τῆς Συγγριανῆς τοῦ ἐν τῷ μεγάλῳ ἀγρῷ κειμένου.

Στ. Θεόφανες φάνηθι, πιστῶν προστάτα,
Τιμῶσι πιστῶς σὸν μετ' εἰρήνης τέλος.
Δωδεκάτῃ φθινύθοντος ἀπῆρε βίου Θεοφάνης.

Οὗτος πατρὸς μὲν ἔφυ Ἰσαάκ, μητρὸς δὲ Θεοδότης. τοῦ δὲ πατρὸς τελευτήσαντος ἐν τῇ ὑπ' αὐτοῦ διεπομένῃ τῶν Αἰγαιοπελαγιτῶν ἀρχῇ, ἦν παρὰ τῇ μητρὶ ἀναγόμενος καὶ τρεφόμενος. Γενόμενος δὲ αὐτὸς δωδεκαετὴς ἁρμόζεται γυναικί, καὶ αὐτῇ συνδιάγων ἐπὶ χρόνους ὀκτώ. πλοῦτος δὲ ἦν ἀμφοτέροις πολύς. συμβούλῳ δέ τινι χρησάμενος ἰδίῳ οἰκέτῃ, πόθον ἔσχε πολὺν τὸν τῶν μοναστῶν ὑπελθεῖν βίον. Τῆς δὲ μητρὸς τὸν βίον ἀπολιπούσης, καὶ πλοῦτον ἄπειρον αὐτῷ καταλελοιπυίας, ὁ κηδεστὴς αὐτοῦ πληρῶσαι τὰ τῷ γάμῳ μεμνηστευμένα τοῦτον ἐξεβιάζετο. Καὶ δὴ τῆς κυρίας ἡμέρας καταλαβούσης, καὶ παστὰς ἐπήγνυτο, καὶ ὑμέναιος ᾔδετο, καὶ τὰ λοιπὰ ἐτελεῖτο. Ἐπεὶ δὲ ὁ καιρὸς αὐτῶν τὸν μακάριον καὶ τὴν σύνευνον κατὰ μόνας γενέσθαι ἐκάλει, τὰ τῶν λογισμῶν αὐτοῦ κρύφια ἐφανέρου τῇ νεάνιδι, ἥτις καὶ συγκατετίθετο· καὶ ἅτινα δ' ἂν καὶ βούληται αὐτὸς πράττειν, καὶ αὐτὴ τοῦτο μετὰ προθυμίας διεβεβαιοῦτο ποιεῖν, ὅπερ ἀκούσας ηὐχαρίστησε τῷ Θεῷ. Ἔκτοτε οὖν ἐποίουν ἀμφότεροι τὰς ἡμερινὰς καὶ νυκτερινὰς εὐχάς. Ταῦτα μαθὼν Λέων ὁ δυσσεβὴς βασιλεύς, καὶ ὁ τούτου κηδεστής, διεκώλυε τοὺς νέους τοῦ σκοποῦ. Ἐξαποστέλλει δὲ αὐτὸν ὁ βασιλεὺς πρὸς τὸ τῆς Κυζίκου Κάστρον, συγχερήσοντα· ἤδη γὰρ τότε ἐκτίζετο. καὶ ἀπελθὼν ὁ τίμιος παῖς, ἐξ ἰδίων ἀναλωμάτων, τὴν τοῦ κράτους δουλείαν πεποίηκε. Τῷ δὲ εἰκοστῷ πρώτῳ χρόνῳ τῆς αὐτοῦ ἡλικίας, ὅ, τε θηριώνυμος βασιλεύς, καὶ ὁ πενθερὸς αὐτοῦ, καταστρέφουσι τὸν βίον. καὶ λοιπὸν ἐν ἐλευθερίᾳ, οὐ μόνον ὁ νέος, ἀλλὰ καὶ ἡ Οἰκουμένη γίνεται, Εἰρήνης τὰ σκῆπτρα διαδεξαμένης. Ἐπεὶ δὲ κατὰ νοῦν αὐτῷ πάντα γέγονε, τοῖς ἐνδεέσι καὶ πτωχοῖς τὴν οὐσίαν αὐτοῦ διεσκόρπισε, καὶ τοὺς οἰκείους ἐλευθερίᾳ τετίμηκε· τῇ δὲ τιμίᾳ αὐτοῦ συζύγῳ χρήματα πολλὰ παρασχόμενος, ἐν τῇ τοῦ Πριγγίπου Μονῇ ἀπέκειρεν, Εἰρήνην αὐτὴν ἀντὶ Μεγαλοῦς ὀνομάσας. αὐτὸς δὲ τῷ Κυρίῳ ἑαυτὸν προσφέρων ἱερουργεῖ ἐν τῇ τῶν Σιγγριανικίων ὄρει κειμένῃ μονῇ, Πολυχρονίῳ λεγομένῃ. Μοναχοῦ δὲ αὐτοῦ γενομένου, οὐδ' ὅλως τὸ ἄρχειν κατεδέξατο. ἀλλ' ἐν τῇ κέλλῃ καθεζόμενος, ἐξ οἰκείων χειρῶν τὴν τροφὴν ἐπορίζετο, καλλιγραφῶν, ἑξαετῆ χρόνον διηνεκῶς ἐν τῇ καλουμένῃ Νήσῳ τῆς Καλωνύμου, ἐν ᾗ συνεστήσατο αὐτὸς μονήν, καὶ πάλιν ἔρχεται ἐν τῷ τῆς Σιγγριανῆς ὄρει. Τῷ δὲ πεντηκοστῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ, ἀσθενείᾳ τινὶ παραδίδοται· ἥτις ἦν λιθιάσεως κρίσεως, καὶ νεφριτικῆς ἀκολουθίας σύμπτωμα. Ἐκ τούτου λοιπὸν τοῦ χαλεποῦ νοσήματος, ἔμεινε διὰ παντὸς τοῦ βίου κλινήρης καὶ ἀκίνητος.

Digitized by Google

Μετὰ ταῦτα ἐδέξατο τὰ σκῆπτρα τῆς Βασιλείας Λέων ὁ Ἀρμένιος. ἀλλ' οἷα τούτῳ συμβέβηκεν, οὐδεὶς ἀγνοεῖ. Τέως δὲ ὁ ἀνόητος καὶ ἀνόσιος πέμπει πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον, ἐλθὲ, λέγων, εὖξαι ὑπὲρ ἡμῶν, ὅτι κατὰ Βαρβάρων ἀπέρχομαι. αὐτὸς δὲ διὰ τὸ ἀκίνητος εἶναι, ἐκ τῆς ἁμάξης μετετέθη εἰς πλοῖον, καὶ ἤχθη πρὸς τὴν βασιλεύουσαν. καὶ τῆς μὲν δυσειδοῦς ὄψεως τοῦ Τυράννου οὐκ ἔτυχε, πλὴν μηνύσει ἐχρήσατο πρὸς αὐτόν. εἰ καταμάθοις, λέγων, τῇ παρακλήσει μου, καὶ σοὶ καὶ τῇ Μονῇ σου ἀγαθὰ παρέξω, εἰ δὲ μήγε, ξύλῳ ἀγχόνης σε παραδειγματίσω, καὶ τῶν λοιπῶν εἰς φόβον σε προθήσω. Ὁ δὲ ὁμολογητὴς, τῶν δωρεῶν σου, ἔφη, μὴ κενώσῃς τοὺς θησαυρούς· τὸ δὲ ἀγχόνης ξύλον, ἢ καὶ τὸ πῦρ, ἀνεξέτασον σήμερον. τούτου γὰρ ἐφίεμαι, διὰ τὴν τοῦ Χριστοῦ μου ἀγάπην. Ταῦτα ὁ ἀναιδὴς ἀκούσας, παρέδωκεν αὐτὸν Ἰωάννῃ τῷ μάντει περὶ λόγους αὐχοῦντι, καὶ τὸ μῖσος τῶν Εἰκονομάχων ἐμπεπλησμένῳ, στρεβλότητι αὐτὸν ἐπεκκλῖναι αὐτὸν ἡγούμενος. ὃς παραληφθεὶς ἐν τῇ Ὁρμίσδου Μονῇ Σεργίου καὶ Βάκχου, τῇ παρακειμένῃ τῷ Παλατίῳ, καὶ πρὸς λόγων ἅμιλλαν τῷ Μάντει συνελθὼν, καὶ τοῦτον ἡττήσας, καὶ τῇ περιουσίᾳ τῆς σοφίας καταβροντήσας, καὶ τὸ ἀμετάθετον ἐνδειξάμενος, τοῦτον ᾐσχυμμένον εἰς τὸν μανιώδη Τύραννον ἀπέπεμψεν, ἀγροίκου μᾶλλον, ἢ ῥήτορος δόξαν ὁ δείλαιος ἀπηνέγκατο. ὃς ἀνελθὼν πρὸς αὐτὸν, κρεῖσσον, ἔφη, βασιλεῦ, κηρῷ μαλάξαι σίδηρον, ἢ πεῖσαι τὸν ἄνδρα, μεταθεῖναι πρὸς τὸ σοὶ ἐφετόν. Τοῦτον ἐπακούσας ὁ Τύραννος, μετάγει τοῦτον εἰς τὰ ἐλευθερίου ἀνάκτορα, καὶ κατακλείει αὐτὸν στενῷ τινι οἰκήματι σκοτεινοτάτῳ, καταστήσας καὶ φρουροὺς, ὡς μηδὲ διακονεῖσθαι αὐτὸν παρά τινος. Οὕτω διετῆ χρόνον τελέσας, θλίψεσι καὶ στενοχωρίαις πιεζόμενος, κατῄσχυνε κἂν τούτῳ τὸν τύραννον. Ἐπεὶ δὲ καθ' ἑκάστην ὑποκύψαι τῇ αὐτοῦ βουλῇ ἠναγκάζετο, μὴ εἴξας, ἐξορίζεται ἐν τῇ τῆς Σαμοθράκης Νήσῳ. ἡ δὲ πρὸς τὴν ὑπερορίαν ἐπαγωγὴ, ταχεῖαν ἔσχε τὴν ἀπὸ τοῦ σώματος ἐξαγωγήν. ἡμέραις γὰρ τρισὶ πρὸς ταῖς εἴκοσι τὴν ἐν τῇ Νήσῳ ζωὴν διανύσας, ἐκεῖ κατεπαύσατο ἀπελθὼν ἐν Κυρίῳ ὁσίως καὶ εἰρηνικῶς. Τί δὲ χρὴ λέγειν ὁπόσης μὲν εὐλογίας τὸν τόπον ἐνέπλησε, καὶ ὁπόσων δὲ ἰατρειῶν ὁ χῶρος ἐκεῖνος εὐπόρησε;

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γρηγορίου, Πάπα Ῥώμης.

Στίχ. Ὁ Γρηγόριος ἐκ μέσου μὲν τοῦ βίου.
Ἐν τῷ μέσῳ δὲ τοῦ χοροῦ τῶν Ἀγγέλων.

Οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ τοῦ Βασιλέως, πρῶτον μὲν Μοναχὸς καὶ Ἡγούμενος γεγονὼς τῆς Μονῆς, τῆς οὕτω καλουμένης Κλειοσκάβρης, ἔπειτα δὲ τὸν Ἀρχιερατικὸν θρόνον ἐγχειρίζεται, οὐ κατὰ συντυχίαν καὶ ἀποκλήρωσιν τὴν ἄλογον, ἀλλὰ θείᾳ ψήφῳ τὴν Ἀρχιερωσύνην λαβὼν, ὡς προϊὼν ὁ λόγος δηλώσειεν. ἔτι γὰρ αὐτοῦ ἐν τῷ Μοναστηρίῳ ὄντος, καὶ κατὰ τὸ ἴδιον κελλίον καλάμῳ καὶ μέλανι πρὸς γραφὴν τὴν χεῖρα κινοῦντος, ἐπέστη τις αὐτῷ ἐκ ναυαγίου, κατατραγῳδῶν, καὶ τὸν Ὅσιον εἰς οἶκτον ἐπικαλούμενος, καὶ ἐπαρκέσαι αὐτῷ τῇ συμφορᾷ δεόμενος. ἦν δὲ ἄρα οὐ κατὰ τὸ φαινόμενον ἐνδεὴς ὁ αἰτῶν. οὐδὲ γὰρ ἄνθρωπος ἦν, εἰς ἀνάγκην ἔχων, γυμνὸς ἐκ ναυαγίου ἐπανελθών τι λαβεῖν, ἀλλ' ἐν προσχήματι δεομένου, τὴν προσοῦσαν αὐτῷ συμπάθειαν ἐξεκάλυπτεν Ἄγγελος, ὃς ἅπαξ καὶ δὶς καὶ τρὶς προσελθὼν, οὐκ ἀπεπέμφθη κενός. ὡς μηδενὸς χρυσοῦ νομίσματος τῷ Ἁγίῳ καταλειφθέντος, ἀλλὰ καὶ τὸ τῆς Μονῆς ἐκομίσατο τρυβλίον ἀργυροῦν, τοῦτο τοῦ Ὁσίου προθύμως ἐπιδόντος αὐτῷ. Τοσοῦτον ἦν ἄρα πρὸς τοὺς δεομένους ἀνεξίκακος ἅμα καὶ συμπαθὴς, ἐξὸν γὰρ αὐτῷ καὶ διὰ τὴν σπάνιν τοῦ χρυσοῦ, καὶ τὸ τοῦ αἰτοῦντος φορτικὸν, ὅτι δὶς καὶ τρὶς λαβὼν προσέκειτο ὀχληρῶς, πειθόμενον μισῆσαι καὶ ἀποπέμψασθαι. ἀλλὰ μᾶλλον εἵλετο τῶν ἀνεκποιήτων τῆς μονῆς ἅψασθαι, ἢ τὸν ἄνθρωπον περιιδεῖν, ὡς ἐδόκει, τὸ μὴ τυχόντα ἐπανελθεῖν ἄπρακτον. Τοιγαροῦν

ἐν

Digitized by Google

ἐν τῇ τάξει τῆς Ἀρχιερωσύνης γεγονὼς, καὶ συνήθει πρὸς τοὺς πένητας φιλοφροσύνῃ χρώμενος, καὶ συγκατακλίνεσθαι κελεύσας αὐτῷ δώδεκα, ὡς αὐτῷ μόνῳ ὁ τρισκαιδέκατος διεφαίνετο, τῶν ἄλλων μὴ δυναμένων αὐτὸν καθορᾷν. ὁ δὲ τῇ τοῦ προσώπου μορφῇ, καὶ τοῖς ἔνδοθεν κινήμασιν ἐδόκει τῷ Ὁσίῳ ἀλλοιότερον τῶν δώδεκα διακεῖσθαι, καταχὼν αὐτὸν, καὶ τὸ αὐτοῦ πυνθανόμενος ὄνομα, καὶ τίς ὢν παραγένοιτο, ὄνομα μὲν αὐτοῦ εἶναι μὴ θεμιτὸν ἀκοῦσαι τινά. εἶναι γὰρ αὐτὸ θαυμαστόν. Ὅτι δὲ Ἄγγελος εἴη μόνον προσερεῖν, καὶ πρότερον παρὰ τοῦ Θεοῦ, ἐπὶ τῇ τοῦ χρυσίου αἰτήσει πεμφθεὶς, συνεῖναι αὐτῷ ἔκτοτε, καὶ φρουρεῖν αὐτὸν προσταχθείς. Γενόμενος δὲ ὁ Ὅσιος Γρηγόριος, πάσης σοφίας καὶ γραφῆς ἔμπειρος, πολλὰ συγγράμματα τῇ Ἐκκλησίᾳ κατέλιπεν, ἃ πρὸς τὴν Ἑλληνίδα διάλεκτον ὕστερον μετηνέχθησαν, οὐ δι᾽ ἀνθρωπίνων μόνον συλλογισμῶν, καὶ τῆς ἐν λόγοις σοφίας συντεθέντα, ἀλλὰ καὶ διὰ Πνεύματος Ἁγίου, ὡς μετὰ τὴν αὐτοῦ ἀποβίωσιν καὶ ἀνάλυσιν, Πέτρος ὁ Ἀρχιδιάκονος αὐτοῦ ἐξηγήσατο. ἰδεῖν λέγων περιστερὰν λευκὴν ἐν τῷ γράφειν αὐτὸν τῷ αὐτοῦ προσεγγίζουσαν στόματι, καὶ οἷον ἐξηγουμένην καὶ συνεξορμῶσαν πρὸς τὰ γραφόμενα. γενόμενος δὲ ἐν τοῖς κατὰ δύσιν τόποις, διδάσκων καὶ ἐπιστρέφων διετέλει τὸ τῶν Σαξέων γένος, πρὸς τὴν εἰς Χριστὸν πίστιν· οἳ καὶ ταῖς δι᾽ ἔτους αὐτὸν τιμαῖς, τὴν πρεσβυτέραν Ῥώμην καταλαβόντες, ἔνθα τὸ ἱερὸν αὐτοῦ κατάκειται σῶμα, γεραίρουσι. φασὶ δὲ, ὅτι ἐπιτελεῖσθαι λειτουργίαν παρὰ Ῥωμαίοις ἐν ταῖς νηστίμοις ἡμέραις, οὗτός ἐστιν ὁ νομοθετήσας, ὅπερ κρατεῖται μέχρι τῆς σήμερον παρ᾽ αὐτοῖς.

Τῇ αὐτῇ ἡμέρα, Ὁ δίκαιος Φινεὲς ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Ἔστι Φινεὲς, ἀλλὰ τῷ Θεῷ πέλας.
Ἡμῖν ἱλασμὸς ψυχικὴν θραῦσιν λύων.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις,

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Ὡς ὁ κατ᾽ εἰκόνα σὺ κεκτημένος, καὶ ὁμοίωσιν, Θεῖε λαμπρότατε Πάτερ προειληφὼς, δι᾽ ἀμφοτέρων ὑπερέλαμψας. εὐλογημένος εἶ, ἐν τῷ ναῷ βοῶν τῆς δόξης σου Κύριε.

Ὁμολογίας σου τῷ στεφάνῳ Πάτερ διέπρεψας, ἔργῳ, διελέγξας λόγους τῶν δυσσεβῶν, τοὺς πιστοὺς δὲ ἐβεβαίωσας. εὐλογημένος εἶ, ἐν τῷ ναῷ βοῶν τῆς δόξης σου Κύριε.

Νῷ στεῤῥοτάτῳ ἐν προθυμίᾳ τὰς τοῦ σώματος, Πάτερ, ἀλγηδόνας ἤνεγκας, καρτερῶς, εὐχαρίστως τῷ Δεσπότῃ σου. εὐλογημένος εἶ, ἐν τῷ ναῷ βοῶν τῆς δόξης σου Κύριε.

Θεοτοκίον.

Ὡς τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε, διὰ σοῦ γὰρ δέδοται, ἡ χαρὰ Θεοτόκε τοῖς κραυγάζουσιν. εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις Παναμώμε Δέσποινα.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Θεώμενος μάκαρ τὸ στεῤῥὸν, τῆς σῆς ἐνστάσεως, Λέων ὁ τύραννος, ὑπερορίᾳ σε ἔκρινε, πικροτάτῃ ὁ παμπόνηρος, ἐν εὐφροσύνῃ δὲ βοῶν ταύτην ὑπήνεγκας, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ἐπὶ τὸ πρωτότυπον εἶδος, τὴν τῆς εἰκόνος τιμὴν διαβιβάζεσθαι, ἐπὶ τὸ στάδιον ἔδραμε, ἀθλητὴς ὡς ἐῤῥωμενέστατος, καὶ νικητὴς ἀναδειχθεὶς στέφανον εἴληφας, ἀναμέλπων. πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Οὐράνιον ἀντὶ τῆς ἐν γῇ σκηνῆς σοι δέδωκεν, ὁ πάντων Κύριος, ἀντὶ στενώσεως εὗρες δὲ, πλατυσμὸν ἀγαλλιάσεως, ἐν Παραδείσῳ τῆς τρυφῆς, μετὰ Μαρτύρων βοῶν εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Φωτὶ ἐλαμπρύνθης νοητῷ, καὶ θείῳ Πνεύματι μάκαρ Θεόφανες. ὅθεν ἰαμάτων βρύεις χάριν, τοῖς ἐν πίστει σοι προστρέχουσι, καὶ τὴν ἁγίαν σου σορὸν πόθῳ γεραίρουσι, καὶ βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.



Digitized by Google

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ· σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα παναμώμε, μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτός. ὅθεν πάντες σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὁ Εἱρμός. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ἅπαντα τὸν βίον σκορπίσας, τοῖς δεομένοις Θεοφόρε, τὴν δικαιοσύνην σου σοφῶς, ἀντικομίζου σὺ ἀνατέλλουσαν. ἀντὶ φθαρτῶν δρεπόμενος, τὰ δι᾽ αἰῶνος ἀνατέλλοντα.

Νόσους θεραπεύεις παμμάκαρ, τοῦ Παρακλήτου τῇ δυνάμει, δαίμονας σαφῶς ἀπελαύνεις, τῇ ἐνεργείᾳ τούτου πανόλβιε. διὸ πιστοὶ θεούμενοι, σὲ θεοφόρε μακαρίζομεν.

Ἡ σὴ φωτοφόρος θεόφρον, τῆς μεταστάσεως ἡμέρα, πάντας προσκαλεῖται τοὺς πιστοὺς, πρὸς μετουσίαν τοῦ ἁγιάσματος. ἣν περ καὶ νῦν γηθόμενοι, ἐπιτελοῦμεν ἱερώτατε.

Νέμοις τὴν σὴν ἄφθονον χάριν, τῷ τὸν ἐπαίνων σου τοὺς λόγους, πλέξαντι θεόφρον προθύμως, ὁμότροπόν σοι ὥσπερ ὁμώνυμον, τοῦτον δεικνὺς πρεσβείαις σου, ταῖς εὐπροσδέκτοις ἱερώτατε.

Θεοτοκίον.

Λέγου τὰς λιτὰς τοῦ Λαοῦ σου, πρὸς τὸν Υἱόν σου Θεοτόκε, ἱλεωσαμένη εὐμενῶς, ἡμᾶς κινδύνων καὶ περιστάσεων, ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε, σὺ γὰρ προστάτις τῆς ζωῆς ἡμῶν.

Ὁ Εἱρμός. Λίθος ἀχειρότμητος ὄρους.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου.

Τὸ Ἰδιόμελον τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν.

Δόξα, καὶ νῦν. Στ. ἢ Σταυροθ.

Αἱ μετάνοιαι. καὶ ἡ α΄. Ὥρα μετὰ τῆς στιχολογίας, καὶ μετανοιῶν, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ ΙΓ΄.

Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικηφόρου Πατριάρχου Κωνσταντινουπόλεως.

Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς΄. καὶ ψάλλομεν προσόμοια.

Ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Λόγῳ τὰ πάθη πανόλβιε, καθυποτάξας σαφῶς, τὴν ψυχὴν κατελάμπρυνας, ἀρετῶν ἐν χρώμασι, καὶ δογμάτων ὀρθότητι, τὸν τῆς σοφίας πλοῦτον δρεψάμενος, καὶ διανείμας τοῖς σοὶ προστρέχουσι. λύχνος πολύφωτος, γεγονὼς τῇ χάριτι, θεοπρεπῶς, ὄντως ἐγκαλλώπισμα, τῇ Ἐκκλησίᾳ Χριστοῦ. Ὅμοιον.

Νίκην κατ᾽ ἐχθρῶν ἀράμενος, δικαιοσύνης λαμπρῷ, νῦν στεφάνῳ κεκόσμησαι, Νικηφόρε πάνσοφε, τῆς ἀγνείας διδάσκαλε, τῆς εὐσεβείας στῦλος ἀκράδαντος, τῆς Ἐκκλησίας ἀκαταμάχητος, πύργος γενόμενος, τῶν ἀφρόνων ἅπασαν αἱρετικῶν, φάλαγγα τροπούμενος, θεόφρον Ὅσιε. Ὅμοιον.

Ἔνδον τῶν ἀρρήτων πέφθακας, εἰς οὐρανοὺς ἀναβὰς, ἀρετῶν ἐποχούμενος, θεορρήμον ἅρμασι, διφρηλάτης αἰθέριος, ὡς ὁ Θεσβίτης νῦν συνυψούμενος, οὗ καὶ τὸν ζῆλον ἐκμιμησάμενος, ξίφει τοῦ Πνεύματος, τῆς αἰσχύνης ἅπαντας, τοὺς ἱερεῖς, ἄριστα κατέσφαξας, μακαριώτατε.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαίροις Οἰκουμένης καύχημα, χαῖρε Κυρίου ναὲ, χαῖρε ὄρος κατάσκιον, χαῖρε καταφύγιον, χαῖρε λυχνία χρυσῆ, χαῖρε τὸ κλέος τῶν ὀρθοδόξων σεμνὴ, χαῖρε Μαρία Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, χαῖρε Παράδεισε, χαῖρε θεία τράπεζα, χαῖρε σκηνὴ, χαῖρε στάμνε πάγχρυσε, χαῖρε ἡ πάντων ἐλπίς.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἥλιος ἰδών σε ἔφριξεν, ἐπὶ Σταυροῦ Ἰησοῦ, ἡπλωμένον θελήματι, καὶ ἡ



Digitized by Google

γῆ ἐσείετο, καὶ πέτραι διερρήγνυντο, καὶ τὰ μνημεῖα φόβῳ ἠνοίγοντο, καὶ αἱ δυνάμεις πᾶσαι ἐξίσταντο. ἅπερ ὡς ἔβλεψεν, ἡ Παρθένος Δέσποινα, ἐν σφαγμοῖς, οἴμοι ἀνεκραύγαζε, τί τὸ ὁρώμενον;

Εἰς τὸν Ὄρθρον οἱ Κανόνες τοῦ Ἁγίου, καὶ τοῦ Τριῳδίου. Ὁ Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ α΄. Ἦχος β΄. Ὁ Εἱρμός.

„ Δεῦτε Λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ „ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, „ καὶ ὁδηγήσαντι, τὸν Λαὸν ὃν ἀνῆκε, δου„λείας Αἰγυπτίων, ὅτι δεδόξασται.

Ἁμαρτιῶν, τάφῳ δεινῷ συγχωσθέντα με, τῇ ἀθανάτῳ μάσει σου, καὶ τῇ ἀσπλάγχνῳ σου, ἀναστήσας παλάμῃ, ζώωσον ὡς οἰκτίρμων, καὶ πολυέλεος.

Τὰς γενικὰς, τῶν ἀρετῶν τελειότητας, τετραμερῶς κτησάμενος, καὶ ὡς ἐν ἅρματι, ἐπιβὰς Θεοφόρε, εἰς μύστην θεωρίας, ἦρθης ἐκ πράξεως.

Ἐκ τῆς ζωῆς, τῆς ἀκράτου δεξάμενος, ἐκ τοῦ κρατῆρος Ὅσιε, τοῦ θείου ἔπιες, καὶ νηφάλιον πόμα. διὸ καὶ τῆς σοφίας, δοχεῖον γέγονας.

Ἀπελαθεὶς, θρόνου καὶ δόξης καὶ ποίμνης σου, χειρὶ βιαίᾳ Ὅσιε, τῶν τῆς αἱρέσεως, θυμοφθόρων θηρίων, μόνῃ πρὸς τὴν οἰκείαν, μάνδραν εἰσήλασας. Θτ.

Τὸν τοῦ Πατρὸς, Λόγον τῷ λόγῳ συνείληφας, καὶ ὑπὲρ λόγον τέτοκας, καὶ μετὰ κύησιν, ὑπὲρ φύσιν καὶ λόγον, παρθένος ὡς πρὸ τόκου, πάλιν διέμεινας.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

„ Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ „ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φό„βον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡ„μῶν τῶν ὑμνούντων σε.

Τῷ ὅπλῳ τοῦ Σταυροῦ θωρακισάμενος, τὸ θεῖον ἐκτύπωμα τοῦ Σωτῆρος, περιγράφων προσκυνεῖς εὐσεβῶς, πατρικοῖς ἑφεπόμενος θεσπίσμασιν.

Ἡ ποίμνη τὸν ποιμένα σε ποθήσασα, τὸν ταύτην κατ' ὄνομα συγκαλοῦντα, καὶ τοὺς λύκους ἐκδιώκοντα, τῇ τῆς πίστεως ῥάβδῳ, σοὶ προστρέχει σοφέ.

Ὡς πάλαι Ἰωσὴφ τοῦ θείου σώφρονος, τὸ σῶμα ὁ Ἰσραὴλ συγκομίζει, οὕτω νῦν ἡ Ἐκκλησία Χριστοῦ, τὴν σορὸν τῶν λειψάνων σου σεβάζεται. Θεοτοκίον.

Ναὸς καὶ ἱερὸν κατοικητήριον, τοῦ Λόγου ὑπάρχουσα Θεοτόκε, τῶν πταισμάτων ἱλαστήριον, Παναγία γενοῦ μοι θεονύμφευτε.

Ὁ Εἱρμός. Στερέωσον ἡμᾶς.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Λόγοις ἔστεψας τὴν Ἐκκλησίαν, πᾶσαν ἔτρεψας κακοδοξίαν, φερωνύμως τὴν νίκην δεξάμενος, καὶ κορυφαῖος δογμάτων γενόμενος, ὡς ἐπὶ πέτραν τὴν πίστιν ἐστήριξας. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Τὴν ὡραιότητα.

Τῆς συμπαθείας σου, πλοῦτον τὸν ἄμετρον, καὶ δυναστείας σου, κράτος τὸ ἄμαχον, ἀναλαβόμενος εἰς νοῦν, προσέδραμον τῇ σκέπῃ σου. θλίψει συνεχόμενος, καὶ δεινῶς ἀπορούμενος, κράζων ἐκ βαθέων μου, τῆς καρδίας σὺν δάκρυσι. Παρθένε Θεοτόκε βοήθει μοι, ἡ μόνη προστασία τοῦ Κόσμου.

Σταυροθεοτοκίον.

Τὴν ῥάβδον δυνάμεως κεκτημένη, τὸν Σταυρὸν τοῦ Υἱοῦ σου ἄχραντε, ἐν αὐτῷ καταβάλλομεν, τῶν ἐχθρῶν τὰ φρυάγματα, οἱ πόθῳ σε ἀπαύστως μεγαλύνοντες.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

„ Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν τῆς σῆς „ οἰκονομίας, καὶ ἐδόξασά σε, μόνε „ φιλάνθρωπε.

Κιβωτὸς ἁγιάσματος, ἐξ ἧς πηγὴν ἰάσεων ἀντλοῦμεν, ἡ σορός σου γέγονε, τοῖς τιμῶσί σε.

Τὰς αἱρέσεις ἐδίωξας, καὶ τὴν τῆς ποίμνης μάνδραν ἠσφαλίσω, διδαχαῖς ἐνθέοις περιφραξάμενος.

Καταξίως τιμῶμέν σου, τὴν τῶν λειψάνων μάκαρ μυροθήκην, ὡς ζωῆς πηγάζουσαν, ἀνωδίαν πιστοῖς. Θεοτοκίον.

Νοητόν σε παράδεισον, τῆς ζωῆς τὸ ξύλον δεξαμένην, ἐν γαστρὶ Παρθένε, Χριστὸν δοξάζομεν.

Ὠδὴ

Digitized by Google

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Ἐχθροὶ αἰσχύνονται, αἱρεσιάρχαι σὺν αὐτοῖς μαίνονται, τὴν σὴν σορὸν, ὁρῶντες θεόφρων, πιστῶς τιμωμένην, ὑπὸ Βασιλέων, καὶ πάσης τῆς ποίμνης σου.

Ἡ ἱερά σου σορὸς, τὰ τῶν Δαιμόνων πονηρὰ πνεύματα, ὡς φοβερὰ, μάστιξ ἐκδιώκει, καὶ μῆνιν κατ' αὐτῶν, Νικηφόρε δόξης, θεόθεν δεξάμενος.

Τῆς συνειδήσεως, τὸ χωνευτήριον πυρὶ Πνεύματος, ἀναφλεχθὲν, ὡς χρυσὸν τῇ πίστει, σὲ ἔδειξε λαμπρὸν, τῶν αἱρετιζόντων, ἐλέγχων τὸ κίβδηλον.

Θεοτοκίον.

Ὡραιωθεῖσα σεμνὴ, τῇ ἐπελεύσει τοῦ σεπτοῦ Πνεύματος, Θεὸν μαζοῖς, θηλάζεις, καὶ τοῦτον, συνέχεις ἀγκάλαις, τὸν πᾶσαν τὴν Κτίσιν, παλάμαις συνέχοντα.

Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὑπὲρ πίστεως πάθη ὑπέμεινας, ὑπὲρ τῆς πατέρων σεπτῆς παραδόσεως, ὑπερορίας ἤνεγκας. δι' ὧν δόξαν ἐκτήσω ὑπέρτιμον.

Ἡ ἑδραία σου πίστις καὶ ἔνστασις, τὰς τῶν τυραννούντων ἀνοίας διέσεισε, στῦλος πυρὸς δὲ γέγονε, τῇ σεπτῇ Ἐκκλησίᾳ μακάριε.

Ὡς φαιδροὺς μαργαρίτας καὶ λίθους σοφὲ, ὑπερδιαυγεῖς τὴν σορὸν καὶ τὴν κόνιν σου, ἡ Ἐκκλησία φέρουσα, ὀρθοτόμῳ στεφάνῳ καλλύνεται.

Θεοτοκίον.

Τὸν ἀπόρρητον τρόπον τοῦ τόκου σου, γλῶσσαι γηγενῶν καὶ Ἀγγέλων γεραίρουσι, τῶν ποιημάτων Δέσποινα, ὑπερτέραν σε πάντων δοξάζουσιν.

Ὁ Εἱρμός. Ἐν ἀβύσσῳ πταισμάτων.

Τῷ αὐτῷ Μηνὶ ΙΓ'. Ἡ Ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικηφόρου Πατριάρχου Κωνσταντινουπόλεως.

Στιχ. Νίκης ἑορτὴν ἡ πόλις Νικηφόρε,
Δοχὴν ἄγει σου λειψάνου νικηφόρου.

Χοῦς τρισκαιδεκάτῃ Νικηφόρου ἄστυ ἐσήχθη.

Θεοφίλου τοῦ θεομισοῦς βασιλέως τὸν βίον ἀπολιπόντος, καὶ Θεοδώρας καὶ Μιχαὴλ τῶν εὐσεβεστάτων, τὴν Βασιλείαν τῶν Ῥωμαίων ἰθυνόντων, πρὸς τοῖς ἄλλοις ἅπασιν ἀριστεύμασιν, εὐσεβεῖν εἰς τὸ θεῖον διέγνωσαν. μηδὲ γὰρ ἂν ἄλλως τὴν ἀρχὴν ἀσφαλῆ καταστήσασθαι ἐπενόησαν. ταῦτα σκοπήσαντες, μεταστέλλονται τοὺς ἐν μονάζουσι προὔχοντας, καὶ περὶ τῆς τῶν ἁγίων Εἰκόνων ἀναστηλώσεως ἐποιοῦντο ζήτησιν. καὶ ποιήσαντες, πάντες συμφρονοῦντες αὐτοῖς, τὸν παραβάτην καὶ ἀνίερον Ἰωάννην τοῦ θρόνου ἀπήλασαν, καὶ θείᾳ ψήφῳ καὶ κοινῇ γνώμῃ τὸν μέγαν Μεθόδιον Ἀρχιερέα κατεστήσαντο. ὃς βίῳ καὶ λόγῳ εἰς ἄγαν διησκημένος, πολλοὺς ἀγῶνας ὑπὲρ τοῦ ὀρθοῦ δόγματος ἀπηνέγκατο. καὶ πληγαῖς καὶ φρουραῖς ἐπαρκέσας, τὴν πίστιν οὐ προὔδωκε. καὶ αὐτίκα ἡ τοῦ Θεοῦ Ἐκκλησία, τὴν οἰκείαν εὐπρέπειαν ἀπέλαβε, καὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων τῷ κάλλει κεκόσμηται, καὶ οἱ ἀναξίως ταύτην διέποντες ἀτίμως ἀπηλάθησαν, καὶ ἀντὶ αὐτῶν, τοὺς τοῦ ὀρθοῦ δόγματος σπουδαστὰς κατέστησαν. χρόνου δὲ τετραετοῦς ἐκ τούτου παρελθόντος, θείῳ κινηθεὶς ζήλῳ ὁ πανίερος Μεθόδιος, τῇ τιμίᾳ Βασιλίδι ἔφη καὶ Μιχαήλ. οὐ δίκαιόν ἐστι τὸν αἰδέσιμον καὶ πανόσιον ἐν Πατριάρχαις Νικηφόρον, ὑπὲρ τῆς ἀμωμήτου Πίστεως τῆς Ἱεραρχίας καὶ τοῦ θρόνου ἐξωθέντα, καὶ ἐν ὑπερορίᾳ τὴν ζωὴν συμπεράναντα, μὴ τὸ τίμιον αὐτοῦ καὶ ἱερὸν λείψανον ἔνδον Κωνσταντίνου πόλεως γενέσθαι. τούτῳ ἑτοίμως οἱ βασιλεύοντες πειθαρχήσαντες, τοὺς αὐτὸ μετακομίσοντας ἀποστέλλουσι τάχιον. σὺν αὐτοῖς δὲ καὶ ὁ μέγας Μεθόδιος σὺν ἱερεῦσι καὶ μονασταῖς καὶ πλῆθος λαοῦ, τὸ τοῦ ἁγίου Θεοδώρου σεμνεῖον, ἐν ᾧ ἦν κατακείμενον τὸ τοῦ ἁγίου καὶ Ὁμολογητοῦ λείψανον, καταλαβὼν καὶ κατασπασάμενος, παννύχοις τε στάσεσι λιτανεύσας, καὶ ὑμνῳδίας τετελεκὼς ἀπογυμνοῖ τῆς σοροῦ τὸ πάντιμον ἐκεῖνο καὶ ἀθλοφόρον σῶμα, εὗρε δὲ αὐτὸ ὅλον διόλου ἀκραιφνὲς καὶ ὁλόκληρον ἐν ὅλοις ἔτεσι δέκα καὶ ἐννέα συν-

Digitized by Google

σωτηρηθέν. ὅπερ λαβὼν, καὶ ἐν γλωσσοκόμῳ μεταθεὶς χερσὶν ἱερέων καὶ πρεσβυτέρων, ἅμα δὲ μοναχῶν μετὰ φώτων καὶ ὕμνων εἰς τὴν βασιλικὴν τριήρην εἰσήνεγκαν. ἡνίκα δὲ καὶ ἐπεραιοῦτο τὸν πορθμὸν τῆς ἀκροπόλεως, ὅ,τε Βασιλεὺς καὶ ἡ Σύγκλητος λαμπαδοφόροι προσυπήντων καὶ κατησπάζοντο, καὶ ἐπ' ὤμων φέροντες, ἐν τῇ μεγάλῃ ἀπέθεντο Ἐκκλησίᾳ. κἀκεῖσε διανυκτερεύσαντες, ἕωθεν ὁμοίως ἀναλαβόμενοι τὸν ἅγιον ἐκεῖθεν, ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων κατατιθέασι, τῇ τρισκαιδεκάτῃ τοῦ Μαρτίου Μηνὸς, ἐν ᾗ καὶ πρὸς τὴν ἐξορίαν ἀπηνέχθη. τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Οὐρπασιανοῦ.

Στίχ. Ὁ κλωβὸς ἅρμα πυρὸς αὐτοῦ λαμπάδες,
Οὐρπασιανὲ σοὶ τέθριππος ἀνόδου.

Ἄρτι τότε τὴν βασιλείαν Μαξιμιανὸς ἐνδυσάμενος, τὴν περίοικον Νικομηδείας κατετυράννει, διάπυρος ἔκδικος τῶν εἰδώλων γενόμενος. τούτου ποτὲ τὸν θυμὸν ὡς φλόγα μεγάλην ἀνάψαν κατὰ τῶν Χριστιανῶν, οἱ τούτου σύμφρονες, καὶ συμπόται. τότε σχεδὸν πάντας τοὺς ὑπὸ τὴν βασιλείαν αὐτοῦ, συγκλητικοὺς ἐκκλησιάσας ἅμα καὶ τοὺς ἐκκλησιαστικοὺς, κατεβρόντησεν, εἴτις ὑμῶν περιέπεσεν εἰς τὴν τῶν Χριστιανῶν θρησκείαν, καὶ οὐ θέλει μεταμέλος πρὸς τοὺς εὐμενεῖς θεοὺς γενέσθαι, λυσάτω τὴν ζώνην αὐτοῦ ἐνώπιον πάντων, καὶ ὑποχωρείτω τοῦ τε παλατίου καὶ τῆς πόλεως ἡμῶν. ἡ γὰρ πόλις αὕτη θεοὺς μεμάθηκε λατρεύειν ἐκ προγόνων, καὶ οὐ Θεὸν ἕνα, καὶ τοῦτον ἐσταυρωμένον. τότε δὴ τότε φρίκη περιέσχεν ἅπαντας τοὺς εἰς Χριστὸν πεπιστευκότας· καὶ ἦν ἰδεῖν ἀληθῶς τὴν εἰς Χριστὸν γυμναζομένην ὄντως εὐσέβειαν. οἱ μὲν γὰρ, ὑπεκρύπτοντο, οἱ δὲ, ταῖς βασάνοις ὑπέκυπτον. ὅσοι δὲ τὴν κατὰ Θεὸν ἀγάπην ἀκίβδηλον ἔφερον, ἀφειδήσαντες τῶν βασάνων καὶ καταγελῶντες τοῦ τυράννου, τὰς αὐτῶν ζώνας ἀπορρίπτοντες, ἀπέτρεχον ἐξ αὐτοῦ. τότε ὁ μεγαλόφρων καὶ ἀδαμάντινος τὴν ψυχὴν Οὐρπασιανὸς, εἷς ὢν καὶ αὐτὸς τῆς συγκλήτου, ἔρριψε τὴν ἑαυτοῦ χλαμύδα καὶ ζώνην, εἰπὼν μεγαλοφώνως πρὸς τὸν βασιλέα. ἐπειδὴ βασιλεῦ ἐγὼ σήμερον ἀντιστρατεύομαι τῷ οὐρανίῳ Βασιλεῖ τῷ Κυρίῳ μου Ἰησοῦ Χριστῷ, λάβε σου τὴν ζώνην καὶ τὴν τιμὴν καὶ τὴν δόξαν. πρόσκαιρος γάρ ἐστι καὶ εἰς οὐδὲν χρησιμεύουσα. ταῦτα ἀπροσδοκήτως τοῦ Οὐρπασιανοῦ ὁ βασιλεὺς Μαξιμιανὸς ἀκούσας, ἠλλοιώθη τὰς φρένας, καὶ ἐπὶ πολλὴν ὥραν ἔμεινεν ἄφωνος, εἶθ' οὕτω τὴν ὄψιν τρίψας, καὶ λοξῶς προσβλεψάμενος πρὸς τὸν Μάρτυρα, ἐξεβρόντησεν ὡς ἀνήμερος θὴρ προσειπών. τὸν ἀλιτήριον τοῦτον κρεμάσαντες, τὰς σάρκας αὐτοῦ τοῖς βουνεύροις καταξάνατε. τούτου δὲ γενομένου μετὰ πολλοῦ τοῦ τάχους, καὶ τοῦ Ἁγίου Μάρτυρος ἐπὶ πολλὰς ὥρας τοῖς βουνεύροις ἀνηλεῶς συγκοπτομένου, τὸ ὄμμα ἔχοντος εἰς τὸν Οὐρανὸν καὶ προσευχομένου, καὶ μηδ' ὁπωσοῦν στενάζοντος, καταγαγὼν αὐτὸν ὁ Τύραννος ἀπὸ τοῦ μαγγάνου, φησὶ πρὸς τοὺς παρεστῶτας· ἐν φρουρᾷ ἀφεγγεῖ καὶ ἀσφαλεστάτῃ ἀνεπιμέλητον τοῦτον ταριχεύσατε, ἕως ἂν σκέψωμαι ποίῳ θανάτῳ ἀναλώσω αὐτόν. Τοῦ δὲ Ἁγίου Μάρτυρος χαίροντος καὶ εὐφραινομένου ἐν τῇ φυλακῇ ἐπὶ ἡμέρας τινὰς, καὶ τὰς εὐχὰς αὐτοῦ τῷ Κυρίῳ ἀποδιδόντος, κατεσκεύασεν ὁ δυσσεβὴς βασιλεὺς ὄργανον τιμωρητικὸν, τὸ δὲ ἦν, κλωβὸς σιδηροῦς· καὶ ἐξαγαγὼν τὸν Ἅγιον τῆς εἱρκτῆς, προσέταξε βληθῆναι ἐν αὐτῷ καὶ κρεμασθῆναι. Τούτου δὲ γενομένου, καὶ ἐνδεδυμένου τὸν σιδηροῦν κλωβὸν ἐκεῖνον δι' ὅλου τοῦ σώματος, ἐκέλευσεν ὁ δύστηνος λαμπάδας ἀναφθῆναι, καὶ γύρωθεν αὐτοῦ ἀνηλεῶς κατακαίεσθαι. Τότε ὁ Ἅγιος τοῦ Χριστοῦ Μάρτυς, ἔνδον τοῦ ὀργάνου ἐκείνου ὢν κρεμάμενος καὶ προσευχόμενος, τοσοῦτον κατεκαύθη, ἕως οὗ πᾶσαι αἱ σάρκες αὐτοῦ κατέρρυσαν ὥσπερ κηρὸς, συγχωθεῖσαι καὶ ἀναμιγεῖσαι τῇ γῇ, καὶ τὰ ὀστᾶ αὐτοῦ γεγόνασιν ὡς χοῦς

ἀπὸ

Digitized by Google

ἀπὸ ἄλωνος. Καὶ οὕτως ὁ Ἅγιος τοῦ Χριστοῦ Μάρτυς, προσευχόμενος καὶ ἀναλυόμενος, τὸν ἀέρα γεμίσας μυρεψικῆς εὐωδίας, ἀνῆλθεν ὡς ἀστὴρ φαεινὸς πρὸς Κύριον, καθὼς τινὲς τῶν πιστῶν ἰδεῖν ἠξιώθησαν. Ὁ δὲ δύστηνος καὶ θεομισὴς βασιλεὺς, ἔτι τῇ μανίᾳ ἐμμένων, τὸν χοῦν τῆς γῆς, ἐν ᾧ αἱ σάρκες τοῦ Ἁγίου κατερρύησαν, καὶ τὸν χοῦν τῶν ὀστέων ἐπιμελῶς συλλέξας, εἰς τὴν θάλασσαν ἐνώπιον αὐτοῦ σκορπισθῆναι πεποίηκε. Ταῦτα γεγόνασιν ἐν Πόλει Νικομηδείᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Σαβίνου.

Στίχος. Ῥεῖθρον Σκαμάνδρου τῆς ἐλέγξεως ὕδωρ,
Εὐανδρείας ἔλεγχος ὂν τῆς Σαβίνου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Ἀφρικανοῦ, Πουπλίου, καὶ Τερεντίου.

Στ. Συμμάρτυρας τρεῖς, ὧν διὰ ξίφους τέλος,
Ἴσα στεφάνοις τοῖς ἰάμβοις χρὴ στέφειν.

Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Παυλοπετρείῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἄβιβος ὁ ἐξ Ἑρμουπόλεως, λίθῳ προσδεθεὶς, καὶ ἐν ποταμῷ βληθεὶς, τελειοῦται.

Στίχος. Βληθεὶς, Ἄβιβος εἰς ποταμὸν σὺν λίθῳ,
Ἐκπλεῖ ποταμὸν συρφετώδη τοῦ βίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Μάρτυς Χριστίνα, ἡ ἐκ Περσίδος, μαστιζομένη, τελειοῦται.

Στίχος. Μάστιξ τὸ τύπτον, σὰρξ τὸ πάσχον Χριστίνα,
Χριστοῦ χάριν χέουσα κρουνοὺς αἱμάτων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Τῇ θείᾳ ῥοπῇ, ἀδιάφθορα τηρεῖται τὰ ἐντάφια· καὶ τὰ ὀστᾶ δὲ θείῳ νεύματι, τὴν ἁρμονίαν μὴ λύσαντα, πᾶσαν ἀκαθάρτων πνευμάτων, διασκεδάζει κακόνοιαν. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Συμμετέχει ποίμνη, Βασιλεύς τε εὐσεβὴς, καὶ τῶν ἐν τέλει λαὸς, καὶ ὑποθέντες τῇ ἐνδόξῳ σου, σορῷ εὐχαρίας Θεόληπτε, ὥσπερ κιβωτῷ παναγίᾳ, δορυφοροῦσι καὶ ψάλλουσιν. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ θεῖος σηκὸς, τῶν τοῦ λόγου μαθητῶν ὑποδεχέσθω σεμνῶς, τῶν Ἀποστόλων συνόμιλον, καὶ τῶν Μαρτύρων τὸν σύσκηνον, τῶν Ἱεραρχῶν τὴν κρηπίδα, καὶ τῶν Ὁσίων ὁμότροπον. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὁρῶν Μωϋσῆς, βάτον ἄφλεκτον τὸ πρὶν ἀναπτομένην πυρὶ ἐν τῷ Σιναίῳ Μῆτερ πάναγνε, προδιετύπου τὴν μήτραν σου. πῦρ γὰρ συλλαβοῦσα τὸ θεῖον, οὐ κατεφλέχθης, ἀλλ' ἔτεκες, τὸν τοῦ φωτὸς δημιουργὸν Θεὸν καὶ ἄνθρωπον.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ.

Ἐν τῷ λιμένι τῆς ζωῆς, ἐκ πολλῶν τρικυμιῶν ἔφθασας Πάτερ, τῇ τοῦ Πνεύματος αὔρᾳ, καὶ τὸ τοῦ φόρτου καλὸν, ἀβρόχῳ ποδί σου διέσωσας, καὶ νῦν ἀπολαύεις τῆς ἐκεῖσε γαλήνης.

Τάφον ὁρῶντες οἱ πιστοὶ, εἰς καινὸν Θυσιαστήριον ληφθέντα. ἐν ᾧ θεῖαι τελοῦνται ὁλοκαυτώσεις Θεοῦ, καὶ ἔνδον νεκρὸν ἱερώτατον, τὸν θαυματουργὸν τὸν Θεὸν ὑπερυψοῦμεν.

Χαίρει τὸ ποίμνιον φαιδρῶς, ἑορτάζει μοναστῶν λαμπρὰ χορεία, καὶ πιστῶν βασιλέων ἡ εὐσεβὴς πορφυρίς, καὶ πᾶσα δυναστῶν ὁμήγυρις, ἐπὶ τῇ σεμνῇ συγκομιδῇ τῶν σῶν λειψάνων.

Θεοτοκίον.

Λόγῳ τὸν Λόγον ἐν γαστρὶ, τὸν τὰ πάντα συστησάμενον τῷ λόγῳ, συλλαβοῦσα ἀσπόρως Θεοκυῆτορ Ἁγνὴ, Παρθένε ὑπὲρ φύσιν τέτοκας, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὠδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ἐπὶ τῇ σῇ πανηγύρει, καὶ τοῖς πόνοις σου Πάτερ, Ἀγγέλων συγχοροῦσα πληθὺς, τὸν ὑπεράγιον Κύριον εὐχαρίστως δοξάζει. καὶ τὴν εἰρήνην ἄνωθεν ἡμῖν, ἐξαιτεῖται τοῖς πίστει τιμῶσί σου τὸ λείψανον.



Digitized by Google

Ἡ τῶν λειψάνων σου χάρις, ὡς [illegible] τὸ ἰατρεῖον, τῇ ἀσθενείᾳ γένοιτο ἡμῖν. καὶ ἡ πρεσβεία πανεύφημε ἱλαστήριον πᾶσι, καὶ πρὸς Θεὸν ὁδὸς καὶ ὁδηγὸς, τοῖς ἐν πίστει καὶ πόθῳ τιμῶσί σε μακάριε.

Νικητικαῖς πανοπλίαις, τοὺς πιστοὺς ἐθωρακίσας, Παντάναξ τῇ χειρί σου Βασιλεῖς, κατὰ Βαρβάρων ἐνίσχυσον. καὶ τὴν σὴν Ἐκκλησίαν, ὡς ἀσφαλῆ κρηπῖδα τῶν πιστῶν, μητρικαῖς σου πρεσβείαις ὀρθοτομοῦσαν φύλαττε. Θεοτοκίον.

Ὡς κραταιὰν προστασίαν, ὡς ἐλπίδα καὶ τεῖχος, καὶ ἄγκυραν καὶ σκέπην ἀσφαλῆ, καὶ ἀπροσμάχητον ἔρεισμα, καὶ ἀχείμαστον ὅρμον, καὶ μόνον καταφύγιον ἁγνὴ, κεκτημένοι σε πάντες σωζόμεθα Παναμώμητε.

Ὁ Εἱρμός. **Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.**
Τὸ φωταγωγικ. τὸ Ἰδιόμ. σὺν τῷ Μαρτ. καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς σύνηθες, καὶ
Ἀπόλυσις.

---

Τῷ αὐτῷ Μηνὶ ΙΔ΄.

**Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Βενεδίκτου.**
Ἑσπέρας εἰς τὸ, **Κύριε ἐκέκραξα**, στιχ. προσόμοια. Ἦχος β΄.
Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Νεύσει, καὶ ἀγάπῃ ἀληθεῖ, Κόσμον ἀρνησάμενος Πάτερ, ἐκ βρέφους Ὅσιε, χαίρων ἠκολούθησας τῷ σταυρωθέντι Χριστῷ, καὶ πολλοῖς ἀγωνίσμασι, τὴν σάρκα νεκρώσας, χάριν τῶν ἰάσεων πλουσίως ἔλαβες, παύειν ἀσθενείας ποικίλας, καὶ τῆς πονηρίας διώκειν, πνεύματα μεγάλως θαυμαζόμενος. Ὅμοιον.

Κόσμος, γεγονὼς τῶν Μοναστῶν, ἤθροισας ἀνείκαστον πλῆθος, ὑμνεῖν τὸν Κύριον, Ὅσιε Πατὴρ ἡμῶν καὶ πρὸς οὐράνιον, πάντας βίον ὡδήγησας, καλῶς ἑπομένους, θείοις σου διδάγμασι, καὶ μιμουμένους σου, βίον τὸν ἐνάρετον μάκαρ. οὓς καὶ πάλιν ἅμα συνῆξας, ἐν τῇ μεταστάσει σου Βενέδικτε. Ὅμοιον.

Πάλαι, ὡς Ἠλίας ὑετοὺς, Πάτερ οὐρανόθεν ἐντάξει, θεία κατήγαγες, βλύζειν δὲ τὸν ἔλαιον τάχος ἐποίησας, καὶ νεκρὸν ἐξανέστησας, καὶ ἄλλα μυρία, θαύματα ἐτέλεσας εἰς δόξαν Ὅσιε, πάντως τοῦ Θεοῦ καὶ σωτῆρος. ὅθεν σου τὴν ἔνθεον μνήμην, πόθῳ ἑορτάζομεν Βενέδικτε.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Στῆσον, τοῦ νοός μου ἐγτροπὰς, καὶ τὰς τῶν αἰσθήσεων πλάνας, καὶ τὰ ἰνδάλματα, τέλεον ἐξάλειψον τῶν ψυχοφθόρων παθῶν, καὶ ψυχῆς μου τὸν τάραχον, κατάπαυσον Κόρη, ἵνα μεγαλύνω σου τὴν ἀγαθότητα. σὲ γὰρ τῆς ζωῆς μου ἁπάσης, κέκτημαι προστάτιν Παρθένε, καὶ τῆς ἀσθενείας σου βοήθειαν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὅτε, ἐν Σταυρῷ σε ἡ ἀμνὰς, ἄρνα τὸν οἰκεῖον ἑώρα, κατακεντούμενον, ἄλλοις ὠλοφύρετο ἐκπληττομένη σφοδρῶς, καὶ δακρύουσα ἔλεγε. πῶς θνήσκεις Υἱέ μου; θέλων τὸ χειρόγραφον τοῦ Πρωτοπλάστου Ἀδὰμ, ῥῆξαι καὶ θανάτου λυτρῶσαι, ἅπαν τὸ ἀνθρώπινον. δόξα, τῇ οἰκονομίᾳ σου φιλάνθρωπε.

Εἰς τὸν στιχ. τὸ Ἰδιόμ. καὶ τὸ Μαρτ. καὶ τὸ Θτ.
Καὶ τὰ λοιπὰ, καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. οἱ Κανόνες τοῦ Ἁγίου, καὶ τοῦ Τριῳδίου εἰς τὴν τάξιν αὐτῶν. τοῦ Ἁγίου ὁ Κανών. Οὗ ἡ ἀκροστιχίς.

**Ὕμνον προσάξει τῷ σοφῷ Βενεδίκτῳ.**
**Ἰωσήφ.**

Ὠδὴ α΄. Ἦχος β΄. Δεῦτε λαοί.

Ὑμνολογεῖν, τὴν ἀξιέπαινον μνήμην σου, προαιρουμένῳ Ὅσιε χάριν δοθῆναί μοι, Βενέδικτε δυσώπει, καὶ πάντων ἐπταισμένων τὴν ἀπολύτρωσιν.

Μοναδικῶς, τὸν σὸν ἐκ βρέφους ἀράμενος, Σταυρὸν κατηκολούθησας τῷ Παντοκράτορι, καὶ νεκρώσας τὴν σάρκα, ζωῆς κατηξιώθης μακαριώτατε.

Νόμῳ Θεοῦ, ὑποκλιθεὶς παμμακάριστε, τὰ τῶν παθῶν σκιρτήματα ἐναπενάρκωσας, ἐγκρατείας ἱδρῶσι, καὶ τὴν τῆς ἀπαθείας χάριν ἐπλούτησας.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Οἱ διὰ σοῦ, τὴν ἀφθαρσίαν πλουτήσαντες, Θεοκυῆτορ πάναγνε χαῖρε βοῶμέν σοι, ἡ κεχαριτωμένη, Ὁσίων καὶ Δικαίων τὸ ἐγκαλλώπισμα.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς.

Ναμάτων ζωτικῶν τοῦ Θείου Πνεύματος, ἐδέχθη Βενέδικτε ἡ ψυχή σου, ποταμοὺς θαυμάτων ἔβλυσε, νοσημάτων ἐξαίροντας ἐπήρειαν.

Πρὸς πλάτος Παραδείσου κατεσκήνωσας, παμμάκαρ τὴν στενὴν ὁδεύσας τρίβον. καὶ Δαιμόνων πανουργεύματα, καὶ πορείας ἀπράκτους ἀναπέδειξας.

Ῥοαῖς σου τῶν δακρύων ἀρδευόμενος, ὡς δένδρον Βενέδικτε καρποφόρον, εὐκαρπίαν θείαν ἤνεγκας, ἀρετῶν καὶ θαυμάτων θείᾳ χάριτι. Θεοτοκίον.

Ὁ μόνος ἀγαθὸς τὴν σὴν σαρκούμενος, ὑπέδυ Παναμώμητε γαστέρα, καὶ βροτὸς ὡράθη τέλειος. ὃν ἱκέτευε σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ Εἱρμός. Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Κάθισμα. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Μονάσας θεαρέστως, ἐναρέτως ἐβίωσας, καὶ χάριν ἰαμάτων, ἐκομίσω Βενέδικτε, θαυμάσια τελέσας φοβερά, Μονὴν συγκροτήσας ἱεράν, προσενήνοχας Χριστῷ, τῶν σωζομένων πληθὺν παμόλβιε. δόξα τῷ σὲ λαμπρύναντι Θεῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Θεοτοκίον. Ὅμοιον.

Τὰς χεῖράς σου τὰς θείας, αἷς τὸν Κτίστην ἐβάστασας, Παρθένε Παναγία, σαρκωθέντα χρηστότητι, προτείνουσα δυσώπησον αὐτόν, λυτρώσασθαι ἡμᾶς ἐκ πειρασμῶν, καὶ παθῶν καὶ τῶν κινδύνων, τοὺς εὐφημοῦντάς σε πόθῳ καὶ βοῶντάς σοι. δόξα τῷ κατοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν σταυρῷ σου προσπαγέντος, ὑπὸ τῶν παρανόμων, καὶ στρατιωτῶν Σῶτερ λόγχῃ τὴν πλευρὰν ὀρυγέντος, ἡ πάναγνος ὠδύρετο πικρῶς, καὶ τὸ πολύ σου καὶ φρικτόν, τῆς ἀνοχῆς ἐξίστατο βοῶσα. δόξα τῇ πρὸς ἀνθρώπους σου στοργῇ, δόξα τῇ σῇ χρηστότητι, δόξα τῷ ἐν τῷ θανάτῳ σου βροτοὺς ἀθανατίζοντι.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„Ὑμνῶ σε ἀκοὴν γὰρ Κύριε, εἰσακήκοα
„καὶ ἐξέστην, ὡς ἐμοῦ ἥκεις γάρ, ἐμὲ
„ζητῶν τὸν πλανηθέντα. διὸ τὴν πολ-
„λήν σου ἀγαθότητα, τὴν εἰς ἐμὲ δοξάζω
„παντοδύναμε.

Ἐσταυρώσας σεαυτὸν τοῖς πάθεσι, καὶ τῷ Κόσμῳ Θεόφρον Πάτερ, τὸν ἐν Σταυρῷ τείναντα, ἐθελουσίως τὰς παλάμας Χριστόν, ἐθεράπευσας Βενέδικτε. ὃν ἐκδυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀγῶσιν ἐγκρατείας Ὅσιε, τῆς σαρκὸς νεκρώσας τὰ μέλη, νεκροὺς ἀνήγειρας, καὶ παρειμένοις εὐδρομίαν πιστῶς, θαυμαζόμενος ἀπένειμας, καὶ πᾶσαν νόσον Πάτερ ἐθεράπευσας.

Ξηράς τε καὶ ἀγόνους Ὅσιε, ἀπειργάσω ψυχὰς γονίμους, τῷ ζωτικῷ λόγῳ σου, καὶ τῶν θαυμάτων ἐπιδείξει Πνευμάτων, Θεοπρόβλητος γενόμενος, καὶ μοναζόντων Κόσμος ὡραιότατος.

Ὡς ὄμβρος ἐπὶ πόκον ἄχραντε, τῇ σεπτῇ σου γαστρὶ ὁ Λόγος κατῆλθε σαρκούμενος, καὶ ἔπαυσε πολυθείας σαφῶς. τὰ ὀμβρήματα Πανάμωμε, καὶ τὸν πικρὸν χειμῶνα διεσκέδασε.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Τὸν ἐν ἐλέει Θεόν, ἐκδυσωπῶν Πάτερ σοφὲ ἔπλησας, ὡς Ἠλιοῦ καμψάκην ἐλαίου, τὸ τάχος παμμάκαρ, ὑπὸ τῶν ὁρώντων πιστῶς θαυμαζόμενος.

Ὡς καθαρὸς τὴν ψυχήν, ὡς ἐν ἐκστάσει γεγονὼς ἔβλεψας, πᾶσαν τὴν γῆν, ὡς ὑπὸ ἀκτῖνα λαμπόμενος μίαν, Θεοῦ σε τιμῶντος παμμάκαρ Βενέδικτε.

Δημιουργῶν ἐν Χριστῷ, ὕδωρ πηγῆς τῆς δι' εὐχῆς ἔβλυσας, ἐκδυσωπῶν τὸν ἀγαθοδότην. ὅπερ διαμένει, ἐπανακηρύττον τὸ θαῦμα Βενέδικτε.



Digitized by Google

Θεοτοκίον.

Ὁ κατοικῶν Οὐρανοὺς, τὴν σὴν παράμωμον νηδὺν ᾤκησεν, ὅπως ἡμᾶς οἴκους τῆς Τριάδος ἀναποτελέσῃ, τοὺς σὲ Θεοτόκον κηρύττοντας ἄχραντε.

Ὠδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Φωταυγείαις λαμπόμενος Πνεύματος, σκότος πονηρῶν τε δαιμόνων ἐμείωσας, θαυματουργὲ Βενέδικτε, μοναζόντων φωστὴρ διαυγέστατε.

Ὡς περίδοξος μάκαρ ὁ βίος σου, ὡς περιφανὴς ἡ σεπτὴ πολιτεία σου, δι᾽ ἧς ἀγέλας εἵλκυσας, μοναζόντων πρὸς γνῶσιν σωτήριον.

Βασιλείας οἰκήτωρ γενόμενος, τῆς ἐπουρανίου Θεόφρον Βενέδικτε, ταύτης τυχεῖν ἱκέτευε, τοὺς πιστῶς σε ἀεὶ μακαρίζοντας.

Θεοτοκίον.

Ἐκ γαστρός σου ἁγίας ἀνέτειλε, τῆς δικαιοσύνης ἀνέσπερος Ἥλιος, καὶ τοὺς πιστοὺς ἐφώτισε, Θεοτόκε Παρθένε πανύμνητε.

Ὁ Εἱρμός. Ἐν ἀβύσσῳ πταισμάτων.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΙΔ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Βενεδίκτου.

Στίχος. Ἄγξας λογισμοῖς ὡς χαλινοῖς πᾶν πάθος,
Ζωῆς χαλινοὺς Βενέδικτος ἐκπτύει.

Οὗτος τῇ Ἑλλάδι γλώττῃ Εὐλογημένος ἑρμηνεύεται. ἦν δὲ ἐκ τῆς Ῥωμαίων γῆς, ἐκ Χώρας λεγομένης Νουρσίας, γονέων εὐσεβῶν καὶ πλουσίων. Καταλείψας δὲ τὴν ἑαυτοῦ οἰκίαν, καὶ τοὺς γεννήτορας, καὶ τὴν πατρικὴν περιουσίαν, ἐν πάνυ μικρᾷ τῇ ἡλικίᾳ καὶ ἀτελεῖ, ἔρημον τινὰ τόπον μετὰ τῆς τροφοῦ καταλαμβάνει. ἔνθα δι᾽ ἀρετῆς καὶ ἀσκήσεως προσοικειώσας ἑαυτὸν τῷ Θεῷ, θαυμάτων παρ᾽ αὐτοῦ δύναμιν ἐπλούτησε καὶ ἰάσεων· καὶ τὰς μὲν ἄλλας τῶν παραδοξοποιιῶν διεξοδικώτερον ἡ κατ᾽ αὐτὸν Ἱστορία δηλοῖ, δι᾽ ὧν παντοῖα κατειργάσατο θαύματα, καὶ νεκροὺς ἀνιστῶν, καὶ τὰ μέλλοντα προλέγων, καὶ περὶ τῶν ἀπόντων ὡς παρόντων διαλεγόμενος. Ἐκεῖνο δὲ χρὴ προσειπεῖν ἀναγκαῖον, ὅτι μέλλοντος αὐτοῦ πρὸς Κύριον ἐκδημεῖν, προλαβὼν ἐμήνυσε τοῖς τότε συνοῦσιν αὐτῷ μαθηταῖς, καὶ τοῖς ἐκ μήκους οὖσιν, οἷς ἐμήνυσεν, ὅτι καὶ σημεῖόν τι γενήσεται, δι᾽ οὗ γνώσονται πάντες, ὅτι αὐτὸς χωρίζεται ἐκ τοῦ σώματος. Πρὸ οὖν ἓξ ἡμερῶν τῆς ὁσίας αὐτοῦ κοιμήσεως, ἀνοιγῆναι τὸ ἑαυτοῦ μνημεῖον ἐκέλευσε, καὶ εὐθέως λαυροτάτῳ πυρετῷ κατεσχέθη, ὑφ᾽ οὗ ἐπὶ ἓξ ἡμέρας τὸ σῶμα αὐτοῦ κατεφρύγετο. ἐν δὲ τῇ ἕκτῃ ἡμέρᾳ, ἐκέλευσε τοῖς ἑαυτοῦ μαθηταῖς ἆραι αὐτὸν, καὶ ἀπενεγκεῖν εἰς τὸ εὐκτήριον. Ἀπενεχθεὶς οὖν ἐκεῖ, καὶ τῶν ἀχράντων μεταλαβὼν Μυστηρίων, ἐν μέσῳ τῶν μαθητῶν ἔσω, καὶ διαβασταζόμενός τε καὶ στηριζόμενος, ὕψωσε τὰς χεῖρας εἰς Οὐρανὸν, καὶ οὕτως ἄνω ἀτενίζων καὶ προσευχόμενος, τὴν ἡγιασμένην ἀφῆκε ψυχήν. Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ δυσὶν Ἀδελφοῖς, τῷ μὲν ἡσυχάζοντι ἐν τῷ ἑαυτοῦ κελλίῳ, τῷ δὲ ἑτέρῳ μήκοθεν οἰκοῦντι, ὅρασις ὁμοία ἐφάνη. Εἶδον τοίνυν ἑκάτεροι, καὶ ἰδοὺ ὁδός τις θαυμαστὴ ἀπὸ τοῦ κελλίου τοῦ Ὁσίου μέχρι τοῦ Οὐρανοῦ πρὸς ἀνατολὰς ἀνετείνετο, ἐκ λαμπρῶν τιμίων ἱματίων σηρικῶν ἐστρωμένη ὅλη. ἐν αὐτῇ δὲ καί τινες ἄνδρες ἐξαίσιοι, λαμπάδας κατέχοντες, καὶ ἐνορδίνως βαστάζοντες ἀνήρχοντο. ἀνὴρ δέ τις ἕτερος λευχείμων, καὶ αὐτὸς φωτοειδὴς πλησίον αὐτοῦ ἑστηκὼς, ἠρώτα τούτους εἰ τὴν ὁδὸν ταύτην, ἣν καθορῶσι θαυμάζοντες, ἐπίστανται, τίνος ἐστί. τῶν δὲ ἀγνοεῖν εἰπόντων, ἔφη ὁ φανείς. αὕτη ἐστὶν ἡ ὁδὸς, δι᾽ ἧς ὁ Θεοῦ ἀγαπητὸς Βενέδικτος εἰς Οὐρανοὺς ἀνέρχεται. Ἐν ἑαυτοῖς οὖν γενόμενοι τῶν ὁρώντων ἑκάτερος, συνῆκαν τὴν τοῦ Ἁγίου Ἀνδρὸς τελείωσιν, καθάπερ ὄντες καὶ ὁρῶντες αὐτὸν τελειούμενον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀλεξάνδρου, τοῦ ἐν Πίδνῃ.

Στ. Μὴ τοὺς στεφάνους ζημιωθῆναι φέρων,
Φέρει κεφαλῆς Ἀλέξανδρος ζημίαν.
Κόψαν Ἀλεξάνδροιο κάρα δεκάτῃ γε τετάρτῃ.

Οὐ-

Digitized by Google

Οὗτος ἐν σκοτομήνῃ τῆς πλάνης, ἀναλάμψας οἷά τις πολύφωτος Ἀστὴρ, καὶ τὴν μανίαν τῶν δυσσεβῶν διήλεγξε, καὶ τὸν κατεπαιρόμενον ἀντίπαλον, ὡς βέλεσι ταῖς ῥήμασι κατέτρωσε, καὶ πᾶσαν πλάνην κατέβαλε, παῤῥησίᾳ τὸν Χριστὸν κηρύξας. ὅθεν οἱ τῇ πλάνῃ προσεστηκότες, τὴν παῤῥησίαν αὐτοῦ καὶ ἀνδρείαν μὴ ἐνεγκόντες, ποικίλαις μαγγανείαις ἐπειρῶντο τὸ εὔτομον αὐτοῦ καταβαλεῖν· καὶ μὴ ἰσχύσαντες, ἀποτέμνουσι ξίφει τὴν αὐτοῦ κεφαλήν. ὁ δὲ Θεὸς χαρίσμασιν αὐτὸν ἰαμάτων ἀνταμείβεται. ἅπασαν γὰρ νόσον πονηρὰν ἀπελαύνει ἀπὸ τῶν πίστει προσιόντων αὐτῷ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Εὐσχήμονος, Ἐπισκόπου Λαμψάκου.

Στίχ. Πρὸ τοῦ θανεῖν Εὐσχήμος εἶπεν ἂν Παῦλος,
Εὐσχημόνως ὥδευσεν ὡς ἐν ἡμέρᾳ.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

„ Ῥήτορες ἀνεδείχθησαν Παῖδες, φιλο-
„ σοφώτατοι ποτέ. ἐκ Θεολήπτου
„ ψυχῆς γὰρ, θεολογοῦντες χείλεσιν ἔμελ-
„ πον. ὁ ὑπέρθεος τῶν Πατέρων, καὶ ἡ-
„ μῶν Θεὸς εὐλογητὸς εἶ.

Νέκρωσιν ζωηφόρον ἐκτήσω, καὶ τῶν ἡδονῶν τὴν ἀποχήν. ὅθεν νεκροὺς ἐξεγείρειν, κατηξιώθης παμμάκαρ Βενέδικτε, θαυμαζόμενος ὑπὸ πάντων τῶν πιστῶν, ὡς Ἠλίου ὁ μέγας.

Εἰργάσω τοῖς Ὁσίοις σου πόνοις, μάνδραν ἀπείρων Μοναστῶν. ἥτις ἀεὶ διαμένει, τειχιζομένη ταῖς προστασίαις σου ἀξιάγαστε, πειθομένη τοῖς καλῶς ὑπὸ σοῦ τυπωθεῖσι.

Δόξαντες θανατῶσαι ἀφρόνως, μάκαρ φαρμάκοις πονηροῖς σὲ τὸν φρουρούμενον θείᾳ τοῦ Παντουργοῦ παλάμῃ, οἱ ἄφρονες κατῃσχύνθησαν, φωραθέντες τῇ ἐν σοὶ τοῦ Πνεύματος προγνώσει. Θεοτοκ.

Ἴασαι τῆς ψυχῆς μου τὰ πάθη, τῆς ἀπαθείας τὴν πηγὴν, ἡ συλλαβοῦσα Παρθένε, καὶ καταψύξεως ὄμβρους παράσχου μοι, προξενοῦντας μοι τὴν παράκλησιν ἐκεῖ, Ἁγία Θεοτόκε.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„ Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων
„ τοῖς Παισὶ συγκαταβάντα, καὶ τὴν
„ φλόγα εἰς δρόσον μεταβαλόντα Θεὸν, ὑ-
„ μνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦ-
„ τε εἰς πάντας τοὺς αἰῶνας.

Κατὰ παθῶν φθοροποιῶν, βασιλεύσας ἐν Χριστῷ Θεόφρον Πάτερ, Οὐρανῶν Βασιλείαν, κατηξιώθης οἰκεῖν σὺν πᾶσι τοῖς καλῶς βιώσασι, καὶ τὸν παντεπόπτην Θεὸν ἠγαπηκόσι.

Τὰς σὰς ἁγίας προσευχὰς, προσδεχόμενος Θεὸς τοῖς ἐνδεέσι, διὰ σοῦ ἐχορήγει τὰς πρὸς τὸ ζῆν ἀφορμὰς, μεγάλως ἐπὶ γῆς δοξάζων σε, ταῖς θαυματουργίαις Βενέδικτε τρισμάκαρ.

Ὡραιωθεὶς ταῖς καλλοναῖς, τῶν ἐνθέων ἀρετῶν πρὸς τοὺς ἐνθέους, μετετέθης νυμφῶνας Πάτερ συνεῖναι Θεῷ, καὶ τούτου θείας ὡραιότητος, εἰς τοὺς ἀπεράντους αἰῶνας ἀπολαύεις. Θεοτοκίον.

Ἰδοὺ γεγένηται ἐκ σοῦ, Ἡσαΐας ἐμφανῶς Ἁγνὴ ἐβόα, ὁ Υἱὸς τοῦ ὑψίστου, καὶ σὸς ὁρᾶται Υἱὸς, Παρθένε Υἱοὺς ἐργαζόμενος, τοῦ ἐπουρανίου Πατρὸς τοὺς σὲ ὑμνοῦντας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„ Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν ἀῤῥή-
„ τῳ σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν
„ Ἀδὰμ, βρώσει φθορᾷ πεπτωκότα δει-
„ νῶς, ἐξ Ἁγίας Παρθένου, ἀφράστως
„ σωματούμενον Θεὸν, οἱ πιστοὶ ὁμοφρό-
„ νως ἐν ὕμνοις μεγαλύνομεν.

Ὡς Ἥλιος μέγας, καταυγάζων τὴν Κτίσιν, σημείοις Θεοφόρε φοβεροῖς, καὶ ἀρετῶν ἀναλάμψεσι. διὰ τοῦτο τελοῦμεν τὴν μνήμην σου τὴν ὄντως φωταυγῆ, φωτιζόμενοι Πάτερ καρδίας αἰσθητήρια.

Σὲ μοναζόντων ἀγέλαι, ὑπὸ σοῦ κροτηθεῖσαι, ἡμέρας εὐφημοῦσι καὶ νυκτὸς, μέσον τὸ σῶμά σου ἔχοντες, ἀναβλύζον πλουσίως θαυμάτων ποταμοὺς, Πάτερ σοφὲ,



Digitized by Google

φὲ, καὶ φωτίζου τὰ τούτων ἀπαύστως διαβήματα.

Ηλιακῶν λαμπηδόνων, ὑπερήστραψας Πάτερ, τελέσας τοῦ Θεοῦ τὰς ἐντολὰς, καὶ πρὸς τὸ φῶς τὸ ἀνέσπερον μετετέθης πρεσβείων, δοθῆναι ἱλασμὸν ἁμαρτιῶν, τοῖς πιστῶς σε τιμῶσιν, ἀοίδιμε Βενέδικτε. Θεοτοκίον.

Φωτοκυῆτορ Παρθένε, τῆς ψυχῆς μου τὰ νέφη, ἀπέλασον καὶ δίδου καθαρῶς, προσενοπτρίζεσθαι Δέσποινα, τὸ σωτήριον κάλλος, τοῦ λάμψαντος ἀρρήτως ἐκ τῆς σῆς, παναγίας νηδύος, εἰς φῶς Ἐθνῶν παντύμνητε.

Τὸ Φωταγωγικ. εἰς τὸν Στίχ. τὸ Ἰδιόμελον τῷ Μαρτυρικῷ. Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς συνήθες, καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ ΙΕ΄.

### Τῶν Ἁγίων Μαρτύρων, Ἀγαπίου, καὶ τῶν σὺν αὐτῷ.

Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, γ΄. πρόσομοια. Ἦχος Πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Μάρτυρες Χριστοῦ ἑπτάριθμοι, τῶν διωκτῶν τὰς ὁρμὰς, καὶ τὸν βίαιον θάνατον, εἰς οὐδὲν ἡγήσασθε, ἀλλ᾽ ἑτοίμως ἐσπεύσατε, ἀνδρειοφρόνως πρὸς τὰ παλαίσματα, καὶ νίκης κλέος ἀναδυσάμενοι, συνηριθμήθητε, τοῖς δικαίοις ἅπασι. μεθ᾽ ὧν ὑμᾶς, πάντοτε γεραίρομεν καὶ μακαρίζομεν. Ὅμοιον.

Μάρτυς ἀθλητὰ Ἀγάπιε, τῶν ἀγαθῶν τὴν πηγὴν, ὀρεκτῶν τὸ ἀκρότατον, ἀγαπήσας ἔσπευσας, καὶ πιεῖν τὸ ποτήριον, τοῦ μαρτυρίου ἐπικαλούμενος, Θεοῦ τοῦ ζῶντος τὸ θεῖον ὄνομα. ὢ τῆς ἀνδρείας σου, ὢ τῆς καρτερίας σου δι᾽ ἧς τυχεῖν, δόξης καὶ λαμπρότητος σαφῶς ἠξίωσαι. Ὅμοιον.

Μάρτυρες ἀξιοθαύμαστοι, ἐθελουσίῳ σφαγῇ, ἑαυτοὺς ἐξεδώκατε, καὶ τὴν γῆν τοῖς αἵμασι, τοῖς ἡμῶν ἡγιάσατε, καὶ τὸν αἰθέρα κατελαμπρύνατε, τῇ διαβάσει, καὶ νῦν οἰκίζεσθε, εἰς τὰ Οὐράνια, πρὸς φῶς τὸ ἀνέσπερον ὑπὲρ ἡμῶν, πάντοτε δεόμενοι Θεοειδέστατοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε φωτὸς θεῖον ὄχημα, χαῖρε Κυρίου Ναὲ, καὶ σκηνὴ ἁγιάσματος, φῶς ἡμῖν ἀνέτειλας, ἐξ ἀχράντου νηδύος σου, καταφωτίζον Κόσμου τὰ πέρατα, καὶ ἁγιάζον ἡμᾶς χρηστότητι. χαῖρε κεφάλαιον, σωτηρίας ἄχραντε, χαῖρε φρικτὸν, ἄκουσμα καὶ λάλημα, τῶν πεποιθότων εἰς σέ.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἥλιος Τέκνον ἠμαύρωσε, καὶ ἡ σελήνη τὸ φῶς, εἰς ζοφῶδες ἱμάτιον, ζοφερῶς μετέβαλε, γῆ κλονεῖται καὶ ῥήγνυται, τὸ τοῦ Ναοῦ δὲ καταπέτασμα, κἀγὼ πῶς Τέκνον οὐ διαρρήξομαι, σπλάγχνα καὶ ὄμματα, παρειὰς γλυκύτατε καταξαινῶ, ἀδίκως σε θνήσκοντα βλέπουσα Σῶτέρ μου;

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη Στιχολογίαν οἱ Κανόνες.

Ὁ Κανὼν τῶν Ἁγίων.

Οὗ ἡ ἀκροστιχίς.

Ἑπτὰ προσάξω Μάρτυσι μελῳδίαν.

Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄. Ὁ Εἱρμός.

„ Ἄισωμεν τῷ Κυρίῳ, τῷ διαγαγόντι
„ τὸν λαὸν αὐτοῦ ἐν ἐρυθρᾷ θαλάσ-
„ σῃ, ὅτι μόνος ἐνδόξως δεδόξασται.

Ἐν τοῖς ἐπουρανίοις, Μάρτυρες ὑπάρχοντες σκηνώμασι, τοὺς ὑμᾶς ἀνυμνοῦντας, ἐπὶ γῆς φωτισμοῦ ἀξιώσατε.

Πύργοι τῆς Ἐκκλησίας, ὤφθητε τὰ τείχη καταστρέφοντες, τῆς Εἰδωλομανίας, Ἀθλοφόροι Χριστοῦ γενναιότατοι.

Τετρωσαι τῇ ἀγάπῃ, Μάρτυς ἀξιάγαστε Ἀγάπιε, τοῦ Δεσπότου τῶν ὅλων, καὶ θανεῖν δι᾽ αὐτὸν προεθύμησας.

Θεοτοκίον.

Αἴγλη φαεινοτάτη, τοῦ ἐκ σοῦ Παρθένε ἀνατείλαντος, τῆς ψυχῆς μου τὰς κόρας, φωταγώγησον ὅπως δοξάζω σε.



Digitized by Google

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„ Οὐκ ἔστιν Ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔ-
„ στι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν, ὃν ὑ-
„ μνεῖ πᾶσα κτίσις, οὐκ ἔστι δίκαιος πλὴν
„ σοῦ Κύριε.

Πυρὶ ἀναπτόμενος, τῆς ἀγάπης τοῦ Χριστοῦ, τὴν πυρὰν ἐναπέσβεσας, Μάρτυς Ἀγάπιε, τῆς Εἰδωλομανίας, ῥοαῖς τῶν αἱμάτων σου. ὅθεν ἀφημνοῦμέν σε.

Ῥομφαίαι ὡράθητε, διακόπτουσαι μυριάδας μακάριοι. Δαιμόνων ἐν χάριτι, καὶ νῦν ταῖς μυριάσιν, ἡνώθητε χαίροντες, τῶν νοερῶν Δυνάμεων.

Ὁδὸν διανύοντες, Μαρτυρίου ἀνδρικῶς, ἀποθέσει τοῦ Πνεύματος, τὴν ἄνω ἐφθάσατε Βασιλείαν, ἐν ἥπερ ἐκέκτησθε, Μάρτυρες θεῖοι τὸ πολίτευμα. Θτ.

Σαρκὸς ὁμοιώματι ἐμφανισθέντα, ἐκ τῆς φωτοφόρου νηδύος, τὸν Κτίστην ἐπέγνωμεν διὰ σπλάγχνα ἐλέους, ἡμῖν τοῖς ὑμνοῦσί σε, Μῆτερ Ἀειπάρθενε.

Κα. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ἑπτάριθμος χορὸς, τῶν Μαρτύρων ὑμνείσθω. αὐτοὶ γὰρ τὴν ἡμῶν ἐκδιώκουσι βλάβην, ὡς φύλακες τῆς Πίστεως, Ἐκκλησίας προπύργια. οὗτοι φάλαγγας ἀποσοβοῦσι Δαιμόνων, καὶ πρεσβεύουσιν ὑπὲρ ἡμῶν τὸν Δεσπότην, εἰρήνην βραβεύοντες.

Θεοτοκίον. Ὅμοιον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς καὶ μετὰ τόκον ὀφθεῖσαν, οἱ πόθῳ καταφεύγοντες πρὸς τὴν σὴν ἀγαθότητα. σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Παναμώμητον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἄσπιλος Ἀμνὰς, τὸν Ἀμνὸν καὶ Ποιμένα, κρεμάμενον νεκρὸν ἐπὶ ξύλου ὁρῶσα, θρηνοῦσα ἐφθέγγετο μητρικῶς ἀλαλάζουσα, πῶς ἐνέγκωσι τὴν ὑπὲρ λόγον Υἱέ μου, συγκατάβασιν, καὶ τὰ ἑκούσια Πάθη, Θεὲ ὑπεράγαθε.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„ Ἐξ ὄρους κατασκίου Λόγε ὁ Προφήτης,
„ τῆς μόνης Θεοτόκου μέλλοντος σαρ-
„ κοῦσθαι. Θεοπτικῶς κατανοήσας, κατὰ φό-
„ βῳ τρόμῳ ἐδοξολόγει σου τὴν δύναμιν.

Ἀγαπῶν τὸν Χριστὸν Ἀγάπιε ποθήσας, πάθη τὰ αὐτοῦ ἀνδρείως ἐμιμήσω, σφαγιασθεὶς ὡς ἀρνίον ἐθελουσίως, Μεγαλομάρτυς ἀξιάγαστε.

Ζίφει ἑαυτοὺς ἐκδόντες ὁλοψύχως, μάρτυρες σοφοὶ ῥανίσι τῶν αἱμάτων, ἐπορφυρώσατε χλαῖναν ἣν στολισθέντες, τοὺς Οὐρανοὺς περιπολεύετε.

Ὡς τῆς πρὸς Θεὸν ὑμῶν θερμῆς ἀγάπης, δι' ἧς ἑαυτοὺς ἠρνήσασθε τελείως, καὶ βιαιότατον θάνατον ὑποστάντες, ἀθανασίας ἠξιώθητε. Θεοτοκίον.

Μύρον ἐν γαστρὶ τὸν Λόγον ὑπεδέξω, ἄχραντε Ἁγνὴ τὸν Κόσμον δυσωδίας, ἀποκαθαίροντα πάσης τῶν ἐπταισμένων. ὅθεν πιστῶς σε μακαρίζομεν.

Ὠδὴ έ. Ὁ Εἱρμός.

„ Ὁ ἐκ νυκτὸς ἀγνοίας, Θεογνωσίᾳ φαι-
„ δρύνας τὰ σύμπαντα, φώτισόν με
„ πρὸς ὄρθρον τῆς δοξολογίας σου Κύριε.

Ἀγαπητὸς τῇ κλήσει, ὡς καὶ τῇ πράξει γενόμενος ἤθλησας ἐνδόξε, δι' ἀγάπην τοῦ παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Ῥῆμα δεινοῦ Τυράννου, ἐξεφαυλίσατε Ἅγιοι Μάρτυρες, καὶ Χριστῷ στρατευθέντες, φάλαγγας Δαιμόνων ὠλέσατε.

Τοῖς ἱεροῖς ἀγῶσι, καταβαλόντες ἀνόμων τὸ φρύαγμα, στέφος ἀθανασίας, Μάρτυρες Χριστοῦ ἀνεδήσασθε. Θτ.

Ὑμνολογίαις θείαις, τὴν Θεοτόκον πιστοὶ μακαρίσωμεν, χαῖρε λέγοντες πύλη, ἣν μόνος διώδευσε Κύριος.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Σὺν Ἀλεξάνδροις δυσὶ, Διονυσίοις τε μέλψωμεν, Ἀγάπιον τὸν κλεινὸν, Τιμόλαον Ῥώμυλον, στεῤῥῶς ἐναθλήσαντας, καὶ τὰς μυριάδας, τοῦ ἐχθροῦ καταπαλαίσαντας.

Ἰάσεων ποταμοὺς, ἀναπηγάζοντες Μάρτυρες, τὰ πάθη τῶν γηγενῶν, ἐνθέως καθαίροντες. διὰ τοῦτο χαίροντες, τὰ ὑμῶν ἐν πίστει, ἀφημνοῦμεν προτερήματα.



Digitized by Google

Νομίμως τὸν ἱερὸν, ἀγῶνα διατελέσαντες, νομίμως πανηγυρικῇ, παλάμῃ ἐστέφθητε, ἑπτάριθμοι Μάρτυρες, Οὐρανοπολῖται, τῶν Ἀγγέλων ἰσοστάσιοι.

Θεοτοκίον.

Μαράνασα τὰ φυτὰ, τῆς ἀθείας πανάμωμε, τῷ σῷ Ἁγίῳ Φυτῷ, τὴν ἀναβλαστάνουσαν, ἐν ἐμοὶ ἑκάστοτε, τοῦ ἐχθροῦ κακίαν, ἀπομείωσον Θεόνυμφε.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΙΕ΄. Τοῦ Ἁγίου Μάρτυρος Ἀγαπίου, καὶ τῶν σὺν αὐτῷ, Πουπλίου, Ῥωμύλου, Τιμολάου, Ἀλεξάνδρων δύω, καὶ δύω Διονυσίων.

Στ. Ἔσπευδεν Ἀγάπιος εἰς Μαρτυρίαν.
Θεοῦ γὰρ αὐτὸν ὑπέθαλπεν ἀγάπη.
Μετὰ τριῶν Πούπλιος ἐκτμηθεὶς ξίφει.
Θεοῦ σὺν αὐτοῖς ἵσταται νῦν πλησίον.
Πέμπτῃ καὶ δεκάτῃ τμήθη Ἀγάπιος ἑταῖρος.

Οὗτοι ὑπῆρχον κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ. ὁ μὲν Ἀγάπιος ἀπὸ τῆς Πόλεως Γάζης, Τιμόλαος δὲ ἐκ τοῦ Πόντου, οἱ δὲ δύω Διονύσιοι ἐκ Τριπόλεως τῆς ἐν Φοινίκῃ, ὁ δὲ Ῥώμυλος ὑποδιάκονος ἦν τῆς ἐν Διοσπόλει Ἐκκλησίας. ὁ δὲ Πούπλιος, καὶ οἱ δύω Ἀλέξανδροι ἐξ Αἰγύπτου ἐτύγχανον. οὗτοι πρῶτον μὲν τὰς ψυχὰς τῷ πρὸς Χριστὸν πόθῳ συνδήσαντες, ἔπειτα δὲ τὰς χεῖρας ὑποβαλόντες κλοιοῖς, Οὐρανῷ τῷ τῆς Καισαρείας Ἡγεμόνι προσῆλθον, Χριστιανοὺς ἑαυτοὺς προσαγγέλλοντες. Ὁ δὲ μήτε ἀπειλαῖς, μήτε κολακείαις χαυνῶσαι αὐτοὺς δυνηθεὶς, ἢ τῆς εἰς Χριστὸν Πίστεως ἀποστῆσαι, ξίφει τὰς κεφαλὰς αὐτῶν ἀποτμηθῆναι προσέταξε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἀποστόλου Ἀριστοβούλου, Ἐπισκόπου Βρετανίας, Ἀδελφοῦ Βαρνάβα τοῦ Ἀποστόλου.

Οὗτος ἦν εἷς τῶν ἑβδομήκοντα Μαθητῶν. ἠκολούθησε δὲ τῷ Ἁγίῳ Ἀποστόλῳ Παύλῳ, κηρύττων τὸ Εὐαγγέλιον εἰς πᾶσαν τὴν Οἰκουμένην, διακονῶν αὐτῷ, ὑφ' οὗ καὶ χειροτονεῖται Ἐπίσκοπος εἰς τὴν τῶν Βρετανῶν Χώραν, ἀγρίων ἀνθρώπων καὶ ὠμοτάτων. Παρ' ὧν ποτὲ μὲν τυπτόμενος, ποτὲ δὲ καὶ κατὰ τῆς ἀγορᾶς συρόμενος, πολλοὺς ἔπεισε τῷ Χριστῷ προσελθεῖν. ὅθεν καὶ Ἐκκλησίας συστησάμενος, καὶ Πρεσβυτέρους, καὶ Διακόνους ἐν αὐτῇ καταστήσας, ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Νικάνδρου τοῦ ἐν Αἰγύπτῳ.

Στ. Νίκανδρον ἐκδαίρουσιν, ὥσπερ ἀρνίον.
Χεῖρας βαλόντες οἱ μάγειροι τῆς πλάνης.

Καὶ οὗτος ὁ Ἅγιος ἐπὶ τῆς βασιλείας ἦν Διοκλητιανοῦ. τῇ εὐσεβείᾳ δὲ συντεθραμμένος, καὶ τῇ τῶν Μαρτύρων ἀγάπῃ συνδεδεμένος, ἔργον εἶχε τὰ τούτων λείψανα κρυφίως αἴρειν, καὶ σεβασμίως καὶ ἐντίμως καταστέλλειν. καί ποτε ἰδὼν τὰ τῶν Ἁγίων λείψανα ἐρριμμένα οὕτω, καὶ ἀνεπιμέλητα, νυκτὸς ἀνελθὼν καὶ ἀνελόμενος ταῦτα, κατέθετο ἔν τινι τόπῳ ὁσίως τε καὶ κοσμίως. Θεαθεὶς δὲ ὑπό τινος τῶν Εἰδωλολατρῶν, διεβλήθη τῷ Ἄρχοντι. καὶ κρατηθεὶς, καὶ παῤῥησίᾳ τὸν Χριστὸν κηρύξας Θεὸν ἀληθινὸν, τὴν δορὰν ἀφαιρεθεὶς, τὸν τοῦ Μαρτυρίου στέφανον ἐκομίσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Μενίγγου τοῦ Κναφέως.

Ἐπὶ τῆς βασιλείας Δεκίου, διωγμὸς μέγας γέγονε κατὰ τῶν Χριστιανῶν. Τότε ὁ τὴν Ἐπαρχίαν τῆς Ἀσίας διέπων, λοιμὸς ἦν αὐτόχρημα, καὶ τὴν γνώμην θηριώδης. Κατῄει οὖν ἐπὶ τὴν παράλιον, καὶ ὅσους εὗρε Χριστιανοὺς, πάντας μαστιγῶν, καὶ τῷ ξύλῳ ἀσφαλισάμενος, σκοτεινῇ καθεῖρξεν εἱρκτῇ. νυκτὸς δὲ καταλαβούσης, μιᾷ φωνῇ πρὸς τὸν Θεὸν ἐβόησαν, λέγοντες· Δέσποτα Κύριε, ὁ τὸν Κορυφαῖόν σου Πέτρον ποτὲ δι' Ἀγγέλου λύσας τῶν δεσμῶν καὶ τῆς φυλακῆς, καὶ ἐξαγαγὼν ἀψοφητὶ, αὐτὸς, καὶ νῦν ἐφ' ἡμᾶς ἐξαπόστειλον τὴν βοήθειάν σου, καὶ ἐξελοῦ ἡμᾶς ἐκ τῆς συνεχούσης στρεβλώσεως καὶ φυλακῆς ζοφώδους, ἵνα γνῶσι καὶ οὗτοι οἱ τὸ σὸν ὄνομα ἀθετοῦντες, ὅτι σὺ εἶ μόνος Θεὸς καὶ Βασιλεὺς αἰώνιος. Ταῦτα αὐτῶν προσευξαμένων, ἐπέστη ὁ τῶν ἐκδικήσεων Κύριος, καὶ φωτὸς τὴν φυλακὴν περιαστράψαντος, ἀπελά-

θη-

Digitized by Google

θη τὸ σκότος. καὶ θαρσεῖτε εἰπόντος, καὶ μὴ φοβεῖσθε, μεθ' ὑμῶν γάρ εἰμι, εὐθέως πάντων τὰ δεσμὰ, ὡσεὶ κηρὸς διελύθησαν, καὶ ἡ φυλακὴ αὐτομάτως ἠνεώχθη. καὶ ὁ Κύριος προσθεὶς, πορεύεσθε ἐκ τῶν ὧδε, κηρύττοντες πανταχοῦ τὴν ἐμὴν δυναστείαν. Οὗτος μὲν οὖν εἰς Οὐρανοὺς ἄνεισιν, οἱ δὲ τῆς φυλακῆς ἐξίεσαν. καὶ πρωΐας ἐλθόντες οἱ τῆς τάξεως πάντες, ὡς εἶδον σώας μὲν τὰς σφραγῖδας τῆς φυλακῆς, ἐντὸς δὲ μηδένα εὑρόντες, ἐξέστησαν, καὶ ἐξιόντων, ὢ τῆς βίας ἐβόων, ὁ Ναζωραῖος Χριστὸς ἐλθὼν νυκτὸς, ἔκλεψε τοὺς δεσμίους. καὶ οἱ μὲν ἐθαύμαζον ἐπὶ τῷ γεγονότι, οἱ δὲ κατεγέλων τοὺς φύλακας. Ταῦτα ἀκούσας ὁ μακάριος Μένιγγος, πλήρης γέγονε πίστεως καὶ ἀγάπης. κναφεὺς γὰρ ὢν, καὶ τὸν ῥύπον τῶν ἱματίων αὐτοῦ ποτε ἐν ποταμῷ ἀποπλύνων, ἤκουσε φωνῆς λεγούσης αὐτῷ. Μένιγγε, ἐλθὲ, καὶ δώσω σοι χάριν πολλήν. Ἔμφοβος δὲ γενόμενος, ἐταράχθη, καὶ μετὰ μικρὸν κύψας, εἰργάζετο. καὶ πάλιν φωνὴ πρὸς αὐτόν· Μένιγγε, ἐλθὲ πρός με, ὅπως θεάσῃ τὰ ἀποκείμενα ἀγαθὰ τοῖς ἀγαπῶσι τὸ ἐμὸν ὄνομα. Ὁ δὲ Μένιγγος μὴ προσθεὶς ἑτέρας ἀκοῦσαι φωνῆς, ἀπελθὼν, δέδωκεν εὐθὺς ὅσα κατεῖχεν ἀλλότρια ἱμάτια, καὶ ἡτοίμαζεν ἑαυτὸν ἐκδεχόμενος τὸν Ἄρχοντα. Καὶ μεθ' ἡμέρας τινὰς καταλαβόντος τοῦ Ἄρχοντος τὸν τόπον, καὶ προκαθήσαντος ἐπ' ἀκροάσει τῶν συνελθόντων, τὸ τοῦ βασιλέως περὶ τοῦ δόγματος ὑπανεγίνωσκε πρόσταγμα, Τότε ὁ θεῖος οὗτος Μένιγγος, θάρσους πλησθεὶς, μέσον εἰσπηδήσας, καὶ τὰ τοῦ βασιλέως ἁρπάσας γράμματα ἐκ τῶν χειρῶν τοῦ Ἄρχοντος, καὶ εἰς λεπτὰ κατακόψας, κατεπάτησεν εἰπών· τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ μου, ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσομαι, καὶ τὰ Δεκίου παράνομα προστάγματα καταπατῶ. Ταῦτα ὡς ἤκουσαν καὶ εἶδον οἱ τοῦ παρανόμου παρανομώτεροι ὑπηρέται, χαμαὶ τοῦτον ῥίψαντες, κατεπάτουν τύπτοντες ἀφειδῶς. καὶ ὅτε σφοδρῶς αὐτὸν τύψαντες, ἡμιθνῆτον εἰργάσαντο, ἀναστήσας ὁ Ἄρχων, εἶπε πρὸς αὐτόν. ὦ κακὴ κεφαλὴ, τίνι θαρρῶν τοῦτο πεποίηκας; ὁ Ἅγιος εἶπε, τῷ Χριστῷ μου. ὁ Ἄρχων, τοῦτον τὸν μωρὸν, φησὶ, καὶ θρασυκάρδιον καὶ αὐθάδη ἐπὶ ξύλου κρεμάσαντες, ξέσατε ἀποτόμως τὰς σάρκας αὐτοῦ, καὶ εἴδομεν εἰ ἔλθῃ ὁ Χριστὸς αὐτοῦ σῶσαι αὐτόν. καὶ τοσοῦτον κατέξεσαν αὐτὸν ταῖς χειράγραις οἱ ἄνομοι, ὥστε καὶ τὰ ὑπογάστρια αὐτοῦ ἅπαντα διὰ τῶν πλευρῶν τοῖς ἔξωθεν καθορᾶσθαι. Καὶ ὁ μὲν Ἄρχων ἐν τούτοις πᾶσι θεομαχῶν ἦν, καὶ βλασφημῶν ἐν τῇ ὑπομονῇ τοῦ Μάρτυρος. ὁ δὲ Ἅγιος ἐκαρτέρει προσευχόμενος, καὶ ἐνυβρίζων τὸν Τύραννον. Τότε ὁ Ἄρχων μανεὶς εἶπε· τοὺς δακτύλους τοὺς τὸ πρόσταγμα τοῦ βασιλέως κατακόψαντας, εἰς λεπτὰ κελεύω ἐκτμηθῆναι. καὶ εὐθέως τοὺς δακτύλους τῶν χειρῶν αὐτοῦ ἐξεθέρισαν ἐκ τῶν ἔσω ἁρμῶν, καὶ ἐξῆλθεν ἀντὶ αἵματος γάλα. καὶ καθείρξας ἐν τῇ φυλακῇ, τῇ ἐπαύριον ἔστησαν αὐτὸν εἰς ἐρώτησιν. Ὁ δὲ Ἅγιος τὸν Χριστὸν ὁμολογήσας ἐνώπιον πάντων, καὶ τὸν βασιλέα ἀναθεματίσας, καὶ τὸν ἄρχοντα καθυβρίσας, ἐξέπληξεν ἅπαντας, καὶ ξίφει τὴν κεφαλὴν αὐτοῦ ἀποτμηθῆναι ὡρίσθη. Ἀπερχομένου δὲ πρὸς τὸν τῆς τελειώσεως τόπον, ἠκολούθει αὐτῷ κλαίουσα ἡ γυνὴ αὐτοῦ, καὶ ὄχλος πολύς. καὶ καταλαβὼν τὸν τόπον ὁ Ἅγιος ἔστη ἐφ' ὑψηλοῦ, καὶ κατηχήσας τὸν λαὸν, καὶ τοῖς Ἐπισκόποις τὴν γυναῖκα παραθέμενος, τὴν ἱερὰν ἀπετμήθη κεφαλήν. ὤφθη δὲ τοῖς παροῦσι θαῦμα ἐξαίσιον. εἶδον γὰρ ὡς τρυγόνα καθαρὰν, ἐξελθοῦσαν ἐκ τοῦ στόματος τοῦ Ἁγίου, καὶ ἀναπτᾶσαν εἰς Οὐρανοὺς, καὶ κατεπλάγησαν λέγοντες, μέγας ἀληθῶς ὁ τοῦ Μενίγγου Θεός. ἀπὸ δὲ τῆς κραυγῆς τοῦ λαοῦ, ἐσείσθη πᾶσα ἡ Πόλις, ὡς καὶ τὸν Ἀνθύπατον δειλιάσαι. Ὡς δὲ καὶ τῆς κραυγῆς τὴν αἰτίαν ἔμαθεν, ἄφετε αὐτὸν ἄταφον, καὶ εἴδομεν, εἰ ὁ Θεὸς θάψῃ αὐτόν. καὶ παρέστησαν φύλακας φυλάττειν τὸ Ἅγιον Λείψανον. Νυκτὸς δὲ ἐλθόντες οἱ

Ἀδελ-

Digitized by Google

Ἀδελφοὶ αὐτοῦ, πάντων κοιμωμένων, ἀνέλαβον τὸ Ἅγιον σῶμα αὐτοῦ. καὶ καταλαβόντες τὸν τόπον, ὃν ὁ Ἅγιος ἐπόθει, πρὸς ὕπνον ἐτράπησαν, καὶ ἐφάνη τινὶ τῶν Ἀδελφῶν ὁ Ἅγιος, λέγων. τῆς κεφαλῆς μου δι᾽ ἧς τὸν Χριστὸν ὡμολόγησα, σπουδάζοντες ἐπιλάβεσθε, ἔξυπνος δὲ γενόμενος, εἶπε τοῖς σὺν αὐτῷ τὰ λαληθέντα, καὶ ὑποστρέψας, σκοτίας βαθείας οὔσης, ἠπόρει τί ποιῆσαι. καὶ φθάσας τὸν τόπον, Ἄστρον λάμπον ἐπὶ τῆς κεφαλῆς τοῦ Μάρτυρος ἑωρᾶτο. καὶ λαβὼν αὐτὴν, ὑπέστρεψε μετὰ χαρᾶς πρὸς τοὺς Ἀδελφούς. Καὶ μελλόντων αὐτῶν πορρωτέρω πορεύεσθαι, ὁ Μάρτυς ἐν αὐτῷ τῷ τόπῳ κατατεθῆναι τὸ τίμιον αὐτοῦ σῶμα ἐπέσκεψεν, εἰς δόξαν τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ᾽. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἑαυτοὺς ἑκουσίως, πρὸς σφαγὴν ὡς ἀρνία παραδεδώκατε, μὴ πτήξαντες βασάνους, πανεύφημοι ὁπλῖται, ἀλλ᾽ εὐθύμως κραυγάζοντες. ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Λαμπρυνθεὶς τῇ ἀγάπῃ, τοῦ τῶν ὅλων Δεσπότου Μάρτυς Ἀγάπιε, ὑπέκλινας αὐχένα, τῷ ξίφει καὶ Μαρτύρων, ἠριθμήθης στρατεύμασιν. ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὡς λυχνία ὁρᾶσθε, ἐν τῷ οἴκῳ Κυρίου Μάρτυρες ἔνδοξοι, ἐπιτάφωτος τῷ Κόσμῳ, φωτίζουσα βοῶντας, τοὺς ἐν πίστει προφθάνοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Δεδεμένον σειραῖς με, ἀμυθήτων πταισμάτων λῦσον Πανάμωμε, παρέχουσά μοι ὄμβρους, δακρύων μελῳδοῦντι, τῷ ἐκ σοῦ σαρκωθέντι. ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η᾽. Ὁ Εἱρμός.

„Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα, καὶ ἐν
„βάτῳ πυρὶ τῷ τῆς Ἀειπαρθένου,
„τῷ Μωσεῖ Μυστήριον γνωρίσαντα,
„Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάν-
„τας τοὺς αἰῶνας.

Ἰατῆρες ποικίλων νοσημάτων, χαρισμάτων ἐνεργία τοῦ Πνεύματος δειχθέντες, πάσας ἡμῶν τὰς νόσους θεραπεύετε, ὅπως εὐφημοῦμεν, καὶ δοξολογοῦμεν ἡμῶν τὴν θείαν μνήμην.

Ἀγαπήσας Θεὸν πρὸς τοῦτο Μάρτυς, ἠγαπήθης· διό σε τὸν ἀγῶνα, τὸν θεῖον ἐκτελέσαντα προσήκατα, σὺν τοῖς ὁμοζήλοις, ἐν ἐπουρανίοις, Ἀγάπιε θαλάμοις.

Νευρωθέντες τῇ πίστει τοῦ Δεσπότου. δυναστείαν καθείλετε τοῦ πλάνου, καὶ εὐκλεῶς ταῖς νίκαις κλειζόμενοι, εἰς ἐπουρανίους, Μάρτυρες Κυρίου, οἰκεῖτε καταπαύσεις. Θεοτοκίον.

Ἰᾶσαί μου τὰ πάθη τῆς καρδίας, ἀπαθείας πηγὴν ἡ τετοκυῖα, καὶ πρὸς ζωήν με θείαν καθοδήγησον, ἵνα σε δοξάζω, Μῆτερ τοῦ Σωτῆρος, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ᾽. Κυρίως Θεοτόκον.

Ὡραῖοι γεγονότες. θείαις εὐμορφίαις, τῆς μαρτυρίας Κυρίῳ παρέστητε, καὶ σὺν αὐτῷ Ἀθλοφόροι ἀεὶ εὐφραίνεσθε.

Στρατὸς ὑμᾶς Ἀγγέλων, ἐπαναχομίζει, διαζευχθέντας τοῦ σώματος Μάρτυρες, πρὸς τὴν οὐράνιον πόλιν, πρὸς φῶς ἀνέσπερον.

Ἡμῶν τῶν ἐκτελούντων, σήμερον τὴν μνήμην, τὴν ἱερὰν ὑμῶν Μάρτυρες ἔνδοξοι, πρὸς τὸν Θεὸν μνημονεύειν μὴ διαλίπετε. Θεοτοκίον.

Φωτί με μετανοίας, τὸν ἐσκοτισμένον, τῇ ἀμελείᾳ Πανάμωμε λάμπρυνον, ὅπως ὑμνῶ καὶ δοξάζω τὰ μεγαλεῖά σου.

Ὁ Εἱρμός. Κυρίως Θεοτόκον.

Τὸ Φωταγωγικ. καὶ τὸ Ἰδιόμ. εἰς τὸν στ. καὶ τὸ Μαρτ. Δόξα, καὶ νῦν. Θεοτ. ἡ Σταυροθεοτ. Καὶ τὰ λοιπὰ, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ ΙϚ.

Τοῦ Ἁγίου Μάρτυρος Σαβίνου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, στιχ. προσόμοια.

Ἦχος Πλ. δ᾽.

Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης.

Κύ-

Κύριε, σὺ τὸ ἀσθενὲς τῆς ἀνθρώπων, ὡς ἐπιστάμενος φύσεως, ζῶσον ἐν καιρῷ τῆς νηστείας, ἰσχύϊ ἡμᾶς καὶ κραταίωσον, κατὰ παθῶν καὶ ἐχθρῶν μονουμένων ὡς εὔσπλαγχνος, ἀπαθείᾳ ψυχῆς τειχίσας, τοὺς δοξάζειν σου τὸ ἔλεος. Ὅμοιον.

Κύριε, σὺ τὸν Ἀθλοφόρον ἐκ σκότους, πρὸς φῶς τῆς θείας σκηνώσεως, τῇ τοῦ Παρακλήτου ἐμπνεύσει ὡς ἀγαθὸς μετεποίησας, καὶ κραταιὸν κατ' ἐχθρῶν ἀνέδειξας ὁπλίτην σου. διὰ τοῦτο ἀριστεύων, ἐδόξασέ σε φιλάνθρωπε. Ὅμοιον.

Κύριε, σὺ ταῖς τῶν Μαρτύρων πρεσβείαις, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, φύλαξον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν μονουμένων πτερύγων σου, καὶ καθαρῶς καὶ ἁγνῶς ἀξίωσον θεάσασθαι, τὴν τριήμερόν σου Λόγε, ἐξανάστασιν ὡς εὔσπλαγχνος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Κύριε, δέξαι σῆς Μητρὸς ἱκεσίαις, καὶ σπλαγχνισθεὶς ἐπικάμφθητι. σῶσον ἅπαν γένος ἀνθρώπων, τῶν δοξαζόντων τὸ κράτος σου, καὶ ἐκλύτρωσαι ἡμᾶς τῆς πλάνης τοῦ ἀλάστορος, καὶ ἐλέησον ἐλεῆμον, καὶ σφαλμάτων δίδου ἄφεσιν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Κύριε, ὅτε σε ὁ Ἥλιος εἶδεν, ἐπὶ τοῦ ξύλου κρεμάμενον, Ἥλιε τῆς Δικαιοσύνης, τὰς ἀκτῖνας ἐναπέκρυψε, καὶ ἡ Σελήνη τὸ φῶς εἰς σκότος μετεβάλετο. ἡ δὲ πανάμωμός σου Μήτηρ, τὰ σπλάγχνα διετέτρωτο.

Εἰς τὸν Ὄρθρον οἱ Κανόνες κατὰ τάξιν, ὡς συνήθως, καὶ τοῦ Ἁγίου, εἰς δʹ. Ἦχος πλ. δʹ.

Ὠδὴ αʹ. Ὑγρὰν διοδεύσας.

Τὸ ὄμμα καθάραντες τῆς ψυχῆς, ἐγκρατείας πόνοις, καὶ δακρύων ταῖς ἐκροαῖς, νοητῶς τὸν Ἥλιον τῆς δόξης, ἐξαναστάντα θεασώμεθα.

Ἐν ὕψει τῆς γνώσεως τοῦ Χριστοῦ, σοφῇ διανοίᾳ, Ἀθλοφόρε ἀναδραμὼν, τοῦ ψεύδους κατέλιπες τὴν πλάνην, καὶ οὐρανίου δόξης ἔτυχες.

Χρυσορρόας Μάρτυς ἄλλος Χριστοῦ, ἐν γῇ Αἰγυπτίων, καὶ ἐν Κόσμῳ ἀθλητικῶς, πλημμυρήσας αἵμασι Σαβῖνε, θεογνωσίας ἀνθρώπους κατήρδευσας. Θεοτ.

Γαλήνης Πανάχραντε ὁ ἐκ σοῦ, τεχθεὶς ὑπὲρ λόγον, ταῖς πρεσβείαις σου ἐκπληροῖ, τὸν παρόντα χρόνον καὶ ἰθύνει, τοὺς σὲ δοξάζοντας Πανάμωμε.

Ὠδὴ γʹ. Σὺ εἶ τὸ στερέωμα.

Σὺ ἡμᾶς ἐνίσχυσον, διὰ νηστείας σοι Κύριε, διαρεστεῖν, καὶ πληροῦν προθύμως, τὰ σεπτά σου θελήματα.

Κράτος ἀπροσμάχητον, θωρακισάμενος ἔνδοξε, τὴν τοῦ Χριστοῦ, πίστιν καὶ ἀγάπην, κατ' ἐχθρῶν σὺ ἠρίστευσας.

Πλάνης τὰ θεμέλια, τῇ καρτερίᾳ σου ἔσεισας, καὶ εἰς βυθὸν, βωμοὺς τῶν Εἰδώλων, Σαβῖνε καταβέβληκας. Θεοτ.

Ἐν σοὶ δυναμούμενοι, καὶ κραταιούμενοι Ἄχραντε, ἐν τῷ καιρῷ, τῷ τῆς ἐγκρατείας, παθῶν νικῶμεν τὸν πόλεμον.

Κάθισμα. Ἦχος γʹ. Ἡ Παρθένος σήμερον.

Ἀθλοφόρε μέγιστε, τῆς ἀληθείας ὁπλῖτα, Χριστομάρτυς ἔνδοξε Κῆρυξ τῆς Θείας Τριάδος, αἴτησαι τοῖς σὲ τιμῶσιν ἐξ ὕψους χάριν, δώρησαι ταῖς σαῖς πρεσβείαις πᾶσιν εἰρήνην, τοῖς ἀπαύστως ἀνυμνοῦσι, τὴν θείαν μνήμην τῆς σῆς ἀθλήσεως. Θεοτ.

Ἕκαστος ὅπου σώζεται ἐκεῖ δικαίως καὶ προστρέχει. καὶ ποία ἄλλη τοιαύτη καταφυγὴ, ὡς σὺ Θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν; Ἢ Σταυροθεοτοκίον.

Ῥάβδον δυνάμεως κεκτημένοι, τὸν Σταυρὸν τοῦ Υἱοῦ σου Ἄχραντε, ἐν αὐτῷ καταβάλλομεν τῶν ἐχθρῶν τὰ φρυάγματα, οἱ πόθῳ σε ἀπαύστως μεγαλύνοντες.

Ὠδὴ δʹ. Εἰσακήκοα Κύριε.

Τῆς σαρκὸς τὰ σκιρτήματα, νηστείᾳ καὶ πόνοις καθυποτάξαντες, ἀπαθῶς Χριστοῦ ὀψώμεθα, καὶ ἁγνῶς τὰ πάθη τὰ σωτήρια.

Ὥσπερ μάστιγι ἔπληξας, ῥήμασι Σαβῖνε ὁμολογίας σου, τῆς ἐνθέου τοὺς διώκοντας, καὶ αὐτὸς ἐσώθης ἀπαράτρωτος.

Τοὺς τῇ κτίσει λατρεύοντας, ἔπεισας Σαβῖνε καὶ καθωδήγησας, εἰς λατρείαν τοῦ τῶν ὅλων Θεοῦ, ὁδηγόν σε Μάρτυς καταγγέλλοντας.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Ὡς ἄγκυραν δεξάμενοι, τὰς σὰς προστασίας μόνη Παμύμνητε, τοῦ Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν, εἰς λιμένα θεῖον ἀναγόμεθα.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Λάμπρυνον ἡμᾶς, τῆς νηστείας ταῖς ἐλλάμψεσι, καὶ ἀξίωσον ἁγνῶς κατιδεῖν σε, τῆς δόξης καὶ Δικαιοσύνης τὸν Ἥλιον.

Ἔχων ἐν ψυχῇ, ὥσπερ λύχνον φαεινότατον, τὴν Χριστοῦ θείαν ἀγάπησιν, πρὸς τοῦτον Μάρτυς ὡδηγήθης δι᾽ ἀθλήσεως.

Ἔκτεινας Σοφὲ, Αἰγυπτίων τὰ σεβάσματα, ἐν τῇ ῥάβδῳ τῆς σοφίας σου, τὸν τῶν ἁπάντων ποιητὴν δοξάζων Κύριον.

Θεοτοκίον.

Ῥώμην τὴν ἡμῶν, περιβάλλουσα ἀσθένειαν, ἐν καιρῷ τῆς ἐγκρατείας Ἁγνὴ, κατὰ πολέμων καὶ παθῶν ἡμᾶς ἐνίσχυσον.

Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἀπόλαυσιν ἀγαθῶν, καὶ μέθεξιν ἀκηράτου τρυφῆς, ἡ νηστεία προξενεῖ, τοῖς ταύτης μετέχουσι, καὶ Χριστὸν δοξάζουσι, καθαρᾷ καρδίᾳ, σωτηρίας μόνον πρόξενον.

Εὐπρέπειαν ὁρατὴν, καὶ κοσμικὴν περιφάνειαν, ἐβδελύξω εὐσεβῶς, καὶ δόξης τῆς κρείττονος, καὶ πλούτου τοῦ μένοντος, ἐραστὴς ἐδείχθης, Ἀθλοφόρε παναοίδιμε.

Τὴν ζάλην τοῦ μοχθηροῦ, Σαβῖνε βίου κατέλιπες, εἰς ὅρμον δὲ τῆς Χριστοῦ, κατήντησας πίστεως. δι᾽ ἧς τῆς ἀθλήσεως, τὸν πλοῦτον εἰς θεῖα, ταμιεῖα ἀναπέθηκας.

Θεοτοκίον.

Γευσάμενοι τοῦ φυτοῦ, παρακοῆς οἱ Προτόπλαστοι, ἐξόριστοι τῆς τρυφῆς, γεγόνασιν Ἄχραντε. ἡμεῖς δὲ μετέχοντες, τοῦ ἐκ σοῦ τεχθέντος, ἐντρυφῶμεν ἀκηράτου ζωῆς.

Ὁ Εἱρμός. Ἱλάσθητί μοι Σωτὴρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΙϚ΄. Μνήμη τοῦ Ἁγίου Μάρτυρος Σαβίνου.

Στίχ. Ῥεῖθρον Σκαμάνδρου τῆς ἐλέγξεως φέρων.
Τῆς ἀνδρείας ἔλεγχος ὂν τῆς Σαβίνου.

Οὗτος ἦν ἐκ τῆς Ἑρμουπόλεως τῆς κατ᾽ Αἴγυπτον, κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ τοῦ βασιλέως, κρυπτόμενος ἔξω τῆς Πόλεως μετὰ ἑτέρων εὐσεβῶν ἐν δωματίῳ μικρῷ, καὶ ζητούμενος παρὰ τῶν Εἰδωλολατρῶν, διὰ τὸ πολὺ εἶναι λόγον περὶ αὐτοῦ παρὰ Χριστιανοῖς, γένους τε πρώτου μετέχοντος, καὶ τῷ τῆς εὐσεβείας ζήλῳ τῶν ἄλλων προέχοντος, ὕστερον πεφώραται. Ἀχθεὶς τοίνυν πρὸς Ἀρειανόν τινα τῆς Πόλεως Ἡγεμόνα, καὶ τὴν εἰς Χριστὸν πίστιν ὁμολογήσας, ἀναρτηθεὶς, ξέεται ἐπὶ τοσοῦτον, ὡς καταρρεῦσαι τὰς σάρκας αὐτοῦ πρὸς τὴν γῆν. Εἶτα λαμπάσι πυρὸς καταφλέγεται, καὶ πρὸς τούτοις λίθῳ προσδεθεὶς, κατὰ ποταμοῦ Σκαμάνδρου ἀφίεται, καὶ τὸν τοῦ Μαρτυρίου κομίζεται στέφανον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Πάπα.

Στίχ. Δεσμῇ πέδαις εἰς δένδρον, ὢ προβὰς Πάπα.
Ζακχαῖος οἷα Χριστὸν ἐμπνεύσας βλέπεις,
Δένδρου ἐπὶ κλωνίοισι δέθης δεκάτῃ Πάπα ἕκτῃ.

Οὗτος ναυαγοῦσαν ὁρῶσαν τὴν Οἰκουμένην, παραστὰς τῷ Ἄρχοντι, καὶ τοῦτον καταισχύνας, τῇ πολλῇ πρὸς Χριστὸν παρρησίᾳ, ῥιφεὶς πρὸς γῆν, τύπτεται ῥάβδοις τὰς σάρκας, εἶτα τὸ πρόσωπον. μετεωρισθεὶς δὲ πρὸς ὕψος, σπαράττεται σιδηροῖς ὄνυξι, καὶ κρηπῖσι καθηλωθεὶς τοὺς πόδας, τόπους ἐλαύνεται μακρούς. καὶ αὖθις δένδρῳ ἀκάρπῳ προσδεθεὶς, καρποφόρον ἀποτελεῖ, εἰς ὃ καὶ τελειοῦται. καὶ ἡ Λυκαόνων δὲ τὸ λείψανον αὐτοῦ ἔχουσα, γάννυται.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Κιλικίᾳ.

Οὗτος ἦν ἐκ τῆς Ἀναζαρβέων Πόλεως, τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας, Υἱὸς βουλευτοῦ τινος, Μητρὸς δὲ Χριστιανῆς· παρ᾽ ἧς τὴν κατὰ Χριστὸν εὐσέβειαν μεμαθη-

μαθη-

Digitized by Google

μαθηκώς, καὶ τῇ μελέτῃ τῶν θείων Γραφῶν σχολάσας, ἐν τῷ ὀκτωκαιδεκάτῳ χρόνῳ τῆς ἡλικίας, Μαρκιανῷ προσήχθη τῷ Ἡγεμόνι. Καὶ μὴ καταδεξάμενος θῦσαι τοῖς Εἰδώλοις, ἐν διαφόροις μέρεσι τοῦ σώματος τύπτεται. εἶτα ἐν τῇ φρουρᾷ τεθεὶς, καὶ τῇ Μητρὶ συμβούλῳ χρησάμενος, εἶτα ἐρωτηθεὶς, καὶ ἐμμένειν εἰπὼν, καὶ ἐναποθνήσκειν τῇ πίστει τῇ εἰς Χριστὸν, ἐν σάκκῳ βληθεὶς μεστῷ ψάμμου καὶ ἑρπετῶν ἰοβόλων, μέσον τοῦ πελάγους ἀφίεται, καὶ οὕτω τὸν τοῦ Μαρτυρίου στέφανον δέχεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἰωάννης, ὁ ἐν Ῥουφιαναῖς, ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Τιμῶμεν, Ἰωάννη, σὴν ἐκδημίαν,
Ἐνδημίαν δὲ πρὸς Θεὸν μᾶλλον φάναι.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Ῥωμανὸς ξίφει τελειοῦται.

Στίχ. Τὸ πρὸς σὲ φίλτρον εἰς ἀγῶνας δεικνύει,
Ὁ Ῥωμανός σου, Πάτερ, ὁρῶν πρὸς ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Δέκα Μάρτυρες, οἱ ἐν Φοινίκῃ, ξίφει τελειοῦνται.

Στ. Χορὸν δέκανδρον Μαρτύρων διὰ ξίφους,
Ἀνδροκτόνοι κτείνουσι Μαρτυροκτόνοι.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἀλεξανδρείων, Πάπας Ῥώμης, ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Ῥώμης παλαιᾶς Ἀλεξανδρέων Πάπας,
Ἐδὲμ κατοικεῖ τὴν παλαιὰν Πατρίδα.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀνίμα τοῦ Θαυματουργοῦ.

Στίχ. Σορῷ καλυφθεὶς Θαυματουργὸς Ἀνίμας,
Οὐ συγκαλύπτει τὴν χάριν τῶν Θαυμάτων.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν, ἐκ νεαρᾶς ἡλικίας, ἄνευ μαθήσεως τινὸς, τὴν πραότητα καὶ τὴν ἡσυχίαν ἀγαπήσας, ἡσυχάζων ἦν καθ' ἑαυτόν. πεντεκαίδεκα δὲ ἐτῶν γενόμενος, ἀπορφανισθεὶς ἐκ τῶν Γεννητόρων αὐτοῦ, καταλιπὼν πάντα, ἀνῆλθεν εἰς τὴν ἔρημον. Καὶ εὑρὼν Μοναχόν τινα, Μαΐουμαν οὕτω καλούμενον ἀκτημοσύνην ὑπερβάλλουσαν ἔχοντα, παρ' αὐτῷ ἦν ἀγρυπνῶν καὶ προσευχόμενος. Τοσαύτη δὲ ἦν ἐγκράτεια παρ' αὐτοῖς, ὥς τε πολλάκις δι' ἔνδειαν τῶν ἀναγκαίων, διὰ τεσσαράκοντα ἡμερῶν ἤσθιον. καὶ ἐπὶ τοσαύτῃ στερώσει ὑπάρχοντες, ὡς ἐπὶ βασιλικῆς τραπέζης ἐσθίοντες, τοσοῦτον ἡδύνοντο. καὶ μετὰ χρόνον τινὰ, ὁ τούτου Διδάσκαλος ἠθέλησεν ἀναχωρῆσαι ἐκεῖθεν· ὃ καὶ πεποίηκεν. Οὗτος δὲ ὁ Μακάριος πρὸς αὐτὸν εἰπὼν, συγχώρησόν μοι, Πάτερ τίμιε, ὅτι οὐκ ἔστι μοι καταθύμιον ὑπαναχωρῆσαι ἐντεῦθεν, ὁδηγηθεὶς ἐλθεῖν παρὰ Θεοῦ, ἔμεινεν ἐκεῖσε. Ἐξήρχετο δὲ πολλάκις καὶ πρὸς τὴν ἐσωτέραν ἔρημον ἐπὶ εἴκοσι, ἢ καὶ τριάκοντα ἡμέρας, καὶ πάλιν ὑπέστρεφεν εἰς τὸ κελλίον αὐτοῦ. Καὶ ὑποτάξας τὰ πάθη τῆς σαρκὸς, ἐδέξατο, ὡς ἔοικεν, ἀντιμισθίαν, τὴν τῶν ἀγρίων θηρίων ὑποταγὴν, δῆλον ὅτι καὶ δύω λέοντες ἠκολούθουν αὐτῷ πανταχοῦ. καὶ ἀκανθῶν τραχείας ἐμπαγείσης ποδὶ τῶν λεόντων ἑνὸς, ὁ Μακάριος ταύτην ἐκβαλὼν, καὶ τὸν πόδα ἀσφαλῶς καταδήσας, ὑγιῆ ἀπειργάσατο. Τῆς φήμης δὲ πανταχοῦ διαδραμούσης, προσήρχοντο πλήθη ἀνδρῶν τε καὶ γυναικῶν ἔχοντες μεθ' ἑαυτῶν καὶ ἀσθενεῖς. καὶ ὃς, τῇ ἐνοικούσῃ αὐτῷ θείᾳ χάριτι καὶ μόνῃ προσευχῇ ἰᾶτο πάντας, οἱωδήτινι κατεχομένους νοσήματι. Ἐάσας οὖν τὸ ἔρχεσθαι ἐν τῇ ἐρήμῳ, ἐν τῷ κελλίῳ αὐτοῦ ἦν προσμένων. ὕδωρ δὲ οὐκ ἦν προσεχὲς, ἀλλ' ἐκ τοῦ ποταμοῦ Εὐφράτου διεκομίζετο ἀπὸ τεσσάρων, ἢ πέντε σχεδὸν μιλίων. καὶ πρώην μὲν σπανίως διεκομίζετο, ὅτι καὶ μὴ χρῆσις τούτου ἦν. Ὁπηνίκα δὲ τὸ τῶν προσερχομένων πλῆθος δι' ὄχλου τῷ Ἁγίῳ γεγονὸς, ἀναγκαίαν εἶναι καὶ τὴν τοῦ ὕδατος χρῆσιν, εἰς πόσιν ἐπέτρεπε, καὶ μικρόν τι δοχεῖον πρὸς ὑποδοχὴν ὀμβριαίου ὕδατος κατεσκεύασεν. Ἀλλὰ καὶ τοῦ τοιούτου δοχείου, ποτὲ πλήθους ὄντος, καὶ ἀπὸ τοῦ πλήθους ἐξαντληθέντος, προσρυέντος δὲ καὶ ἑτέρου πλήθους, καὶ τοῦ διακονητοῦ ἐπιταγέντος ἀντλῆσαι ὕδωρ· καὶ ὡς ἤκουσε μηδὲ τὴν κύλικα δυνατὸν γεμισθῆναι, διὰ τὸ ἐκφορηθῆναι ἅπαν τὸ ὕδωρ, τὸ ὄμμα εἰς Οὐ-

Digitized by Google

Οὐρανὸν ἀνατείνας, καὶ στενάξας βαθὺ, ἐν ἱλαρῷ τῷ προσώπῳ λέγει. ἄπελθε, Τέκνον, ἐν ὀνόματι τοῦ Κυρίου, ἐγώ σοι ἐπιτάσσω, καὶ ἀντλήσας διακόνησον. Πεισθεὶς οὖν, ὢ τοῦ θαύματος, καὶ ἀπελθὼν εὗρε τὸν λάκκον πεπληρωμένον ὕδατος, καὶ πάντες ἴδετε, τοῦ διακονητοῦ προσειπόντος, πρᾶγμα ἐξαίσιον. εἰσπηδήσαντες οὖν, καὶ ψυχροῦ καὶ διειδεστάτου ἐμφορηθέντες νάματος ἐξέστησαν, καὶ τῷ Θεῷ τὴν εὐχαριστίαν ἀνέπεμπον, τὸν δοξάζοντα τοὺς ἀγαπῶντας αὐτόν. Τούτου οὖν τοῦ θαύματος θέλων ὁ Ἅγιος συσκιάσαι τὸν θρίαμβον, αὐτὸς δι' ἑαυτοῦ κομίζειν τὸ ὕδωρ ἀπὸ τοῦ Εὐφράτου ποταμοῦ ἐβουλεύσατο, καθὼς καὶ πρώην ἦν ποιῶν. καὶ πάσας μὲν τὰς νύκτας, ἔργον ἦν αὐτῷ ἀπαραίτητον ἡ τοῦ ὕδατος μετακομιδή. Καί ποτε πάλιν λαοῦ προδραμόντος, καὶ πᾶν τὸ ὕδωρ ἐξαντλήσαντος, ὁ Γέρων κεράμιον λαβὼν πρὸς τὸν ποταμὸν ἔτρεχε, καὶ μήπω λίθου βολὴν ἀπιὼν, ὑπέστρεφε. Νομίσαντες οὖν οἱ ἐκεῖσε τότε παρευρεθέντες δι' ἀσθένειαν ὑποστρέφειν τὸν Γέροντα, ἔδραμον εἰς ὑπάντησιν αὐτοῦ· καὶ λαβὼν εἷς τὸ κεράμιον ἐκ τῶν χειρῶν αὐτοῦ πρὸς μετακομιδὴν ὕδατος, καὶ ἰδὼν αὐτὸ πλῆρες, ἀνεβόησε λέγων μεγάλῃ τῇ φωνῇ. δότε πάντες δόξαν τῷ Θεῷ, ὅτι οἱ βραχίονες τοῦ Γέροντος ὕδωρ ζῶν ἀναβλύζουσι. Δραμόντες οὖν ἅπαντες εἰς τὸ κεράμιον, καὶ ἰδόντες πεπληρωμένον ὕδατος ψυχροῦ, ἐξεπλάγησαν. καὶ ἤρξαντο κυλιόμενοι παρὰ τοὺς πόδας αὐτοῦ, δυσωποῦντες ἀπέχεσθαι τοῦ τοιούτου ἔργου, καὶ μὴ δι' αὐτοὺς τοσοῦτον κόπον ὑφίστασθαι. εἰ μὴ γὰρ τὸ Θαῦμα γέγονεν, ἔλεγον, πάντως ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου τὴν τοῦ ὕδατος μετακομιδὴν ποιήσασθαι ἔμελλες. Ὁ δὲ καὶ αὐτὸς τῇ γῇ ἑαυτὸν καταβαλὼν, γῆν καὶ σποδὸν καὶ σκώληκα καὶ παντὸς ἐξουθένημα ἑαυτὸν ἀπεκάλει, καὶ οὕτω μόλις κατέπαυσεν αὐτούς. Τότε Πατρίκιος, ὁ Καισαρείας Ἐπίσκοπος, ἀκηκοὼς, ὅτι ὁ Ἅγιος δι' ἑαυτοῦ τὸ ὕδωρ κομίζει, ζῶον ἀχθοφόρον εἰς ἀπαλλαγὴν τοῦ Γέροντος δέδωκε. Πένης δέ τις ὀχλούμενος ὑπὸ τοῦ δανειστοῦ αὐτοῦ, τῷ Γέροντι προσελθὼν, τὴν ἑαυτοῦ ἀνεδίδασκε συμφοράν. ὁ δὲ μήτε ἕτερον ἔχων, μήτε κενὸν αὐτὸν ἀποστρέψαι βουλόμενος, τὸν ὄνον δοὺς, πώλησον, εἶπε, τέκνον, καὶ δοὺς τὸ χρέος ἀπαλλάγηθι. Τοῦτο μαθὼν ὁ Ἐπίσκοπος, ἕτερον αὖθις δέδωκεν εἰπών. τοῦτο οὐ κατὰ χάριν σοι δίδωμι, ἀλλ' ἵνα κομίζῃ τὸ ὕδωρ, καὶ ὅτε μοι χρεία γένηται, ἀναλήψομαι τοῦτον. Ἕτερος δὲ πάλιν μετ' οὐ πολὺ προσαίτης ἐλθὼν, ἐξ ἀπορίας τοῦ Ἁγίου, τὸν ὄνον ἔλαβε. Μαθὼν δὲ τοῦτο ὁ Ἐπίσκοπος, δοχεῖον μέγα κατεσκεύασε μέχρι τοῦ νῦν σωζόμενον, ὅπερ καὶ δι' ἀποστολῆς ἀχθηφόρων ζώων πληρῶν ὕδατος, ὑποστρέφειν πρὸς ἑαυτὸν πάλιν τοῖς ὑπηρέταις ἐπέταττε. Στυλίτης δέ τις ἦν ἐν τῇ χώρᾳ ἐκείνῃ περιβόητος, καὶ ἐκ Διαβολικῆς ἐνεργείας μαχησάμενος μετάτιμος, ὡς λίθον ἀποῤῥιφῆναι κατ' αὐτοῦ, κἀκ τούτου πληγῆναι συνέβη. Εἰς ἐκδίκησιν οὖν τοῦ τολμήματος ὁρμῆσαι βουληθεὶς, ἐφ' ᾧ καὶ τοῦ στύλου κατελθεῖν, καὶ τοὺς ἀτακτήσαντας ἀξίως ἀμύνασθαι. Ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος οὗτος Ἀμύνας, τοῦτο προγνοὺς διὰ Πνεύματος Ἁγίου, γράψας ἀπέστειλε τὸν χάρτην διὰ θηρὸς λέοντος· ὃν ἰδὼν ὁ Στυλίτης, ἔμφοβος γενόμενος, ἐξεπλάγη. Ὁ γοῦν Μαθητὴς λαβὼν τὴν ἐπιστολὴν, τῷ Στυλίτῃ δέδωκεν. ὃς, καὶ ἀναγνοὺς κατενύγη, καὶ ἀναθεὶς τὴν ἐκδίκησιν τῷ Θεῷ, ἀντέγραψε τῷ μακαρίῳ διὰ τοῦ λέοντος, πολλὰ τῷ Θεῷ καὶ τῷ αὐτοῦ θεράποντι ἐπευχαριστῶν. Γυνὴ δέ τις ἔχουσα νόσημα χαλεπὸν, ἀνήρχετο πρὸς τὸν Ἅγιον. συναντήσας δὲ αὐτῇ Βάρβαρος, καὶ βιάσασθαι αὐτὴν ὁρμήσας, τῇ ἐπικλήσει μόνῃ τῆς βοηθείας τοῦ Ἁγίου ἡμερωθεὶς μετεβλήθη· καὶ ἁπλώσας τὴν χεῖρα λαβεῖν ὅπερ ἔφθασε προσπῆξαι ὅπλον τῇ γῇ, πρὸ τοῦ τῆς βίας ἀπάρξασθαι, εὗρεν ἐῤῥιζωμένον. καὶ ὑπερθαυμάσας τοῦτο τὸ παράδοξον, ἔδραμε καὶ αὐτὸς πρὸς τὸν Ἅγιον· καὶ κατηχηθεὶς, ἐβαπτίσθη, καὶ μονάσας παρὰ τῷ Ἁγίῳ, γέγονε δοκι-



Digitized by Google

μώτατος. λαβοῦσα δὲ τὴν ἴασιν ἡ γυνὴ, χαίρουσα ὑπέστρεψε. Πολλὰ μὲν οὖν καὶ ἄλλα τὰ διὰ τοῦ Ἁγίου ὑπερφυῆ καὶ ἐξαίσια. ἀλλ' ἵνα μὴ προσκορεῖς νομισθείημεν, παρεδράμομεν ταῦτα καὶ μὴ βουλόμενοι. Ἔτη δὲ πέντε πρὸς τοῖς ἐνενήκοντα διαβιοὺς ἐν τῷ Ἀσκητηρίῳ, μηδ' ὁπωσοῦν ἐκεῖθεν μεταβὰς, ὡς τὸ πᾶν τῆς ζωῆς, εἰς χρόνους δέκα πρὸς τοῖς ἑκατὸν περιΐστασθαι, προοράσεις διαφόρους προαγγείλας, εἰς ἔκβασιν προαχθείσας, καὶ ἀδελφότητα ἱκανὴν συλλεξάμενος, καὶ πάντας προσκαλεσάμενος τοὺς τῆς ἀδελφότητος, καὶ εἰς ἀρετὴν ἕνα ἐπιλεξάμενος, τῶν λοιπῶν ὑπερέχοντα, καὶ τοῦτον ὁ Θεὸς αὐτ' ἐμοῦ προεσφράγισε Ποιμένα ὑμῶν προσειπὼν, καὶ τῇ χειρὶ ὑποδείξας τὸν Ἀδελφὸν, καὶ κατασπασάμενος, εὐλογήσεν αὐτούς. καὶ ἐπιζήσας ἡμέρας ἑπτὰ, ἀπῆλθε πρὸς Κύριον κατὰ τὴν ἑκκαιδεκάτην τοῦ Μαρτίου Μηνός.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τὴν ἀχλὴν τῶν ὀμμάτων, τῆς ψυχῆς ἀπωσάμενοι διὰ νηστείας τὸ φῶς, τὸ ἔνθεον τῇ πίστει, δεξώμεθα ἐν φόβῳ, καὶ ἀγρυπνίᾳ κραυγάζοντες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τῆς ψυχῆς τὸ ὡραῖον, τῷ τοῦ σώματος Μάρτυς κάλλει ἐνέφηνας. Φαιδρὸς γὰρ θεωρίαις, ἡδύς τε ἐν τοῖς λόγοις, Σαβῖνε ἀναδέδειξαι· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Γενναιότητι Μάρτυς, τῆς ψυχῆς καὶ ἀνδρείᾳ θάρσος ἀντίπαλον, Τυράννων ἀνομούντων, διήλεγξας Σαβῖνε, καὶ Χριστῷ ἀνεκραύγαζες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἰδεῖν Θεοκυῆτορ, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὴν θείαν ἔγερσιν, νηστείᾳ καθαρθέντας, ἀξίωσον τοὺς πίστει, εὐλογοῦντας καὶ λέγοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Τὸν Βασιλέα τῶν Οὐρανῶν κοσμηθέντες, τὰς ψυχὰς νηστείᾳ καὶ δεήσει, καὶ πίστει ἀδιστάκτῳ, δεξώμεθα ἐνθέως.

Τοῦ Παρακλήτου ταῖς νοηταῖς Ἀθλοφόρε, ἀρδευθεὶς ῥοαῖς καρποὺς προσῆξας, τοὺς τοῦ Μαρτυρίου, Σαβῖνε τῷ Κυρίῳ.

Οἱ τῶν αἱμάτων σου ποταμοὶ πλημμυροῦντες, ἐπὶ γῆς Σαβῖνε ἰαμάτων, νάματα τοῖς πᾶσι, προχέουσιν ἀνθρώποις.

Θεοτοκίον.

Οἱ ἐγκαυχώμενοι ἐπὶ σοὶ Θεοτόκε, τύχοιμεν τῆς δόξης τοῦ Υἱοῦ σου, ταῖς σαῖς ἱκεσίαις, ἐν τῇ αὐτοῦ ἐγέρσει.

Ὁ Εἱρμός. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Τὰ πάθη χαλινοῦντες, διὰ ἐγκρατείας, καθυποτάξωμεν νοῒ καθαρῷ, ἵνα τῷ πάντων Δεσπότῃ συμβασιλεύσωμεν.

Κρατήσας Ἀθλοφόρε, νοητῶν πολέμων, καὶ ὑποτάξας Τυράννους γενναίᾳ ψυχῇ, τῷ Ποιητῇ τῶν ἁπάντων συμβασιλεύεις Χριστῷ.

Ἐπάρας πρὸς τὸν πόλον, ἐκ τῆς γῆς Σαβῖνε, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε πρέσβευε, τῷ Ποιητῇ τῶν ἁπάντων καὶ στεφοδότῃ σου.

Θεοτοκίον.

Ὑπάρχεις Θεοτόκε, δόξα τῶν σῶν δούλων, καὶ παῤῥησία καὶ θεῖον καὶ καύχημα, καὶ ἀσφαλὴς ἀπαρτία τῆς προσδοκίας μου.

Ὁ Εἱρμός. Κυρίως Θεοτόκον.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου.

Εἰς τὸν ςʹ. τὸ Ἰδιόμ. σὺν τῷ Μαρτυρικῷ, καὶ Θεοτοκίον. ἢ Σταυροθεοτοκίον.

Καὶ ἡ λοιπὴ Ἀκολουθία εἰς συνήθες, ἡ α'. Ὥρα, καὶ Ἀπόλυσις.

---

Τῷ αὐτῷ Μηνὶ ΙΖ'.

Τοῦ Ἁγίου Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ςʹ. προσόμοια.

Ἦχος α.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Ἀνθρωπον ὄντα σε ἔγνωμεν Θεοῦ, κλήσει τε καὶ πράγματι. ταῖς ἀρεταῖς γὰρ διέλαμψας, πτωχείαν ἄμετρον, καὶ στενοχωρίαν, ἐπὶ γῆς κτησάμενος, καὶ θαυμαστὴ πίστους πιστωσάμενος. διὸ ἱκέτευε, δωρηθῆναι

Digitized by Google

ναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος. Ὅμοιον.

Ἔρωτι δροσιζόμενος σαρκὸς, ἔρωτας φλογίζοντας, ἐναποσβέσας Ἀλέξιε, θαλάμου θάλαμον, εὐσεβῶς ἠλλάξω, ἡδονῆς τε σώματος, τὴν θείαν τῶν Ἀγγέλων ὁμοίωσιν. μεθ' ὧν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ὅμοιον.

Μανίαις ἀγνοούμενος Σοφὲ, πρὸ πυλῶν θλιβόμενος, τῶν ἱερῶν Γεννητόρων σου, ἐμπαροινούντων σοι, τῶν οἰκείων παίδων, ἐπὶ χρόνον μήκιστον. θανὼν δὲ φανεροῦσαι τοῖς θαύμασιν, οἷς ἐπετέλεσας, θεραπεύων τὰ νοσήματα καὶ διώκων ἀκάθαρτα πνεύματα.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε ξένον ἄκουσμα Ἁγνὴ, χαῖρε ξύλον ἅγιον, τοῦ Παραδείσου Θεόφυτον. χαῖρε ἐξάλειψις, πονηρῶν Δαιμόνων. χαῖρε ξίφος δίστομον, ἐχθροῦ τὴν κεφαλὴν ἀποτέμνουσα, τῷ ξένῳ τόκῳ σου, Παναγία ὑπεράμωμε, ξενωθέντας ἡμᾶς ἀνεκάλεσας. Σταυροθεοτοκίον. Ὅμοιον.

Σφαγὴν σου τὴν ἄδικον Χριστὲ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι: Τέκνον γλυκύτατον, πῶς ἀδίκως πάσχεις, πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι; μὴ λίπῃς μόνην με, εὐεργέτα πολυέλεε, τὴν Μητέρα καὶ δούλην σου δέομαι.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών. Οὗ ἡ ἀκροστιχίς. Σὲ τὸν Θεοῦ ἄνθρωπον αἰνέσω μάκαρ.

Ἰωσήφ. Ὠδὴ α'. Ἦχος β'.

Ἐν βυθῷ κατέστρωσε.

Στενωτάτην ὥδευσας ὁδὸν, ἄμεμπτον καὶ ὅσιον, βίον Σοφὲ μετελθὼν ἐκ νεότητος. διό μου τὴν στένωσιν, καταπλάτυνον, τοῦ νοὸς εὐφημῆσαί σε, τὸν πρὸς Παραδείσου, πλάτος αὐλιζόμενον μακάριε.

Ἑαυτὸν διόλου τῷ Θεῷ, μάκαρ ἀναθέμενος, ἔξω σαρκὸς καὶ Κόσμου ἐχρημάτισας, πλούτου διαρρέοντος, τὸν Οὐράνιον προτιμήσας καὶ μένοντα, καὶ ἐνεγκαμένην, Πόλιν τὴν Σιὼν τὴν αἰωνίζουσαν.

Τῆς νηδύος σου τῆς μητρικῆς, στείρωσιν διέλυσας, ἀποτεχθεὶς ὡς Σαμουὴλ πανόλβιε. ἐν γαστρὶ καρδίας δὲ, τὸν ἁγνότατον συλλαβὼν φόβον ἔτεκες, Πνεῦμα σωτηρίας, θείων ἀρετῶν τε διὰ πίστεως.

Θεοτοκίον.

Ὁ Θεοῦ συνάναρχος Υἱὸς, ἔσχεν ὡς αἰτίαν σε, τῆς πρὸς ἡμᾶς Παρθένε ὁμοιώσεως, μόνην ὑπὲρ ἅπασαν, κτίσιν ἄχραντε καθαρὰν σε εὑράμενος. ὅθεν σε ὑμνοῦμεν, πᾶσαι γενεαὶ καὶ μακαρίζομεν.

Ὠδὴ γ'. Ἐξήνθησεν ἡ ἔρημος.

Νυττόμενος τῷ ἔρωτι, τῆς ἁγνείας θάλαμον, τοῦ ἐπὶ γῆς Οὐράνιον, ἀντηλλάξω καὶ γυναικὸς ἡδονῆς, τὴν ἡδίστην Ἀγγέλων ἐξομοίωσιν.

Θορύβους τοὺς ἐν βίῳ τε, καὶ ὄγκον πλούτου ἔλιπες, καὶ μετανάστης γέγονας, τῆς πατρίδος Πάτερ Ἀλέξιε, τοῦ Χριστοῦ τὴν πτωχείαν ἐκμιμούμενος.

Ἐν δάκρυσι καὶ πόνοις τε, καὶ ἐγκρατείᾳ πάνσοφε, τὸ ἀγαθὸν ἐζήτησας, πότε ἥξει φῶς ἐπιγνώσεως, τὴν ἀπάθειαν μένον τῇ καρδίᾳ σου. Θεοτοκίον.

Ὁ ἄνω ἀθεώρητος, τοῖς Ἀγγέλοις Ἄχραντε, κάτω ἐκ σοῦ γενόμενος, καθορᾶται τέλειος ἄνθρωπος, ἀπολλύμενον Κόσμον ἀνακτώμενος.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τοὺς ἱδρῶτας καὶ πόνους τοὺς σοὺς σοφὲ, νοερῶς θεωροῦντες πάντες πιστοὶ, πάσης κατανύξεως, τὰς ψυχὰς ἐμπιπλάμεθα, καὶ πρὸς θείους ὕμνους, καὶ δόξαν καὶ αἴνεσιν, τοῦ Δεσπότου τῶν ὅλων, παμμάκαρ Ἀλέξιε, πόθῳ ἐγκαρδίῳ ἑαυτοὺς συγκινοῦμεν, ᾠδαῖς σε γεραίροντες, καὶ πιστῶς ἐκβοῶμέν σοι, ὡς Κυρίου θεράποντα. διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Κόσμου τερπνότητα ὁσίως ἔλιπες, ἀντηλλαξάμενος πλούτου τοῦ ῥέοντος, τὸν ἀδιάρρευστον σαφῶς καὶ μένοντα Ἀλέξιε. ὅθεν μετὰ πάντων σε τῶν Ἁγίων δοξάζο-



Digitized by Google

μενον ἱερῶς ἐν τῇ μνήμῃ σου, αἰτούμενοι εὑρεῖν ταῖς εὐχαῖς σου, Πάτερ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἀκατανόητον καὶ ἀκατάληπτον, ὑπάρχει Δέσποινα Θεοχαρίτωτε, τὸ πεπραγμένον ἐπὶ σοὶ φρικτὸν μέγα μυστήριον. τὸν γὰρ ἀπερίληπτον συλλαβοῦσα ἐκύησας, σάρκα περιθέμενον ἐξ ἀχράντων αἱμάτων σου. ὃν πάντοτε Ἁγνὴ ἐκδυσώπει, ὡς Υἱόν σου τοῦ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ σὲ κυήσασα Χριστὲ ἐσβλέψασα, Σταυρῷ ὑψούμενον, ὥσπερ κατάκριτον, θρηνολογοῦσα γοερῶς τοιαῦτα ἀπεφθέγγετο, οἴμοι πῶς σε ἄνομος δῆμος ὅλος οὐκ ᾤκτειρεν, αὐτὸν κατοικτειρήσαντα διὰ πλῆθος ἐλέους σου; μή με ἐγκαταλίπῃς ἐν Κόσμῳ, μόνην ὁ μόνος ἀναμάρτητος.

Ὠδὴ δ'. Ἐλήλυθας, ἐκ Παρθένου.

Ὑπέμεινας, τὴν πτωχείαν προσαίτης γενόμενος, πτωχὸς ὥσπερ Λάζαρος. ἔρως γὰρ θεῖος ἠρέθιζε, μάκαρ τὴν καρδίαν σου, ἐπιποθοῦσαν τὸν πλοῦτον τὸν οὐράνιον.

Ἀπερίττον, καὶ ἀπράγμονα βίον ἐπόθησας, ἅπαξ σιτιζόμενος, τῆς ἑβδομάδος Ἀλέξιε, πόθῳ τῆς μενούσης δὲ, ἀδιαῤῥήκτου παμμάκαρ ἀγαπήσεως.

Ναὸν Θεοῦ, τὴν καρδίαν ζητῶν ἀπεργάσασθαι, ἐν οἴκῳ ἠγάπησας τῆς Θεομήτορος, εὐδόξε πάντοτε καθέζεσθαι, καὶ τὰ οὐράνια κάλλη ἐνοπτρίζεσθαι. Θε.

Θηλάσασα, τὸν Δοτῆρα Παρθένε τοῦ γάλακτος, πεινῶσαν καὶ στένουσαν νῦν τὴν καρδίαν μου κόρεσον, πάσης ἐπιγνώσεως, καὶ κατανύξεως θείας ἱκετεύω σε.

Ὠδὴ ε'. Μεσίτης Θεοῦ.

Ῥοαῖς ἱεραῖς, καταρδεύων πάντοτε δακρύων σου, ψυχὴν ἐγεώργησας, στάχυν ἀληθῶς ἑκατοστεύοντα, γεωργῷ ἀθανάτῳ καλῶς διατηρούμενον.

Ὡράθης ἐν γῇ, πολιτείαν ἄσαρκον μιμούμενος, τῇ ὑπερβαλλούσῃ σου Πάτερ ἐγκρατείᾳ ἀξιάγαστε, καὶ εὐχῆς προσεδρείᾳ, δι' ἧς φῶς ἐσχημάτισας.

Πυρὶ προσευχῶν, ἁμαρτίας ἔφλεξας τὴν ὕλην σοφὲ ἀγρύπνοις δεήσεσι, πᾶσαν ἡδυπάθειαν ἐκοίμησας. κοιμηθεὶς δὲ πρὸς φέγγος, μετέβης τὸ ἀνέσπερον.

Θεοτοκίον.

Ὁ φῶς κατοικῶν, τὴν ἁγίαν ᾤκησε νηδύν σου Ἁγνὴ, Κόσμον ἀπολλύμενον, σκότει ἀγνωσίας ἀνακτώμενος· ὃν ἱκέτευε πάντας φωτίσαι τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ναὸν ζῶντα Θεοῦ ὡς γενόμενον, τοῦ Χριστοῦ τὸ σκήνωμα, ἡ ἀπειρόγαμος, προσφανεροῖ κρυπτόμενον, καὶ δοξάζει λανθάνειν σπουδάζοντα.

Αἱ εὐχαί σου Θεῷ ὡς θυμίαμα, μάκαρ προσεδέχθησαν, ἔνθεν τῷ βίῳ σου, τὰ τῶν πιστῶν φρονήματα, εὐωδίασας Πνεύματος χάριτι.

Ἱερᾷ πολιτείᾳ κοσμούμενον, πάλιν ὁ Χριστὸς μὴ βουλόμενον εὐδόξε, σὲ τῇ πατρίδι δίδωσι, ἀποφεύγοντα δόξαν τὴν πρόσκαιρον.

Θεοτοκίον.

Νόμος φύσεως ἄχραντε Δέσποινα, ὁ δημιουργὸς καινουργήσας τῆς Κτίσεως, ἐκ σοῦ ἀῤῥήτως τίκτεται, καὶ θεοῖ με δι' ἄμετρον ἔλεος.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἀλεξίου σήμερον τοῦ πανολβίου, ἑορτὴν τὴν πάνσεπτον ἐπιτελοῦντες εὐσεβῶς, αὐτὸν ὑμνήσωμεν λέγοντες. χαίροις Ὁσίων τερπνὸν ἐγκαλλώπισμα.

Ὁ Οἶκος.

Τίς τὰς σεπτάς σου ἀρετὰς ἀξίως εὐφημήσει, καὶ ἱκανῶς ὑμνήσει, Ἀλέξιε Θεόφρον; τὴν σωφροσύνην, τὴν ὑπομονὴν, τὴν πρᾳότητα, τὴν ἐγκράτειαν, τὸν ἀκατάπαυστον ὕμνον, τὴν ἄκραν σκληραγωγίαν καὶ ἄμετρον ταπείνωσιν, δι' ὧν Ἀγγέλοις ἐφάμιλλος γενόμενος, πρεσβεύεις ἀεὶ ὑπὲρ τοῦ Κόσμου παντός. διὸ ἀκούεις Ὅσιε, νῦν παρὰ πάντων πιστῶν. Χαίροις Ὁσίων τερπνὸν ἐγκαλλώπισμα.

Τῷ αὐτῷ Μηνὶ ΙΖ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ.



Digitized by Google

Στίχ. Ἄνθρωπος ἐν γῇ τοῦ Θεοῦ κληθεὶς μόνος,
Ἔξεις τί καινὸν κἀν πόλῳ Πατὴρ μόνος.
Ἑβδομάτῃ δεκάτῃ, Ἀλέξιε, πότμον ἀμέτλης.

Οὗτος ἦν ἐκ Ῥώμης, Πατρὸς Εὐφημιανοῦ Πατρικίου, καὶ μητρὸς Ἀγλαΐδος, πλουσίων καὶ πάνυ εὐγενῶν, μονογενὴς ὑπάρχων αὐτοῖς. Παστάδος δὲ γαμικῆς πλακείσης αὐτῷ παρὰ τοῦ Πατρὸς, κατὰ τὸν καιρὸν καθ᾽ ὃν ἔδει τῇ νύμφῃ συγκαθευδῆσαι, δοὺς αὐτῇ δακτύλιον, καὶ ὑπεξάμενος, καὶ λαθὼν ἐξῆλθε τοῦ οἴκου, καὶ τὴν Ἔδεσαν καταλαμβάνει. Προσέμεινε δὲ τῇ Ἐκκλησίᾳ, δέκα καὶ ὀκτὼ ἔτη, ἐν πενιχροῖς καὶ ῥακώδεσιν ἱματίοις, ἐλέῳ καὶ φιλανθρωπίᾳ τῶν προσιόντων τρεφόμενος. Ἀπάρας δὲ ἐκεῖθεν, (οὐ γὰρ ἦν λαθεῖν καὶ διὰ παντὸς τὴν αὐτῇ ἀρετὴν κρύπτεσθαι, ἤδη προσφοιτώντων αὐτῷ πλειόνων καὶ ἐνοχλούντων) καὶ μέλλων εἰς Ταρσὸν τῆς Κιλικίας καταίρειν, ἐν τῷ Ναῷ τοῦ Ἁγίου Ἀποστόλου Παύλου, ταύτης μὲν τῆς ἐφέσεως ἐκ ἔτυχε. τῆς νηὸς πνεύμασιν ἐναντίοις ἑλκυσθείσης ἑτέρωθι. Παραγενόμενος δὲ ἐν τῇ Ῥώμῃ, κατέλαβε τὸν οἶκον τοῦ ἰδίου Πατρός. καὶ ἀγνοηθεὶς τὸ λοιπὸν τῆς ζωῆς τῷ πυλῶνι αὐτοῦ διανύσεν, ἐμπαροινούμενος ὑπὸ τῶν οἰκείων οἰκετῶν, καὶ ἐμπαιζόμενος. καὶ τοσαῦτα πάσχων, ὅσα εἰκὸς ἄνθρωπον ξένον, καὶ μηδεμιᾶς μετέχοντα παῤῥησίας, ὑπὸ τρυφώντων ἀνθρώπων καὶ ἀτακτούντων. Ἐπιστάσης δὲ τῆς μακαρίας τελευτῆς, αἰτήσας χάρτην, καὶ ὅστις εἴη, καὶ ὅστις ἔφυ γράψας, τοῦτον κατεῖχεν, ἕως οὗ ὁ Βασιλεὺς Ὁνώριος θεόθεν ἀποκαλυφθεὶς, παρεγένετο. καὶ δεηθεὶς αὐτῇ, ἤδη τεθνηκότος, τὸν χάρτην ἔλαβε, καὶ ἀναγνωσθέντος αὐτοῦ εἰς ἐπήκοον πάντων, ἐγνώσθη τὸ κατ᾽ αὐτόν. καὶ πάντων ἐκπλαγέντων, τὸ Ἅγιον αὐτοῦ Λείψανον ταφῆς ἐντίμου καὶ μεγαλοπρεποῦς ἔτυχεν ἐν τῷ Ναῷ τοῦ Ἁγίου Ἀποστόλου Πέτρου, μύρα εὐώδη, καὶ ἰάματα τοῖς προσιοῦσιν ἀενάως προχέον.

Τῇ αὐτῇ ἡμέρᾳ, Συνέφθασε καὶ ἡ μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ Σεισμοῦ, ἧς παρ᾽ ἐλπίδα ἐλυτρώσατο ἡμᾶς ὁ φιλάνθρωπος Κύριος. γέγονε δὲ ἐπὶ Κωνσταντίνου Βασιλέως.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Παῦλος ὑπὲρ τῶν Ἁγίων Εἰκόνων πυρὶ τελειοῦται.

Στ. Ζῆλος διεξέκαυσε Παῦλον Εἰκόνων,
Ὡς φλὸξ δι᾽ αὐτὰς ἐξεκαύθη καμίνου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Θεοστήρικτος ὁ ὁμολογητὴς ἐν εἰρήνῃ τελειοῦται.

Στ. Στήριγμα πιστοῖς καὶ μεταστὰς ἐκ βίου.
Τὰς σὰς Θεοστήρικτε πρεσβείας δίδου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἐν τῷ Κυρίῳ Πάσχα Ἀνάστασις τοῦ δικαίου Λαζάρου.

Στ. Θρηνεῖς Ἰησοῦ, τοῦτο θνητῆς οὐσίας.
Ζωοῖς φίλον σὸν, τοῦτο Θείας οὐσίας.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ´. Ἀντίθεον πρόσταγμα.

Ἐπέμεινες Ὅσιε τῶν Γεννητόρων, πυλῶσι καθήμενος. καὶ ὅλως ἀγνοούμενος, καὶ παίδων παροιμίαν ὑποδεχόμενος, καὶ καταπαιζόμενος δεινῶς, καὶ ἐν πτωχείᾳ πολλῇ θλιβόμενος.

Σαρκός σου τὸ φρόνημα ἀπονεκρώσας, ὁρῶν τοὺς Γεννήτορας, καὶ τούτοις ἀγνοούμενος, τῆς φύσεως ἔστεγες τὴν βίαν Ὅσιε, καὶ τὴν παρεώρασιν τῶν σῶν, ἀπείρων παίδων ἐπιθλιβόντων σε.

Ὢ θαῦμα πῶς ἔμεινας ἀεὶ πτωχεύων, ἐν πλούτῳ Ἀλέξιε ἀπείρου ταπεινώσεως, πῶς ἤνεγκας παίζεσθαι καὶ ὀνειδίζεσθαι, ὑπὸ παίδων πάνσοφε τῶν σῶν, ἀγνοησάντων τὴν πολιτείαν σου.

Θεοτοκίον.

Μεγάλου διάκονος σὺ Μυστηρίου, ἐγένου πανάμωμε. Θεὸν γὰρ ἐσωμάτωσας, μεγάλων κακῶν ἡμᾶς ἀπολυτρούμενον, τοὺς σὲ μεγαλύνοντας ἁγνὴ, εὐλογημένη Θεοχαρίτωτε.

Ὠδὴ η´. Κάμινος ποτέ.

Ἄγνωστος τὸ πρὶν γεννήτορσιν ὑπάρχων, ἐν τῷ καιρῷ τῆς ἐκδημίας σου, τῷ-

Digitized by Google

τούτοις τὸ Μυστήριον ἐκκαλύπτεις φανερούμενος, εἰς δόξαν τοῦ Θεοῦ ἡμῶν, ἔνδοξε τοῦ μεγάλως σε καὶ ἀξίως δοξάσαντος.

Κύριος φωνῇ μεγάλῃ φανεροῖ σε, πάσῃ τῇ Ῥώμῃ τὸν κρυπτόμενον, θησαυρὸν πανόλβιε, ἐν πτωχοῦ σχήματι κείμενον, καὶ δωρεαῖς ἰάσεων· ἅπαντας τοὺς ἐν πίστει σοὶ προσιόντας πλουτίζοντα.

Ἄρχοντες λαῶν καὶ Βασιλεῖς συνῆλθον, καὶ Ἱερεῖς μάκαρ κηδεῦσαί σε, Θεοῦ ἐπινεύσεσι, καὶ κατεῖδον μέγα θέαμα, θαμβούμενοι τοῖς θαύμασιν, Ὅσιε οἷς ἐτέλεις, θείᾳ δυνάμει τοῦ πνεύματος. Θεοτοκίον.

Λύσαντας ἡμᾶς τῇ πάλαι παραβάσει, ἀνακαινίζων ὁ φιλάνθρωπος, ἀρρήτως σεσάρκωται, ἐξ ἀφθόρου σου πανάμωμε, νηδύος καὶ ἐρρύσατο, ἅπαντας ἁμαρτίας καταφθορᾶς Παναμώμητε.

Ὠδὴ θ΄. Ἀνάρχου Γεννήτορος.

Ἰδεῖν κατηξίωσαι, Θεοῦ τὴν δόξαν Ὅσιε, καὶ αὐτοῦ σε ἐν τέλει μάκαρ δοξάσαντος. φῶς γὰρ οἱ μὴ βλέποντες εἶδον, καὶ τὸ λαλεῖν ἐβόων οἱ πρώην, τυγχάνοντες ἄλαλοι, πανάοιδιμε Ἀλέξιε.

Ὡράθης προκείμενος, καὶ πρὸς ταφὴν ἀγόμενος, ὥσπερ Ἥλιος Πάτερ πέμπων ἰάσεων, τὰς μαρμαρυγὰς παραδόξως, καὶ σκοτεινὰ πάθη φυγαδεύων, καὶ φλέγων τοὺς Δαίμονας, καὶ φωτίζων τοὺς Θεόφρονας.

Συνῆλθε κηδεῦσαί σε Πατριαρχῶν ὁ πρόκριτος, Βασιλεύς τε ὁ λίαν φιλοχριστότατος, Ἄρχοντες πρεσβῦται καὶ νέοι, καὶ μονάζων χοροὶ θείᾳ νεύσει, καθαγιαζόμενοι, τῇ προσψαύσει σου μακάριε.

Ἡρπάγης ἐν ἅρματι, τῶν ἀρετῶν ὀχούμενος, καὶ κατέπαυσας ἔνθα Ὁσίων τάγματα, καὶ τῶν Ἀποστόλων Μαρτύρων, Πατριαρχῶν, καὶ πάντων Δικαίων, μεθ' ὧν ἡμῶν μέμνησο, τῶν τιμώντων σε Ἀλέξιε. Θεοτοκίον.

Φωνὴν σοὶ προσάγομεν, τοῦ Γαβριὴλ γηθόμενοι, χαῖρε λέγοντες Χώρα ἡ ἀγεώργητος, χαῖρε τῆς κατάρας ἡ λύσις, χαῖρε πηγὴ, ὕδατος τοῦ ζῶντος, Ὁσίων τὸ καύχημα, Θεοτόκε Ἀειπάρθενε.

Ἐξαποστειλάριον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ὢ θαῦμα πῶς ἐν πυλῶσι, σῶν γεννητόρων χρονίως, ὡς τις ἀδάμας ὑπέστης, φύσεως βίαν μὴ καμφθεὶς, Γονέων τε καὶ Συζύγου, Ἀλέξιε πικροῖς θρήνοις. Θεοτοκίον. Ὅμοιον.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες. ἡ α΄. Ὥρα, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ ΙΗ΄.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου, Ἀρχιεπισκόπου Ἱεροσολύμων.

Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστ. προσόμοια. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς ἀστὴρ ἀνατέταλκας, καὶ πιστοὺς κατεφώτισας, ἱεραῖς δογμάτων σου ταῖς λαμπρότησι, καὶ τὰς αἱρέσεις ἐσκότασας, καὶ τέλεον ἔτρεψας, καὶ ὡς δοῦλος τὸ δοθὲν, πλεονάσας σου τάλαντον, εὐηρέστησας, τῷ Δεσπότῃ Θεόφρον· οὗ εἰς χεῖρας, ἐναπέθου σου τὸ Πνεῦμα, τὸ ἱερώτατον Κύριλλε. Ὅμοιον.

Τῇ σοφίᾳ τῶν λόγων σου, καὶ τῷ φέγγει τοῦ βίου σου, ὡς ἀστὴρ πολύφωτος ἀξιάγαστε, μέσον Συνόδου διέλαμψας, Πατέρων τὸν ἄθεον, Μακεδόνιον γνώμαις, ἀποπνίξας τῆς χάριτος, εἰς τὸ Ἅγιον, καὶ ζωῶσαν τὸ πάντα θεῖον Πνεῦμα, βλασφημήσαντα ἀφρόνως, καὶ προφανῶς ἀνομήσαντα. Ὅμοιον.

Νοῦν ἀλάστορα ἤχωσας, τοῦ παράφρονος Μάνεντος, στηλιτεύσας κάλλιστα καὶ σοφώτατα, τὰ βορβορώδη διδάγματα, τῆς τούτου σκαιότητος, Διδασκάλων ἀρχηγὲ, Ἱερέων εὐπρέπεια, θεῖε πρόμαχε, τῆς Χριστοῦ Ἐκκλησίας. διὰ τοῦτο, τὴν ἁγίαν γεγηθότες, ἐπιτελοῦμεν σου Κοίμησιν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Φωτοφόρον παλάτιον, τοῦ Δεσπότου ὑπάρχουσα, καὶ φωτὸς νεφέλη Θεοχαρίτωτε, τοῦ νοητοῦ ἀνατείλαντος, τῷ Κόσμῳ πανάμωμε, φωταγώγησον ἡμῶν, καὶ ψυχὴν καὶ διάνοιαν, καὶ τὰ σκάνδαλα, ἀφανίσασα



Digitized by Google

μίσασα πάντων τοῦ δολίου, τῇ πρεσβείᾳ σου Παρθένε, τὸν λογισμὸν ἡμῶν στήριξον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς ἑώρακε Κύριε, ἡ Παρθένος καὶ Μήτηρ σου, ἐν Σταυρῷ κρεμάμενον ἐξεπλήττετο, καὶ ἀτενίζουσα ἔλεγε· τί σοι ἀνταπέδωκαν, οἱ πολλῶν σου δωρεῶν, ἀπολαύσαντες Δέσποτα; ἀλλὰ δέομαι, μή με μόνην ἐάσῃς ἐν τῷ Κόσμῳ, ἀλλὰ σπεῦσον ἀνάστηθι, συνανιστῶν τοὺς Προπάτορας.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. καὶ τὰ Καθ. καὶ οἱ Κανόνες τοῦ Ἁγίου, καὶ τοῦ Τριῳδίου. ὁ Κανὼν τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχίς.

Κύριλλον ὑμνῶ τὸν πρόεδρον Αἰλίας.

Ὠδὴ α΄. Ἦχος δ΄. Τριστάτας κραταιούς.

Κοσμήσας τὴν ψυχὴν ἀρετῶν ταῖς ἰδέαις, χαρισμάτων δεκτικήν, τοῦ Πνεύματος αὐτὴν τοῦ Ἁγίου τετέλεκας· ὅθεν ἄβυσσον σοφίας, ἐξηρεύξω Αἱρέσεων, τὰ πελάγη ξηραίνουσαν Κύριλλε.

Ὑπέρτερον τὸν νοῦν τῶν ἐνύλων εἰργάσω, τῶν ἀΰλων λειτουργῶν συνόμιλος δειχθείς, τῷ πυρὶ δὲ τῶν λόγων σου, πᾶσαν ἔφλεξας τὴν ὕλην, τῶν αἱρέσεων Κύριλλε, Ἐκκλησίας πυρσὸς ὁ ἀκοίμητος.

Ῥημάτων σου ὀσμαῖς ἡδυπνόοις μανίας, τὴν ἐπώνυμον Σοφὲ αἱρέσεων πασῶν, τὸν ἀνύποιστον βόρβορον, ἤλασας μακρὰν ποιήσας, ὡς ποιμὴν ἀληθέστατος, ὡς Χριστοῦ εὐωδία γενόμενος. Θεοτ.

Ἰλύος ἐκ παθῶν λογισμῶν τρικυμίας, ἐκ βελῶν τοῦ πονηροῦ ἐκ πάσης προσβολῆς, ἁμαρτίας διάσωσον, ἅπαντας τοὺς ἀνυμνοῦντάς σου Πανάμωμε Δέσποινα, τὸν ἀνέκφραστον τόκον Πανάχραντε.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

„ Ὅτι στεῖρα ἔτεκεν ἡ ἐξ Ἐθνῶν Ἐκκλη-
„ σία, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε
„ συναγωγή, τῷ θαυμαστῷ Θεῷ ἡμῶν βοή-
„ σωμεν· Ἅγιος εἶ Κύριε.

Λάμπων ταῖς φαιδρότησι Πνευματικῆς τῆς σοφίας, τὸ τριφεγγὲς τῆς Θείας Τριάδος, Πάτερ τηλαυγῶς τοῖς ἐπὶ γῆς ἐτράνωσας, δι' ἧς σκότους πλάνης ἐλυτρώθημεν.

Λύρα ὤφθης Πνεύματος τοῦ παναγίου Θεόφρον, ἀναφωνοῦσα μέλος ἐπιφανείας τοῦ Χριστοῦ, ὃν ἐν δυσὶ ταῖς φύσεσιν ἐκήρυξας, θέλγων τὰς ψυχὰς ἡμῶν.

Οἶκος ἁγιάσματος σοῦ ἡ ψυχὴ ἀνεδείχθη, ἐν ᾧ Πατὴρ Υἱός τε καὶ τὸ Πνεῦμα τὸ ζωαρχικόν, ὑπερφυῶς κατῴκησεν, ᾧ ψάλλομεν· Ἅγιος εἶ Κύριε.

Θεοτοκίον.

Νοῦς οὐδὲ οὐράνιος τὴν ὑπὲρ νοῦν σου λοχείαν, διερμηνεῦσαι Κόρη δύναται· νοῦ γὰρ τοῦ πρώτου ἐν γαστρί, Λόγον Ἁγνὴ συνέλαβες, τὸν τῷ λόγῳ τὰ πάντα συστησάμενον.

Καθ. Ἦχ. πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν τοῦ Λόγου πεπλουτηκώς, ἐξηρεύξω δογμάτων ῥεῖθρα ζωῆς, καὶ πᾶσαν κατήρδευσας, ἀσεβούντων διάνοιαν, καὶ βακτηρίᾳ Θείᾳ, ποιμάνας τὸ ποίμνιον, ἐπὶ χλόην θείαν, ἐξέθρεψας γνώσεως· ὅθεν ὡς Ποιμένα, καὶ Διδάσκαλον μέγαν, καὶ Πίστεως πρόμαχον, εὐφημοῦμέν σε Κύριλλε, Ἱεράρχα κραυγάζοντες· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἡ γλῶσσά σου Σοφὲ θεϊκαῖς ἐπιπνοίαις, ἐφώτισε λαοὺς μίαν σέβειν Τριάδα, τῇ φύσει ἀμέριστον, μεριστὴν τοῖς προσώποις δέ· ὅθεν χαίροντες τὴν παναγίαν σου μνήμην, ἑορτάζομεν πρὸς τὸν Θεὸν πρεσβευτήν σε, ἀεὶ προβαλλόμενοι.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων, καὶ ἀνάγαγε ἐκ ῥαθυμίας πταισμάτων, τοῦ δοξάζειν σε Παντελεήμον τὴν μόνην, ἐλπίδα τῶν δούλων σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁρῶσά σε Χριστὲ ἡ Πανάμωμος Μήτηρ, νεκρὸν ἐπὶ Σταυροῦ ἡπλωμένον ἐβόα· Υἱέ μου συνάναρχε, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, τίς ἡ ἄφατος οἰκονομία σου αὕτη, δι'

ἧς

Digitized by Google

ἔσωσας τὸ τῶν ἀχράντων χειρῶν σου, σοφὸν δημιούργημα;

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

„Τοὺς Οὐρανοὺς ἡ ἀρετή σου κατεκάλυψε, „καὶ ἡ γῆ ἐπληρώθη τῆς δόξης σου Χρι„στέ. διὸ ἀπαύστως κραυγάζομεν, δόξα „τῇ δυνάμει σου Κύριε.

Ὑπερκοσμίου τῆς σοφίας ῥεῖθρον Ὅσιε, σοῦ ἡ καρδία δεξαμένη, ἐξηρεύξατο Διδασκαλίας τὴν ἄβυσσον, νόας ἀσεβούντων βυθίζουσα.

Μίαν ἰσχὺν μίαν οὐσίαν καὶ βούλησιν, τρισυποστάτου Θεότητος ἐκήρυξας. καὶ πολυθέου Κύριλλε, πλάνης τὸν χειμάρρουν διέλυσας.

Νοῦν βορβορώδη καὶ παράφρονα τοῦ Μανέντος, ὡς μυημένος καὶ Θεοδίδακτος μακάριε, ταῖς ἀστραπαῖς τῶν λόγων σου φλέξας, ἐμφανῶς ἐστηλίτευσας.

Θεοτοκίον.

Ὡς ἀνωτέρα πάντων τῶν ποιημάτων Ἁγνή, τὸν ποιητὴν τῆς Κτίσεως συνέλαβες, καὶ ὑπὲρ φύσιν τέτοκας, φύσιν τὴν ἡμῶν ἀναπλάττοντα.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Τῇ ῥάβδῳ τῆς σεπτῆς, Ἱεράρχα σοφίας σου, ἐποίμανας ἐπὶ ὕδωρ, ὀρθοδόξου λατρείας, τὴν ποίμνην σου μακάριε.

Ὁ λόγος σου φωτὶ, Θεϊκῷ ἀστραπτόμενος, ὦ Κύριλλε φωτισθέντων, ἐν Ἱεροσολύμοις, ἀχλὺν ἀγνοίας ἔλυσε.

Θεοτοκίον.

Νὺξ Πανάγνε παθῶν, καὶ κακῶν ἀμαυρότητες, καλύπτουσι τὴν ψυχήν μου, φωτοδότην τεκοῦσα, καταύγασόν με δέομαι.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν „τριήμερον, ὁ Προφήτης, Ἰωνᾶς ἐν „τῷ κήτει δεόμενος, ἐκ φθορᾶς με ῥῦσαι, „Ἰησοῦ Βασιλεῦ τῶν δυνάμεων.

Ποταμὸς σύ, ὡς ἐξ ἄλλης Ἐδὲμ ἐκπεπόρευσαι, ζωηρρύτων, πεπλησμένος ναμάτων τοῦ Πνεύματος, καὶ τῆς Ἐκκλησίας, Ἱεράρχα μεθύσκεις τὰς αὔλακας.

Ῥημάτων σου, τῷ πυρσῷ θαλαττίου ἐκ κλύδωνος, ἀσεβείας, διασώζεις λαὸν ἱερώτατον, γαλήνην πρὸς ὅρμον, ὀρθοδόξως αὐτὸν ἐκκαλούμενος. Θεοτοκίον.

Οὐρανώσας, γεωθεῖσαν τὴν φύσιν Πανάμωμε, τῶν ἀνθρώπων, καὶ φθαρεῖσαν αὐτὴν ἐκαινούργησας. διὰ τοῦτο Κόρη, ἀσιγήτοις φωναῖς σε γεραίρομεν.

Ὁ Εἱρμός. Ἐβόησε, προτυπῶν.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΙΗ΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου, Ἀρχιεπισκόπου Ἱεροσολύμων.

Στίχ. Εἴσελθε κέρδος ἐκ ταλάντων προσφέρων,
Εἰς τὴν χαρὰν Κύριλλε τοῦ σοῦ Κυρίου.

Ὀγδοάτῃ δεκάτῃ θάνατος μέλας εἷλε Κύριλλον.

Οὗτος ἔφυ Γονέων μὲν εὐσεβῶν, καὶ τὴν ὀρθὴν πρεσβευόντων Πίστιν. ἐφ᾽ ὁμοίοις δὲ παιδεύμασι καὶ αὐτὸς ἀνετέθραπτο ἐπὶ τῆς Βασιλείας Κωνσταντίου. Ἐπεὶ δὲ τῶν Ἱεροσολύμων ὁ Ἐπίσκοπος εἰς τὴν ἀγήρω ζωὴν μετέστη, ὁ μακάριος οὗτος Κύριλλος τῆς Ἐπισκοπικῆς χάριτος ἠξιώθη, τῶν Ἀποστολικῶν δογμάτων προθύμως ὑπερμαχῶν. Ἀκακίου δὲ τὸν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης θρόνον ἐπέχοντος, ὑπὸ δὲ τῆς ἐν Σαρδικῇ Συνόδου ἀποκηρυχθέντος, διὰ τὸ μὴ ἀνέχεσθαι τῷ Πατρὶ τὸν Υἱὸν ὁμοούσιον λέγειν, καὶ τὴν ἐξενεχθεῖσαν ὑπ᾽ αὐτῶν καθαιρετικὴν ψῆφον μὴ καταδεξαμένου, ἀλλ᾽ ἔτι τὸν θρόνον τυραννοῦντος, ἐπεὶ γνώριμος τῷ Βασιλεῖ ἦν, ἐκεῖθεν ἕλκων τὴν ἐξουσίαν, τὸν μακάριον τοῦ θρόνου καθεῖλε Κύριλλον, καὶ τῶν Ἱεροσολύμων ἐξέωσεν. Ὁ δὲ Κύριλλος εἰς Ταρσὸν ἀφικόμενος, τῷ θαυμασίῳ συνῆν Σιλουανῷ. καὶ δὴ εἰς Σελεύκειαν συγκροτηθείσης Συνόδου, δι᾽ αὐτὸ δὴ τοῦτο, Ἀκάκιος ἀπεσκίρτησε, καὶ πρὸς τὴν Κωνσταντινούπολιν ἐξέδραμε. καὶ οἷς εἶπε, τὸν τοῦ Βασιλέως ἀνῆψε θυμὸν κατὰ Κυρίλλου, καὶ ὑπερορίᾳ τοῦτον καταδικάζει. Τοῦ οὖν Κωνσταντίου τὸν βίον ἀπολιπόντος, καὶ Ἰουλιανοῦ τὴν



Digitized by Google

τὴν Βασιλείαν διαδεξαμένου, εἰς εὔνοιαν ἅπαντας τούτους ἐφελκόμενος, τοὺς ὑπὸ Κωνσταντίου τῶν Ἐκκλησιῶν ἐξελαθέντας Ἐπισκόπους, εἰς τὰς οἰκείας Ἐκκλησίας ἐπανελθεῖν ἐκέλευσε. μετὰ πάντων οὖν καὶ αὐτὸς τὸν ἴδιον θρόνον ἀπείληφε. Καλῶς δὲ καὶ θεοφιλῶς τὸ πιστευθὲν αὐτῷ ποίμνιον ποιμάνας, καὶ τὰς ἐμφερομένας αὐτῷ κατηχήσεις μνημόσυνον τῇ Ἐκκλησίᾳ καταλελοιπὼς, ὀλίγον χρόνον μετὰ τὴν ἐπάνοδον βιοὺς, ἐπανεπαύσατο μακαρίως. Ἦν δὲ κατὰ τὸν τύπον τοῦ σώματος, τὴν ἡλικίαν μέτριος, ὠχρὸς, κομήτης, ὑπόσιμος, τετράγωνος τὸ πρόσωπον, τὰς ὀφρῦς εὐθύτητι περιφέρων ἐπισυμμένας, γενείῳ τὰς σιαγόνας λευκῷ δασυνόμενος, διχῆ κατὰ τὸν πώγωνα διῃρημένῳ, ἀγροίκῳ τὸ πᾶν ἦθος προσεοικώς.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Μύριοι, τοὺς αὐχένας τμηθέντες, τελειοῦνται.

Στίχ. Δεκὰς χιλιὰς τὸν αὐχένα τμηθέντες,
Ἀπῆλθον ἔνθα Μυριώνυμοι Νόες.

Καὶ μνήμη τῶν Ἁγίων Μαρτύρων, Τροφίμου, καὶ Εὐκαρπίονος, καὶ τῶν σὺν αὐτοῖς.

Τοῦ διωγμοῦ τῶν Χριστιανῶν ἐν Νικομηδείᾳ παμφλάζοντος, πάντας τοὺς Χριστιανοὺς οἱ συλλαμβάνοντες ἐν ταῖς φυλακαῖς κατεῖχον. εἶθ᾽ οὕτως ἐπαναχείμαντες μετὰ πολλῶν ἐξετάσεων καὶ ποικίλων τιμωριῶν, τοὺς ἐμμένοντας τῇ ὁμολογίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τὸ ζῆν ἀπήλλαττον. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον οὗτοι οἱ Μάρτυρες, Τρόφιμος, καὶ Εὐκαρπίων, δυνατοί τε ὄντες καὶ τολμηροὶ, καὶ στρατευόμενοι, διῶκται καὶ τέλειοι ἐχθροὶ ἐτύγχανον, συλλέγοντες τοὺς Χριστιανοὺς, καὶ ταῖς φυλακαῖς ἐμβάλλοντες, ὡς πᾶσαν ἐξουσίαν λαβόντες κατ᾽ αὐτῶν. οὓς γὰρ ἤθελον ἐτιμώρουν, τινὰς δὲ καὶ περιεποιοῦντο. Ποτὲ οὖν ἀπερχομένων αὐτῶν πρὸς τὸ κατασχεῖν τινὰς, εἶδον πυρκαϊὰν μεγάλην, ῥοιζηδὸν κατερχομένην ἐκ τοῦ Οὐρανοῦ πρὸς αὐτούς. καὶ φωνῆς ἐκεῖθεν ἤκουσαν λεγούσης, ἵνα τί ἀδικεῖτε τοῖς ἐμοῖς ἐπαπειλόμενοι δούλοις; μὴ πλανᾶσθε, οὐδὲ γὰρ δυνήσεταί τις κατακυριεῦσαι τῶν εἰς ἐμὲ πεπιστευκότων, μᾶλλον δὲ προσκολληθήσεται τούτοις, καὶ κερανεῖται τὴν τῶν Οὐρανῶν Βασιλείαν. αὐτῆς δὲ τῆς φωνῆς ἀκούσαντες οἱ ὠμοὶ καὶ θρασεῖς, καὶ κατὰ τῶν τοῦ Χριστοῦ δούλων ἀλαζονευόμενοι, ἔπεσον χαμαὶ, μήτε τὴν θέαν ὑποφέροντες, μήτε τὴν βροντῶσαν ἐκείνην φωνὴν ὑπενεγκόντες. Τοῦτο δὲ μόνον οἰκειούμενοι ἔλεγον, ἀληθῶς μέγας ἐστὶν ὁ Θεὸς, ὁ φανεὶς ἡμῖν σήμερον, καὶ μακάριοι ἐσμὲν καὶ ἡμεῖς, ἐὰν αὐτοῦ γενώμεθα δοῦλοι. Καὶ ὡς ταῦτα μετὰ φόβου ἔλεγον, σχισθεῖσα ἡ πυρίνη ἐκείνη νεφέλη, ἔστη ἔνθεν καὶ ἔνθεν. καὶ αὖθις ἑτέρα φωνὴ ἦλθε λέγουσα, ἐξ αὐτῆς ἀνάστητε, καὶ μεταμεληθεῖσιν ὑμῖν ἀφέωνται αἱ ἁμαρτίαι. Καὶ ἀναστάντες, εἶδον μέσον τῆς νεφέλης καθήμενον τινὰ λευχειμονοῦντα καὶ πανευειδῆ, καὶ πλῆθος περιεστώτων αὐτῷ πολὺ, καὶ ἐπὶ τῇ θέᾳ καταπλαγέντες, δέξαι καὶ ἡμᾶς, ὡς ἐξ ἑνὸς ἀνεβόησαν στόματος, ὅτι πολλὰ ἡμῖν τὰ ἐσφαλμένα καὶ ἄμετρα. ἐκτὸς οὖν εἰς σὲ τὸν ἀληθινὸν μόνον Θεὸν, καὶ τοὺς δούλους πεπαρῳνήκαμεν. Ταῦτα τούτων εἰπόντων, εὐθέως ἡ νεφέλη εἰς ἓν γενομένη ἀνῆλθεν εἰς τὸν Οὐρανόν. Οὗτοι δὲ πολλὰ κλαύσαντες, ὑπέστρεψαν. καὶ ὅσους εἶχον ἐγκεκλεισμένους, πάντα φόβον καὶ δειλίαν ἀποθεμένους, ὡς ἀδελφοὺς ἠσπάζοντο καταπροσκυνοῦντες, καὶ παρακελεύοντες οἴκαδε πορεύεσθαι. Ταῦτα μεμαθηκὼς ὁ Ἄρχων, οὐ μικρῶς ἐχαλέπαινε κατ᾽ αὐτῶν. καὶ παραστήσας αὐτοὺς, ἐπυνθάνετο τὴν αἰτίαν. Ὡς δὲ πᾶσαν τὴν ὀπτασίαν οὗτοι λεπτομερῶς ἐξηγήσαντο, προσέταξεν ὁ Ἄρχων ἀναρτηθῆναι αὐτοὺς ξύλῳ. καὶ τούτου γενομένου, τὰς πλευρὰς αὐτῶν ταῖς χειράγραις κατέξαινον. εἶθ᾽ οὕτω τριχῶν ὑφάσμασι κελεύει κατατρίβεσθαι τὰς πληγάς. Οἱ δὲ Ἅγιοι γενναίως ἐγκαρτεροῦντες, προσηύχοντο εὐφραινόμενοι, καὶ τῷ Θεῷ εὐχαριστοῦντες. ὅθεν καὶ τὸν Ἄρχοντα εἰς μεγάλην ὀργὴν ἐκ τούτου κινήσαντες, κάμινον ἐκκαῆναι μέσον τῆς Πόλεως προστάττει, καὶ ἐν αὐτῇ τοὺς Ἁγίους ἀπορριφῆναι. Καὶ



Digitized by Google

τύτυ γενομένυ, οἱ Ἅγιοι τῆς καμίνυ ἐπιβεβηκότες, τὴν Στέφανον τῦ Μαρτυρίυ ἐν αὐτῇ ἀνεδήσαντο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη Μαρίας τῆς Ἀδελφῆς τῦ Ἁγίυ Λαζάρυ, ὅτε τὺς πόδας τῦ Κυρίυ Νάρδῳ ἀλείψασα, ταῖς θριξὶν ἐξέμαξε.

Στ. Τιμᾷ Γυνή σε, Χριστὲ, Ναρδαλειφίαις,
Ἡ μάκτρον ἡ θριξ σῆς ἀπεκμάττον πόδας.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἐν τῷ Κυρίῳ Πάσχα Κυριακὴ τῆς Βαϊοφόρυ.

Στίχ. Ἄνω σε κόλπος πατρικὸς, Σῶτερ, φέρει,
Κάτω δὲ πῶλος, εὐλογεῖ συ τὸ κράτος.

Αὐτῷ ἡ δόξα εἰς τὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„ Νέοι τρεῖς ἐν Βαβυλῶνι, πρόσταγμα „ τυραννικὸν εἰς φλήναφον θέμε„ νοι· μέσον δὲ πυρὸς ἐμβληθέντες, δροσι„ ζόμενοι ἔψαλλον. εὐλογητὸς εἶ Κύριε, „ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἔχων πῦρ ἐν διανοίᾳ, φόβυ Πάτερ τῦ Θεῦ, ὕλην ἀπετέφρωσας, τὴν τῶν ἡδονῶν ἀναμέλπων. εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Δάκρυσι παθῶν τὴν φλόγα, σβέσας μάκαρ, τὸν πυρσὸν ἐτήρησας ἄσβεστον, τῦ τὸν τῆς ψυχῆς ἀνακράζων. εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ῥεῖθρον ζῶν ἔχων τὴν χάριν, Πνεύματος ἐν τῇ ψυχῇ, Θεόφρον ἀνέβλυσας, Πάτερ ποταμὺς διδαγμάτων, τὴν Ἐκκλησίαν ἄρδοντας, εὐσεβῶς σε γεραίρυσαν.

Θεοτοκίον.

Ὅλην σε καθαγιάζει, Ἅγιος ὁ ἐκ τῆς σῆς, σαρκὸς δομησάμενος, σάρκα ἑαυτῷ Θεοτόκε, ὁ ἐν Ἁγίοις Κύριος, κατοικῶν ὁ Θεὸς ἡμῶν.

Ὠδὴ η'. Λυτρωτὰ τῦ παντός.

Νυσταγμὸν ἀμελείας μακάριε, ἐκ βλεφάρων ψυχῆς ἀπωσάμενος, τὸν τοῖς δικαίοις πρέποντα, νῦν κεκοίμησαι ὕπνον, καὶ πρὸς ἡμέραν, ἀνέσπερυ φωτὸς μεταβέβηκας.

Ἀστραπαῖς συ τῶν λόγων κατέφλεξας, φρυγανώδεις αἱρέσεις ἀοίδιμε, καὶ τὺς πιστὺς ἐφώτισας, μίαν σέβειν Τριάδα, τοῖς χαρακτῆρσιν, ἐν μονάδι ὑπάρχυσαν φύσεως.

Ἱερώσας σαυτὸν ταῖς ἀσκήσεσι, διὰ σὲ τῷ νεκρῷ χρηματίσαντι, σὺ ἀναιμάκτυς τέθυκας Ἱεράρχης ὡς θεῖος, ὡς Μυστηρίων ἀπορρήτων διάκονος Κύριλλε.

Θεοτοκίον.

Λυτρωθέντες ἀρᾶς τῆς Προμήτορος, διὰ σῦ τῆς Ἁγνῆς Θεομήτορος, εὐλογημένη Δέσποινα, εὐλογῦμεν Παρθένε δεδοξασμένη, τὸν παναγιον τόκον συ σέβοντες.

Ὁ Εἱρμός.

„ Λυτρωτὰ τῦ παντὸς παντοδύναμε, τὺς „ ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγ„ καταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλ„ πειν. πάντα τὰ ἔργα εὐλογεῖτε ὑμνεῖ„ τε τὸν Κύριον.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„ Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι, „ τὴν κατάραν εἰσῳκίσατο. σὺ δὲ Παρ„ θένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλα„ στήματι τῷ Κόσμῳ τὴν εὐλογίαν ἐξήν„ θησας. ὅθεν σε πάντες μεγαλύνομεν.

Ἰδεῖν ἐφιέμενος Χριστοῦ τὴν ἄρρητον, Ἱεράρχα δόξαν ἔσπευσας, πάθη νεκρῶσαι ψυχοφθόρα, δοχεῖον τὴν καρδίαν ποιῆσασθαι, σοφίας τῆς ἀμείνω καὶ κρείττονος. ὅθεν σε πίστει μακαρίζομεν.

Ἀστέρα πολύφωτον Χριστὸς ὁ Ἥλιος, Ἐκκλησίας ἐν τῷ ὕψει σε, ἔθετο Κύριλλε ἀκτῖσι, δογμάτων ἱερῶν καταυγάζοντα, καρδίας τῶν πιστῶν ἐκτελῦντων συ, τὴν φωτοφόρον μνήμην Ὅσιε.

Ἐνόμιλος καὶ συλλειτυργὸς γεγένησαι τῶν Ἀγγέλων. ὡς γὰρ ἄσαρκος Πάτερ ἐν γῇ ἐπολιτεύσω. Ὁσίων ἀνεδείχθης συμμέτοχος, καὶ τῶν Ἱεραρχῶν ἰσοστάσιος· οἷς συγχορεύων ἡμῶν μέμνησο.

Θεοτοκίον.

Ἐστειρωμένην θείων ἀρετῶν, παράδοξον τε Θεοτόκε τὴν καρδίαν μυ, δεῖξον Παρθένε καρποφόρον, ἐκ στείρας ἡ τεχθεῖσα βλη-


Digitized by Google

βυλήματι, τὰ πάντα τῦ ποιῦντος τῷ νεύματι, ἵνα ὑμνῶ σε τὴν Παν‌ύμνητον.
Ὁ Εἱρμός. Εὔα μὲν τῷ τῆς παρακοῆς.
Τὸ Φωταγωγικόν.
Καὶ τὰ λοιπὰ ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ ΙΘ΄.

### Τῶν Ἁγίων Μαρτύρων, Χρυσάνθυ καὶ Δαρείας.

Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστ. προσόμοια Ἦχος δ.

Ἔδωκας σημείωσιν.

Θείας ἐπιγνώσεως, εἰσδεδεγμένος τὴν ἔλλαμψιν, ἐφωτίσθης τὰ ὄμματα, σοφὲ τῆς καρδίας σου, καὶ τῆς πλάνης ζόφον, ἔλιπες ἐμφρόνως, καὶ ὡμολόγησας Χριστόν, σαρκαλαβόντα τὸν πάντων Κύριον. ἐντεῦθεν δυναμούμενος, δυνάμει Πνεύματος Χρύσανθε, τῶν βασάνων ἀνώτερος, ἀνεδείχθης πανεύφημε. Ὅμοιον.

Ἐχθρῦ δελεάσματα, καὶ ἡδονῆς ὑπεκκαύματα, ὡς ἀράχνην λελόγισαι, ζοφώδη δὲ κάθειρξιν ὑποστὰς ἔνθεε, φέγγει κατηυγάσθης, καὶ δυσωδίας μονῆς, ἀπεπληρώθης μέσον ἱστάμενος, βορβόρυ καὶ προσήγαγες, ὡς Νυμφοστόλος πανάριστος, τῷ Χριστῷ νύμφην ἄμωμον, τὴν μωμῆσαι σε σπεύσασαν. Ὅμοιον.

Ἐτρώθης τῷ ἔρωτι, τῷ γλυκυτάτῳ τοῦ κτίσαντος, καὶ τῆς πλάνης τὸ ἄθεον, τέλεον ἐξέκλινας, καὶ νυμφῶνος θείυ, ἐχώρησας ἔνδον, νενυμφευμένη τῷ Χριστῷ, διὰ βασάνων πολλῶν τῦ σώματος, Δαρεῖα μεγαλώνυμε, Θεῖον δοχεῖον τοῦ Πνεύματος, ἀθλητῶν ἐγκαλλώπισμα, καὶ παρθένων ἀγλάϊσμα.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἐν κλίνῃ κατάκειμαι, τῆς ἀμελείας πανάμωμε, καὶ ῥαθύμως διέρχομαι, τὸν βίον καὶ δέδοικα, τὸν τῆς τελευτῆς μυ, καιρὸν Θεοτόκε, μὴ ὥσπερ λέων ἀφειδῶς, διασπαράξῃ τὴν ταπεινήν μυ ψυχήν, ὁ ὄφις ὁ παμπόνηρος. διὸ τῇ σῇ ἀγαθότητι, πρὸ τῦ τέλυς προφθάσασα, πρὸς μετάνοιαν ἔγειρον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Νεκρύμενον βλέπυσα, Χριστὸν ἡ πάναγνος Δέσποινα, καὶ νεκρῦντα τὸν δόλιον, ὡς Δεσπότην κλαίυσα, ὕμνει τὸν ἐκ σπλάγχνων, αὐτῆς προελθόντα, καὶ τὸ μακρόθυμον αὐτῦ, ἀποθαυμάζυσα ἀνεκραύγαζε. Τέκνον μυ ποθεινότατον, μὴ ἐπιλάθῃ τῆς δύλης συ, μὴ βραδύνῃς φιλάνθρωπε, τὸ ἐμὸν καταθύμιον.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη, ἀλλοὶ Κανόνες, ὡς σύνηθες, καὶ τῶν Ἁγίων, εἰς δ. Οὗ ἡ ἀκροστιχίς.

Σὲ τὸν χρυσαυγῆ Μαρτύρων ἄνθος σέβω.

Ἰωσήφ. Ὠδὴ α. Ἦχος δ. Θαλάσσης.

Στεφάνῳ ὑπὲρ χρυσὸν ἐκλάμποντα, Μάρτυς κοσμύμενος, καὶ μαρτυρίυ λάμπων καλλοναῖς, τῷ Δεσπότῃ παρίστασαι, ὑπὲρ ἡμῶν δεόμενος, τῶν σὲ τιμώντων ἀξιάγαστε.

Ἐτρώθης τῷ γλυκυτάτῳ ἔρωτι, Μάρτυς τῦ κτίσαντος, καὶ τὰ τερπνὰ τοῦ βίυ παριδών, τὴν ῥοπὴν ὅλην δέδωκας, τῆς σῆς καρδίας Χρύσανθε, τῷ ποθυμένῳ προθυμότατα.

Τῇ Πίστει θωρακισθεὶς κατέβαλες τὸν πολυμήχανον, σοὶ προσβαλόντα Μάρτυς γυναικός, ἡδονῆς δελεάσματα, καὶ τῆς ἁγνείας τίμιον, Χρύσανθε σκεῦος ἐχρημάτισας.

Θεοτοκίον.

Ὁ φύσει τῇ Θεϊκῇ ἀπρόσιτος, προσιτὸς ὤφθη μοι, ἐκ σοῦ Παρθένε σάρκα προσλαβών. ὃν Δαρεῖα ποθήσασα, καρτερικῶς ἐνήθλησε, καὶ νυμφικῶς αὐτῷ προσήνεκται.

Ὠδὴ γ. Εὐφραίνεται ἐπὶ σοί.

Χρυσίον δοκιμασθέν, τῇ τῶν κολάσεων πυρᾷ πέφηνας, Βασιλικῶν Χρύσανθε, φέρων παθημάτων ἐκσφράγισμα.

Ῥητόρων καταλιπών, ἀδολεσχίαν ταῖς πλοκαῖς ἤρασας, τῶν μαθητῶν Χρύσανθε, τῦ περιφανῶς σε σοφίσαντος.

Ὑπείκεις τῷ ἐραστῇ, νυμφαγωγῦντί σε Χριστῷ πάνσοφε, διὰ σε τῆς πίστεως, ἔρωτα σαρκὸς καταλείψασα.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Σαρκὶ τεχθεὶς ἐκ γαστρός, σου τῆς Παρθένου Ἰησοῦς ἄχραντε, Νύμφην Ἁγνὴν Μάρτυρα, ἑαυτῷ Δαρείαν μνηστεύεται.

Ὁ Εἱρμός. Εὐφραίνεται ἐπὶ σοί.

Ὠδὴ γ'. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὸ ὡραιότατον κάλλος ἐπόθησας, καὶ τὰ ὁρώμενα κάλλη παρέδραμες, καὶ προσηγάγω τῷ Χριστῷ χρυσέοις Μάρτυς λόγοις σου, Χρύσανθε μακάριε, τὴν Δαρείαν τὴν ἔνδοξον, ἄθλους διανύσασαν, καὶ Τυράννους αἰσχύνασαν· μεθ' ἧς ἡμῶν μνημόνευε πάντων, τῶν πίστει τελούντων τὴν μνήμην ὑμῶν.

Θεοτοκίον. Ὅμοιον.

Ὡς ἀγεώργητος Παρθένε ἄμπελος, τὸν ὡραιότατον βότρυν ἐβλάστησας, ἀναπηγάζοντα ἡμῖν τὸν οἶνον τὸν σωτήριον, πάντων τὸν εὐφραίνοντα τὰς ψυχὰς καὶ τὰ σώματα· ὅθεν ὡς αἰτίαν σε τῶν καλῶν μακαρίζοντες, ἀεὶ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι, χαῖρε ἡ Κεχαριτωμένη.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐπονείδιστον Οἰκτίρμων θάνατον, διὰ Σταυρώσεως ἑκὼν ὑπέμεινας· ὃν ἡ τεκοῦσά σε Χριστὲ ὁρῶσα ἐπιστεώσκετο· οἴμοι τέκνον ἔλεγε· τί τὸ ξένον μυστήριον; ἧς ταῖς παρακλήσεσι διὰ σπλάγχνα ἐλέους σου, οἰκτείρησον καὶ σῶσον τὸν Κόσμον, ὁ αἴρων τὴν τούτου ἁμαρτίαν.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Αἱ τοῦ Πνεύματος ἀστράψασαι λαμπηδόνες, τῇ καθαρᾷ καρδίᾳ σου ὅλον φωταυγῆ σε, Μάρτυς ἀπειργάσαντο, προθύμως κραυγάζοντα· δόξα τῇ δυνάμει σου Κύριε.

Ὑφαντὸν σοι θείας χάριτος ἐκ τῶν ἄνω, ὁ Ποιητὴς ἐνέδυσεν ἄφθαρτον χιτῶνα, ἄμωμον τηρήσαντα τὸ σῶμα μακάριε, καὶ ὡς νικητὴν ἐστεφάνωσε.

Γενναιότητι καρδίας ἀπετινάξω, τὰς ἡδονὰς τοῦ σώματος κάλλει ἀσυγκρίτῳ θείῳ ἐνδεδεμένος, καὶ χαίρων διήνυσας, τὸ τῆς μαρτυρίας σου στάδιον.

Ἐθεώθης κατὰ μέθεξιν Ἀθλοφόρε, Θεοποιοῦ ἑνώσεως καὶ πρὸς οὐρανίους, εἰσῳκίσθης χαίρουσα θαλάμους ὡς ἄμωμος, Νύμφη τοῦ Δεσπότου τῆς Κτίσεως.

Θεοτοκίον.

Συντηρήσας σε Παρθένον ὡς πρὸ τόκου, μετὰ τὸν τόκον ἄχραντε ἐκ σοῦ ἐσαρκώθη, ὁ ἀπερινόητος Δαρείαν τὴν Μάρτυρα, Νύμφην ἑαυτῷ ἐπαγόμενος.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Μετάρσιον τὸν νοῦν, τῶν ἐνύλων ποιούμενος, δεσμούμενος τὴν κακίαν, τοῦ ἐχθροῦ Ἀθλοφόρε, διέλυσας μακάριε.

Ἁγνείας ἐραστής, γεγονὼς Ἱερώτατε, μετήνεγκας τῆς Παρθένου, τὸ διάπυρον φίλτρον, εἰς Κύριον πανεύφημε.

Πηγνύμενον ὁρῶν, καὶ ποσὶ συμπατούμενον, τὸν Τύραννον γεγηθότι, λογισμῷ τὸν Δεσπότην, παμμάκαρ ἐμεγάλυνας.

Θεοτοκίον.

Τίς δύναται τὸ σόν, ἑρμηνεῦσαι Μυστήριον; ὦ Πάναγνε Θεὸν Λόγον, ὑπὲρ νοῦν γὰρ καὶ λόγον, διπλοῦν τῇ φύσει τέτοκας.

Ὠδὴ ϛ'. Θύσω σοι, μετὰ φωνῆς.

Ὑμνοῦντα, τὸν Δεσπότην τῶν ὅλων ἀοίδιμε, φῶς οὐρανόθεν δι' ὅλου, σε περικυκλῶσαν καταφωτίζει, καθειργμένον, ζοφωτάτῳ οἰκήματι Χρύσανθε.

Ῥώμη σε, μαρτυρίῳ σεπτῷ κλειζόμενον, χρυσοειδῆ ὡς ἀστέρα, κεκτημένη Μάρτυς στολίζεται, τοῖς ἀγῶσι, καὶ τοῖς θείοις σου Χρύσανθε θαύμασι.

Ὡραία, περικαλλής τε καὶ περιδέξιος, Μάρτυς Δαρεία Παρθένε, δεδειγμένη λόγῳ ὡραιοτάτῳ ἐνυμφεύθης, διὰ πόνων παντοίων τοῦ σώματος.

Θεοτοκίον.

Νέον σε, ὡς Παιδίον Παρθένος ἐκύησε, τὸν προαιώνιον Λόγον, ὃν ποθοῦσαι Κόραι ταύτης ὀπίσω, σοὶ τῷ πάντων, Βασιλεῖ νυμφικῶς ἀπηνέχθησαν.

Ὁ Εἱρμός. Θύσω σοι, μετὰ φωνῆς.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΙΘ'. Τῶν Ἁγίων Μαρτύρων, Χρυσάνθου, καὶ Δαρείας.

Στίχ. Ζῶσι Χρύσανθος ἐν πάλῳ, καὶ Δαρεία,
Κἂν ἐκπνέωσι ζῶντες εἰσδύντες βόθρῳ.



Digitized by Google

Χώσαν συζυγίαν δεκάτῃ ἐννάτῃ ὁμόλεκτρον.

Οὗτοι ὑπῆρχον ἐπὶ Νουμεριανοῦ Βασιλέως. ὧν δὲ ὁ μὲν Χρύσανθος, πατρὸς Συγκλητικοῦ, ὀνόματι Πολέμονος Ἀλεξανδρέως, ἡ δὲ Δαρεία τῶν Ἀθηνῶν. Ἐπεὶ δὲ ὁ Χρύσανθος παρά τινος Χριστιανοῦ ἐμυήθη τὰ Θεῖα, καὶ βαπτισθεὶς, παῤῥησίᾳ τὸν Χριστὸν ἐκήρυττε, παρὰ τοῦ πατρὸς καθείργνυται. Ὡς δὲ οὐκ ἐνεδίδου, ἀλλ' ἀπερίτρεπτος ἦν καὶ ἀσάλευτος, ἁρμόζεται ἑαυτῷ κόρην εὐπρόσωπον, καὶ ὡραίαν, τῶν Ἀθηνῶν μεταπεμψάμενος, Δαρείαν ὀνόματι, ὥστε τῷ πρὸς αὐτὴν ἔρωτι, μεταστῆσαι αὐτὸν τῆς τῶν Χριστιανῶν Πίστεως. ἡ δὲ ἀντὶ τοῦ πεῖσαι, μᾶλλον ἐπείσθη, καὶ τὴν ἀσέβειαν ἐξομοσαμένη, τὸ Ἅγιον δέχεται Βάπτισμα, καὶ διεφυλάχθη ἀμφοτέρων ἡ παρθενία ἄτρωτος. Ὅθεν διαβληθέντες πρὸς Κελλερῖνον Ἔπαρχον, εἰς ἐξέτασιν δίδονται Κλαυδίῳ τῷ Ἐπάρχῳ καὶ Τριβούνῳ. ὁ δὲ πολλαῖς βασάνων ἰδέαις τιμωρησάμενος τούτους, ἐπεὶ περιγενομένους αὐτοὺς καὶ τῶν αἰκισμῶν ἀνωτέρους ἑώρα, μεταβαλλόμενος ἐπίστευσεν εἰς τὸν Χριστὸν ἅμα τῇ γυναικὶ αὐτοῦ Ἱλαρίᾳ, καὶ τοῖς δυσὶν Υἱοῖς αὐτῶν Ἰάσονι καὶ Μαύρῳ, καὶ τοῖς ὑπ' αὐτὸν στρατιώταις, οἳ καὶ ὕστερον τὸν τῆς μαρτυρίας ἐδέξαντο στέφανον, κατὰ τὴν ἐννάτην καὶ δεκάτην τοῦ Μαρτίου Μηνός. Καὶ ὁ μὲν Κλαύδιος, λίθῳ προσδεθεὶς, καὶ ἀποῤῥιφεὶς τῷ βυθῷ, οἱ δὲ Υἱοὶ αὐτοῦ σὺν τοῖς στρατιώταις τὰς κεφαλὰς ἀπετμήθησαν. ὁ δὲ Ἅγιος Χρύσανθος, καὶ ἡ Δαρεία ἐβλήθησαν εἰς βόθρον, καὶ ἄνωθεν γῆς ἐπιχεθείσης αὐτοῖς κατεχώθησαν, ἔνθα καὶ τὸ τοῦ Μαρτυρίου τέλος ἐδέξαντο.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Κλαύδιος ὁ Τριβοῦνος ἐν θαλάσσῃ βληθεὶς, τελειοῦται.

Στίχ. Φυγὼν θάλασσαν Κλαύδιος τὴν τῆς πλάνης.
Ἔνδον θαλάσσης βάλλεται παρὰ πλάνων.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Μάρτυς Ἱλαρία ἡ τούτου σύζυγος ξίφει τελειοῦται.

Στ. Ἱλαρία τμηθεῖσα τὴν κάραν ξίφει,
Θεοῦ πρόσωπον ἱλαρώτατα βλέπει.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Μάρτυρες Ἰάσων, καὶ Μαῦρος, οἱ Υἱοὶ αὐτῶν, ξίφει τελειοῦνται.

Στίχ. Σὺν ἀδελφῷ τέμνεται Μαῦρος τὴν κάραν,
Ἀδελφὰ τούτῳ συμφρονήσας Ἰάσων.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Παγχαρίου.

Στ. Ὁ Παγχάριος πᾶσαν ἦν πλήρης χάριν.
Ὃν πρὸς τομὴν ἤμειψεν ἡ Θεοῦ χάρις.

Βασιλεύοντος Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, πᾶσα μὲν Εἰδωλικῆς ἐπεπλήρωτο πλάνης ἡ Οἰκουμένη. Πᾶς δὲ ὁ Χριστὸν ὁμολογῶν, οὐ μόνον ἀφηρπάζετο πᾶσα αὐτοῦ ἡ περιουσία, ἀλλὰ καὶ αὐτὸ τὸ ἀναπνεῖν ἐκ διαφόρων κολάσεων ἀφῃρεῖτο. τότε τοίνυν εἷς, Παγχάριος τοὔνομα, ἐκ τῆς Χώρας τῶν Οὐζάνων, ἐκ Πόλεως Βιλαπάτης, ἐκ προγόνων Χριστιανῶν, ἀνὴρ εὐμεγέθης καὶ ὡραῖος οὗτος καταλαβὼν τὴν Ῥώμην, ᾠκειώθη τῷ Βασιλεῖ. καὶ πρῶτος γενόμενος τῶν ὑπ' αὐτῷ, ἠγαπᾶτο ὑπ' αὐτοῦ ὑπερβαλλόντως. Διὰ ταῦτα οὖν καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην, οὗτος μὲν ἐξωμόσατο τὴν πρὸς Χριστὸν Πίστιν, ἐκεῖνος δὲ σιτηρέσια καὶ προσόδους παντοίας, τὰ μὲν τυπικῶς, τὰ δὲ δεσποτικῶς αὐτὸν δωρήσατο λαμβάνειν, κεκτῆσθαι εἰς ἀπόλαυσιν θεωρίας καὶ ἀνάπαυσιν. τοίνυν καὶ γέγονεν ὁμόφρων κατὰ πάντα τῷ Βασιλεῖ. Ταῦτα μαθοῦσα ἡ μακαρία αὐτοῦ Μήτηρ καὶ ἡ Ἀδελφὴ, δι' ἐπιστολιμαίου λόγου ἐν πρώτοις τὸν τοῦ Θεοῦ φόβον εἰς ἀνάμνησιν ἀγαγεῖν ἐν ἑαυτῷ συνεβούλευσαν, εἶθ' οὕτω τὴν φοβερὰν ἐκείνην Κρίσιν, δι' ἣν, οἱ μὲν ἐπιγνόντες αὐτὸν, καὶ παῤῥησίᾳ ὁμολογήσαντες ἐνώπιον Βασιλέων καὶ Ἀρχόντων, ἄφατον τὴν ἐπαγγελίαν ἔλαβον, καὶ γινώσκειν διαβεβαιοῦνται ὥσπερ πάλιν, οἱ τὴν Θεότητα τούτου ἀθετήσαντες, ὁποίαν τὴν καταδί-

κην,

Digitized by Google

κλίω, μὴ ἀγνοεῖν. Πρὸς τούτοις, καὶ τὸ κἂν τὸν Κόσμον ἅπαντα κερδήσῃ τις, τὴν δὲ ἑαυτοῦ ψυχὴν ζημιωθῇ, οὐκ ἀρκέσει τὸ κέρδος ἰσοστάσιον τῆς ψυχῆς. Τοιαύτην διὰ τῆς Μητρὸς γραφὴν δεξάμενος ὁ Παγχάριος, καὶ ἀναγνοὺς, ὡς ἑαυτοῦ ἐλθὼν, θρηνεῖν ἤρξατο, καὶ τῇ γῇ ἑαυτὸν καταβαλὼν, ἐλέησόν με Κύριε παντοκράτορ, ἐβόα, καὶ μὴ καταισχύνῃς με τὸν δοῦλόν σου ἐνώπιον Ἀγγέλων καὶ ἀνθρώπων, ἀλλὰ φεῖσαί μου διὰ τὸ μέγα σου ἔλεος. Ὡς οὖν τινὲς τῶν τοῦ Παλατίου εἶδον αὐτὸν θρηνοῦντα καὶ τοιαῦτα λέγοντα, προσήγγειλαν τῷ Βασιλεῖ. καὶ παραστάντος αὐτοῦ, λέγε μοι, προσφιλέστατε Παγχάριε, ἔφη ὁ Βασιλεύς. μὴ Ναζωραῖος εἶ; ὁ Ἅγιος εἶπε· Ναζωραῖος εἰμὶ, καὶ Χριστιανὸς, ὦ Βασιλεῦ. Καὶ ὁ Βασιλεύς. ἀρνῆσαι τὴν προσηγορίαν ταύτην διὰ τὴν πρός σε μου ἀγάπην, ἐπεὶ γνωστὸν ἔστω σοι ὡς οὐκ ἀποφαίνομαι θάνατον σύντομον κατὰ σοῦ, εἰ μὴ πρότερον πολλαῖς καὶ διαφόροις καταναλώσω κολάσεσι. καὶ ὁ Ἅγιος· ἐγὼ μὲν, ὦ Βασιλεῦ, ὑπὲρ τοῦ γνωσθῆναι με ὁμόφρονά σοι μέχρι τοῦ παρόντος, φρίττω καὶ δέδοικα, ἵνα μὴ πῦρ ἐλθὸν ἐξ Οὐρανοῦ κατακαύσῃ με. μὴ γένοιτο δέ μοι ἀπὸ τοῦ νῦν ἀρνήσασθαι τὸν Χριστόν μου, κἂν σήμερον, κἂν μετὰ πολλοὺς χρόνους, πολυειδῶς μου τὸ σῶμα, ὡς σὺ φῂς, καταναλώσεις. Τότε ἀποδυθεὶς ὁ Ἅγιος γυμνὸς, τοῖς βουνεύροις ἐτύπτετο. καὶ τῆς Συγκλήτου πάσης διαλυθείσης καὶ παραστάσης, φησὶν ὁ Βασιλεύς. ἔγνωτε ὅτι Παγχάριος ὁ Σακελλάριος καὶ σκρινιάριος τῆς Βασιλείας, τῇ τῶν Γαλιλαίων περιέπεσε θρησκείᾳ; εἴπατε οὖν δοῦλοι, τί ποιήσω; οἱ δὲ εἶπον αὐτῷ· κέλευσον, ὦ Βασιλεῦ, ἐπὶ τοῦ θεάτρου αὐτὸν γυμνωθέντα μαστίζεσθαι, ἀλλ' οὕτω παραπέμψαι τῷ Ἄρχοντι ἐν Νικομηδείᾳ, πρὸς τὸ ἐκεῖσε αὐτὸν ὑπ' ἐκείνου τιμωρηθῆναι, ἵνα μήπω τοῦ αἵματος αὐτοῦ καὶ ἡμεῖς γενώμεθα κοινωνοὶ, ἀγαπητοῦ σου τυγχάνοντος. Ἤρεσεν ἡ βουλὴ τῷ Βασιλεῖ, ὅτι πάνυ αὐτὸν ἠγάπα, καὶ οὐκ ἤθελεν ἰδεῖν τὸν θάνατον αὐτοῦ. καὶ ἀναγαγόντες αὐτὸν ἐπὶ τὸ θέατρον, ἔτυψαν σφοδρῶς. Τότε ὁ Βασιλεὺς τοῖς στρατιώταις ἐκδοὺς τὸν Ἅγιον, καὶ πρόσταγμα πρὸς τὸν ἐν Νικομηδείᾳ Ἄρχοντα ἐκτεθῆναι παρεκελεύσατο, πολυειδῆ θάνατον τοῦ Ἁγίου παρεγγυώμενον. Καὶ τοῦ Ἁγίου τὴν Νικομήδειαν καταλαβόντος, καὶ τῷ Ἄρχοντι παραστάντος, ἐπεὶ πρὸς ἀποκρίσεις οὗτος κατεπείγετο, ἰδοὺ ἐκ τοῦ βασιλικοῦ προστάγματος ἐπέγνως ὅς τίς εἰμι, καὶ τὰ δοκοῦντά σοι λοιπὸν ἐπιμελῶς καὶ ἀναιδῶς ποίει, φησί. Καὶ ὁ Ἄρχων εἶπε· τί σου τὸ ὄνομα; καὶ ὁ Μάρτυς· Παγχάριος τοὔνομα, Χριστιανὸς δὲ ἤμην ἐκ προγόνων, καὶ συναπαχθεὶς τῇ τοῦ Βασιλέως ἀπάτῃ γέγονα ὁμόφρων αὐτοῦ, αὐτῷ κακῶς βουλευσάμενος. διορθωθεὶς δὲ σὺν Θεῷ ὑπὸ τῆς Μητρὸς καὶ τῆς Ἀδελφῆς, προσῆλθον τῷ Χριστῷ καὶ Θεῷ μου. καὶ νῦν σπεύδω ὑπὲρ αὐτοῦ ἀποθανεῖν, ἵνα τὴν ἄρνησιν ἣν κακῶς ἡγησάμην ἀπαλείψω. Ὁ Ἄρχων εἶπεν· Ἄφες ἃ λέγεις, καὶ ποίησον τὸ τοῦ Βασιλέως πρόσταγμα, καὶ μὴ θελήσῃς τοιοῦτος ὢν εὐειδὴς καὶ ὡραῖος, ἀπολέσαι τὸ μνημόσυνόν σου ἀπὸ τῆς γῆς. Καὶ ὁ Ἅγιος· ἡ ἀπώλεια αὕτη, ἣν λέγεις, πρόσκαιρος οὐκ ἔστιν; ἀλλὰ πρόξενος ζωῆς αἰωνίου τοῖς ὑπὲρ Χριστοῦ τὴν ἀπώλειαν ταύτην αἱρετισαμένοις. Ἰδὼν δὲ ὁ Ἄρχων τὸ ἀμετάθετον αὐτοῦ, δέδωκεν ἀπόφασιν, καὶ προσευξάμενος, ἀπετμήθη τὴν κεφαλὴν ὁ τοῦ Χριστοῦ Μάρτυς Παγχάριος, κατὰ τὴν ἐννέα καὶ δεκάτην τοῦ Μαρτίου Μηνὸς, ἐν Νικομηδείᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Διόδωρος Πρεσβύτερος, καὶ Μαριανὸς Διάκονος, σπηλαίῳ ἐγκλεισθέντες, τελειοῦνται.

Στίχ. Ὡς βῆμα τὸ σπήλαιον, εἶδον γὰρ φέρει,
Θύτην τε Χριστοῦ, καὶ σὺν αὐτῷ Λευΐτην.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Τμῆθος μαρτύρων, χρυσοειδὲς σὺ γεγένησαι. δῆμον ἀθλητῶν προσῆξας γὰρ τῷ Χριστῷ, θείοις λόγοις σου καὶ θαύμασι, Μάρτυς Θεόληπτε· μεθ' ὧν πιστῶς σε νῦν μακαρίζομεν.

Νο-

Digitized by Google

Νομὴν βορβόρου, συγκλεισθέντι νυμφῶν σοι πανεύδοξε, θείας εὐωδίας δόξης φωτοειδῆ, Ἰησοῦς καταφαιδρύνει σε· ὃν καθαρότητι, διανοίας πανσόφως ἠγάπησας.

Θῆρα φρουρόν σοι, Παρθενίας Χριστὸς ἐξαπέστειλε, λύμην ἀσεβῶν ἀπείργοντα προφανῶς, μελῳδοῦντί σοι πανεύφημε· εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε. Θεοτοκίον.

Ὁ κατ' οὐσίαν, τὴν Θεϊκὴν ὢν ἀπερίγραπτος, κόλποις σου Παρθένε γέγονε καθ' ἡμᾶς, τῇ σαρκὶ περιγραφόμενος. εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Ὠδὴ ή. Χεῖρας ἐκπετάσας Δανιήλ.

Στερρότητι μάκαρ λογισμοῦ, ἀντιταξάμενος τῷ ματαιόφρονι, δεσμοὺς τοῦ σώματος ἤνεγκας. καὶ λαμπάσι φλογιζόμενος, οὐ κατεφλέχθης τοῖς παισὶ συμψάλλων Χρύσανθε· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σοφίᾳ κοσμούμενος Χριστοῦ, στρατηγὲ μάραγνας, ἀσόφων φρύαγμα καὶ μῦθον ἀλάστορα ᾔσχυνας, τοῦ τὴν Εὔαν ἀπατήσαντος, αἰχμαλωτίσας δυσσεβῶς, τούτῳ τῷ ὅπλῳ σοφὲ, καὶ προσάξας, Νύμφην Θεῷ ἐκλεκτὴν διὰ Πίστεως.

Ἑνώσει ψυχῆς τὴν τῆς σαρκὸς, φυγόντες, ἕνωσιν, ἄγγελοι καμήλια, τοῦ Παντοκράτορος ὤφθητε, καὶ Ναῷ προσανετέθητε, ἐπουρανίῳ ἀθληταὶ ἀναβοῶντες Χριστῷ· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Βουλήσει Θεοῦ τὰ τῆς σαρκὸς, παθῶν κρατήσαντες, πῦρ ἀπετεφρώσατε, τὸ τῆς κολάσεως Χρύσανθος, καὶ Δαρεία δρόσῳ Πνεύματος, καὶ τῶν στεφάνων τῆς ζωῆς ἐτύχετε, μέλποντες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Ὡς ῥόδον ἐν μέσῳ ἀκανθῶν, τοῦ βίου πάναγνε, Θεὸς εὑράμενος, σὲ τὴν ἀμώμητον ᾤκησε, τὴν γαστέρα σου τὴν ἄχραντον, καὶ εὐωδίας μυστικῶς Κόσμον ἐπλήρωσεν ἐκβοῶντα· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θ. Εἱρμός. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ἱερολογοῦντι τὰ θεῖα, θεῖος στρατός σοι προσετέθη, πλάνης ἀνιέρου λυτρωθεὶς, καὶ διὰ ξίφους ἄμωμα θύματα, τῷ δι' ἡμᾶς ὡς πρόβατον, Μάρτυς τυθέντι προσηνέχθησαν.

Ὤφθητε θηρίων ἐν μέσῳ, οἷά περ ἄρνες ἀθλοφόροι, σάρκωσιν κηρύττοντες θείαν, τοῦ κενωθέντος καὶ μέχρις αἵματος, καὶ διὰ πόνων ἄπονον, λῆξιν ἐνθέως ἐκληρώσασθε.

Σήμερον φαιδρῶς ἑορτάζειν, ἅπασαν Πόλιν τε καὶ χώραν, Ῥώμη συγκαλεῖται ἡ Πόλις, τοὺς θείους ἄθλους καὶ τὰ παλαίσματα, ὡς πανδαισίαν ἄϋλον, προβαλλομένη ὑμῶν Ἅγιοι.

Ὤφθητε πρὸς ἄπειρον δόξαν, Χρύσανθε Μάρτυς καὶ Δαρεία, καὶ τῷ Παντοκράτορι Λόγῳ, στεφανηφόροι ἅμα παρέστασθε, ὑπὲρ ἡμῶν πρεσβεύοντες, μακαριζόντων ὑμᾶς πάντοτε. Θεοτοκίον.

Φρίττει λογισμὸς καὶ καρδία, κατανοοῦντα τὴν λοχείαν, τὴν ἀκαταλήπτου Κόρη. Θεὸν γὰρ Λόγον ἐκυοφόρησας, τὸν διὰ σοῦ ῥυόμενον, πάσης ἀνάγκης τοὺς τιμῶντάς σε.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

Τῷ αὐτῷ Μηνὶ Κ΄.

Τῶν Ὁσίων Πατέρων ἡμῶν, τῶν ἐν τῇ Μονῇ τοῦ Ἁγίου Σάββα ἀναιρεθέντων.

Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, τὰ προσόμοια. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἐφιέμενοι τὸ ἀκρότατον, ὁλικῶς ἀνακείμενοι, καὶ τοῦ βίου Ὅσιοι ὥσπερ σκύβαλα, τερπνὰ ἡγήσασθε ἅπαντα, καὶ μόνα τὰ μένοντα, ἀγρυπνίᾳ καὶ εὐχῇ, μισθὸν τε καὶ χεύσωνι ἐποθήσατε, συνηλόδιοι ἅμα γεγονότες, συμπολῖται τῶν Ἀγγέλων, ἀναδειχθέντες ἐν χάριτι. Ὁμοίως.

Digitized by Google

Καὶ

Και ῥοπάλοις τυπτόμενοι, καὶ τοῖς λίθοις βαλλόμενοι, καὶ πυγμαῖς κοπτόμενοι τὴν ὁμόνοιαν, οὐ διελύσατε Μάρτυρες, ἀγάπῃ συνδούμενοι καὶ στοργῇ ἀδελφικῇ. ἀλλ' ὑφ' ἓν θανατούμενοι, καὶ τεμνόμενοι μεληδὸν Ἀθλοφόροι τῇ τραπέζῃ, προσηνέχθητε τῇ θείᾳ, ὡς ἱερεῖα ἀμώμητα.

Ὅμοιον.

Καὶ πνιγμῷ συγκλειόμενοι, καὶ πυρὶ δαπανώμενοι τὰς ψυχὰς παρέθεσθε ὡς ἀμώμητα, Μάρτυρες ἔνδοξοι θύματα, χειρὶ τοῦ Παντάνακτος, καὶ συνήφθητε χοροῖς, ἀσωμάτων Δυνάμεων, αὐλιζουσῶν, κληρωσάμενοι δόξαν ἧς μεθέξειν, τοὺς ὑμᾶς ἀνυμνοῦντας, ἀδιαλείπτως πρεσβεύσατε.

Δόξα, καὶ νῦν. Στ. Ὅμοιον.

Μετανοίας τὸ ἄριστον, καὶ σωτήριον φάρμακον, ἡ Θεὸν κυήσασα τὸν σωτῆρά μου, καὶ τῶν δακρύων τὰ ῥεύματα, καὶ ὥρας τὴν ἀμνοιαν, τῆς φρικτῆς καὶ φοβερᾶς, καὶ Κριτοῦ τὸ ἀδέκαστον, σύ μοι δώρησαι, ἐκφυγεῖν ταῖς εὐχαῖς σου ὦ Παρθένε, τῶν κολάσεων τὸν δρόμον, καὶ θείας τεύξασθαι χάριτος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀμνὰς ἡ κυήσασα, τὸν ἀρνίον τὸν ἄκακον, τὸ τὴν ἁμαρτίαν ἐλθὼν ἰάσασθαι, παντὸς τοῦ Κόσμου Παναμώμε, οἰκείῳ αἵματι, τὸν σφαγέν ὑπὲρ ἡμῶν, καὶ ζωῶσαν τὰ σύμπαντα, σύ με ἔνδυσον, γυμνωθέντα τῆς θείας ἀφθαρσίας, διὰ ἐκείνου τοῦ σοῦ τόκου, περιβολὴν θείας χάριτος.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες ὡς συνήθες, καὶ τῶν Ἁγίων, εἰς δ. Οὗ ἡ ἀκροστιχίς.

Ὕμνοις γεραίρω Μάρτυρας μονοτρόπους.

Ὠδὴ α. Ἦχος Πλ. δ.

Ποίημα Στεφάνου Σαββαΐτου. Ὁ Εἱρμός.

„ Ἆσμα ἀναπέμψωμεν λαοί, τῷ θαυμαστῷ Θεῷ ἡμῶν, τῷ ἀπαλλάξαντι τὸν Ἰσραὴλ δουλείας, ᾠδὴν ἐπινίκιον „ ᾄδοντες καὶ βοῶντες ἄσομέν σοι τῷ μόνῳ „ Δεσπότῃ.

Ὕμνοις τὴν Θεοπρεπέστατον πληθὺν, τῶν ἱερῶν Μαρτύρων σου, ποθοῦντι ἀνυμνῆσαι Χριστέ μοι οὐρανόθεν, παράσχου φῶς γνώσεως, τούτων ταῖς ἱκεσίαις, ἵνα μέλψω Θεόφθεγκτον ᾆσμα.

Νόμῳ τῷ τοῦ Πνεύματος σοφοί, τὰ μέλη κυβερνήσαντες. ὑμῶν καὶ τὰς αἰσθήσεις ναοὶ ἡγιασμένοι, Θεοῦ ἀνεδείχθητε, Μάρτυρες Θεοφόροι, ἐν ὑμῖν γὰρ Χριστὸς ἐμπεριεῖληπται.

Ὄλβον τὸν φθειρόμενον ἐν γῇ, καταλιπόντες Ἅγιοι, καὶ τὰ τερπνὰ τοῦ βίου ὡς ὄναρ παριδόντες, Χριστοῦ ἠρετίσασθε τὴν μὴ σαλευομένην, Βασιλείαν, ἧς νῦν ἐμφορεῖσθε.

Θεοτοκίον.

Κλίμαξ ἀνεδείχθη μυστικὴ, ἣν Ἰακὼβ τεθέαται, ὁ ἐκλεκτὸς τοῦ Θεοῦ. δι' ἧς ἀρρήτῳ λόγῳ προσῆλθεν ὁ ἄσαρκος, σὰρξ ἀτρέπτως γενέσθαι, ὑπὲρ λόγον ἐκ σοῦ Θεοτόκε.

Ὠδὴ γ. Οὐρανίας ἁψῖδος.

Ἱερώσαντες ὅλον τὸν ἑαυτῶν Ἅγιοι, βίον ἀκηλίδωτον ὅλως τῷ παντεπόπτῃ Θεῷ, προσενηνόχατε, ὁλοκαυτώματα θεῖα ἑαυτοὺς καὶ τέλειον στέφανον ἤρασθε.

Σάββα τοῦ Θεοφόρου ὡς φοιτηταὶ γνήσιοι, τὴν ἐκ τῶν θορύβων ποθήσαντες ἀναχώρησιν, μονὴν ποιούμενοι, τὴν στενομένην ποθοῦντες, πρὸς ζωὴν ἐφθάσατε τὴν ἀτελεύτητον.

Γεωργήσαντες σπόρον τὸν ἐν ὑμῖν Ὅσιοι, ἐγκαταβληθέντα τοῦ λόγου καὶ τῶν δακρύων ῥοαῖς, ἄγαν ἀρδεύοντες, ἑκατοστεύοντα στάχυν, τῷ Θεῷ προσάγετε καρποφορήσαντες.

Θεοτοκίον.

Ἐνοικήσας Παρθένῳ σωματικῶς Κύριε, ὤφθης τοῖς ἀνθρώποις ὡς ἔπρεπε θεάσασθαί σε. ἣν καὶ ἀνέδειξας, ὡς ἀληθῆ Θεοτόκον, καὶ πιστῶν βοήθειαν μόνε φιλάνθρωπε.

Ὁ Εἱρμός. Οὐρανίας ἁψῖδος ὀροφουργέ.

Καθισμα. Ἦχος Πλ. δ. Τὸ προσταχθέν.

Δι' ἐγκρατείας τῶν παθῶν τὰς πυριφλέκτους, ἀπονεκρώσαντες μορφὰς καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ Θεόληπτοι ἑπόμενοι κατ' ἴχνος, τῷ πάντα τετηρημένῳ μόνῳ Θεῷ, καθάπερ δεκτὴ θυσία ζῶσα καὶ καθαρὰ, προσηνέχθητε σφάγια, διὰ



Digitized by Google

χειρὸς βαρβαρικῆς, τυπτόμενοι σφαττόμενοι, καὶ βιαίως κοπτόμενοι.

Θεοτοκίον. Ὅμοιον.

Θεοχαρίτωτε Ἁγνὴ ἀλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω δυνάμεσι καὶ τοῖς Ἀρχαγγέλοις, καὶ πᾶσι τοῖς ἀσωμάτοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους συγχώρησιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

Σταυροθεοτοκίον.

Τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ σωτῆρα τοῦ κόσμου, ἐν τῷ Σταυρῷ θεωροῦσα ἡ τεκοῦσα, ἔλεγε δακρύουσα. ὁ μὲν Κόσμος ἀγάλλεται δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν ἣν ὑπὲρ πάντων ὑπομένεις ὁ Υἱὸς καὶ Θεός μου.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„Ἐπέβης ἐφ' ἵππους τοὺς Ἀποστόλους σου
„Κύριε, καὶ ἐδέξω χερσί σου ἡνίας αὐ-
„τῶν, καὶ σωτηρία γέγονεν ἡ ἱππασία σου,
„τοῖς πιστῶς μελῳδοῦσι· δόξα τῇ δυνάμει
„σου Κύριε.

Ἐρήμῳ ἀνίκμῳ ἐγκαρτεροῦντας ὁ ἐχθρός, ἀρεταῖς ποικίλαις ἐμπρέποντας, τοὺς ἀηττήτους Μάρτυρας ἐπυρπόλει τὸ δεινῶς, τῷ φθόνῳ βεβλημένος, καὶ πρὸς παράταξιν ἐτρέπετο.

Ῥιζώσας τὴν πλάνην ἐν τοῖς ἰδίοις αὐτοῦ μαθηταῖς, πρὸς ἀλληλοφωνίαν ἠρέθισε, τὰ τῶν Βαρβάρων φῦλα ὁ Δράκων ὁ δόλιος, δι' ὧν καὶ τῆς ἐρήμου, ἐξῶσαι τοὺς Ὁσίους ἠπείγετο.

Ἀγρίως τὰ κύματα περιβαλὼν ὡς ἐπόθησε, φυγαδεύσας δὲ τούτους οὐκ ἴσχυσε τοὺς ἀηττήτους, ὁ τῶν Ἁγίων ἀντίπαλος νικηθεὶς ἀοράτως, ὀφθαλμοφανῶς ἐπεστράτευσε.

Τοῦ καὶ μανίας ἐμπεπλησμένος ἐφώρμησε, σὺν τοῖς ὑπασπισταῖς ὁ ἀρχέκακος, θηριωδῶς δὲ τοῖς μακαρίοις ἐφήλατο, καὶ πληγαῖς ἀνεικέστοις, αἵματος λιβάδας ἐξέχεε.

Ῥεύσεις ἀπήντων ὕλης χρυσίον, φθαρτοῦ θησαυροῦ, οἱ τῇ γῇ τὰς ἐλπίδας ἐρείσαντες. οἱ δὲ γενναῖοι ἐν οὐρανοῖς, ἀναθέμενοι τὰς ἐλπίδας ἐβόων· δόξα τῇ δυνάμει σου Κύριε.

Ὡς θῆρες ῥοπάλοις ἀνηλεῶς καὶ τοῖς ξίφεσι, τοὺς Ὁσίους καὶ λίθοις ᾐκίζοντο, τοὺς σφῶν προκειμένους καταμηνύειν κελεύοντες· ἀλλ' ἀνένδοτον πάντες, Νόμῳ τῆς ἀγάπης μεμυημένοι.

Θεοτοκίον.

Παρθένε καὶ Μήτηρ τῶν Ἀποστόλων ἐγκαλλώπισμα, καὶ Μαρτύρων Ἁγίων κραταίωμα, καὶ τῶν Ὁσίων καύχημά τε καὶ διάσωσμα, τῶν πιστῶς μελῳδούντων· δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Μυηθέντες ἀγάπης, Σῶτερ τὸν δεσμὸν τῆς τελείας οἱ Ὅσιοι, καὶ πεπαιδευμένοι, ὑπὸ σοῦ τὰς ψυχὰς προετέθησαν, ὑπὲρ τῶν ἰδίων, φίλων τὸ σὸν ὑπεράνθρωπον, ἐθελούσιον θῦμα μιμούμενοι.

Ἀγάπην ὑπὲρ τὴν φύσιν, τὴν ἐκ θελήματος σαρκὸς γεννηθεῖσαν Χριστέ, τὸ διάταγμά σου, τοῦ θανάτου ἐφάνη στερρότερον. τῷ γὰρ σῷ στοιχοῦντες, Νόμῳ θανεῖν ὑπὲρ τῶν φίλων, ἀνηλεῶς οἱ Θεόφρονες ἤρχοντο.

Ῥαντισθέντες ὑσσώπῳ, διὰ τοῦ βαπτίσματος τῷ νοητῷ τῆς ψυχῆς, τοῖς οἰκείοις αὖθις, ἐρραντίσθητε αἵμασιν Ὅσιοι, ἐν φρουρᾷ πυρὸς δέ, οἷα χρυσὸς δοκιμασθέντες, προσηνέχθητε θῦμα εὐῶδες Χριστῷ.

Θεοτοκίον.

Μητρικὴν παρρησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πάναγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα, ὅτι σὲ καὶ μόνην, Χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

„Πρὸς τὸν δυνάμενον σώζειν με Κύ-
„ριον, ἐκ βυθοῦ ἁμαρτιῶν ἐβόησα,
„καὶ ἐκ φθορᾶς ἀνήγαγε, τὴν ζωήν μου ὡς
„φιλάνθρωπος.

Τὰς ἀπειλὰς τῶν Τυράννων οὐκ ἔπτηξαν, οἱ θεράποντες Χριστοῦ. τὸν βίον γὰρ

Digitized by Google

γὰρ διηνεκῶς μελέτημα, τοῦ θανάτου προκατέστησαν.

Υ'πομονοῦντες πλουτεῖν τοὺς ἀκτήμονας, ἀφειδῶς οἱ ἀσεβεῖς ἐκόλαζον, τοὺς φθαρτὰ μὲν ῥίψαντας, κτησαμένους δὲ τὰ ἄφθαρτα.

Ρ'ώμην ἀνίκητον ἀμφιασάμενοι, τοῦ Χριστοῦ οἱ Ἀθληταὶ, ἐτρέψαντο τοῦ μονῆ τοῦ Ἀλάστορος, καὶ Βαρβάρων τὰ φρυάγματα.

Θεοτοκίον.

Ω'ς ἐπὶ κούφης νεφέλης ἐλήλυθεν, ἐπὶ σοὶ ὁ Βασιλέων Κύριος, τοῦ καθελεῖν Αἰγύπτια, χειροποίητα Παμμάκαρ.

Ο' Εἱρμός. Πρὸς τὸν δυνάμενον.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Κ'. Τῶν Ἁγίων Ἀββάδων, τῶν ἀναιρεθέντων ὑπὸ τῶν Ἀράβων ἐν τῇ Μονῇ τοῦ Ἁγίου Σάββα τοῦ ἡγιασμένου.

Ο'ὗτοι οἱ Ἅγιοι Πατέρες, ἐκ διαφόρων τόπων συναθροισθέντες, καὶ τῇ Μονῇ τοῦ Ἁγίου Σάββα προκαθεζόμενοι, ἐν ἀσκήσει πολλῇ καὶ καλῇ πολιτείᾳ τὸν Θεὸν ἐθεράπευον. Ἀλλ' ὁ βασκαίνων καὶ φθονῶν Διάβολος, καὶ μάλιστα τοῖς ἐν ἀρεταῖς, διήγειρεν ἐπ' αὐτοὺς ἀθέους Αἰθίοπας, ἐλπίζοντας πλοῦτον περιουσίαν λαβεῖν. Ὡς δὲ ἀπελθόντες, οὐδὲν εὗρον, τοὺς μὲν ἀποκεφαλίσαντες, τοὺς δὲ διχοτομήσαντες, καὶ τοὺς μὲν κατακεντήσαντες, καὶ τὰ αἵματα αὐτῶν ἐκχέαντες, καὶ διαφόρως ἀνελόντες ἀπέκτειναν. Οἱ δὲ Ὅσιοι εὐχαριστοῦντες, παρέδωκαν τὰς ψυχὰς αὐτῶν τῷ Κυρίῳ, ἀπολαβόντες τὴν αἰώνιον καὶ μακαρίαν ζωὴν τῆς Βασιλείας τῶν Οὐρανῶν. δι' ἣν τούς τε ἀγῶνας τῆς ἀσκήσεως, καὶ τὸ μαρτύριον τῆς ἀθλήσεως προθύμως ὑπέμειναν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γερασίμου.

Στίχ. Ὑπηρέτης θὴρ τῷ Γερασίμῳ γέρας. Θῆρας παθῶν κτείναντι, πρὶν λῆσαι βίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Νικήτα, Ἐπισκόπου Ἀπολλωνιάδος.

Ο'ὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν καὶ ὁμολογητὴς, ἐν τῷ καιρῷ τῶν Εἰκονομάχων, ὑπῆρχεν Ἐπίσκοπος Ἀπολλωνιάδος, οὐ μόνον πιστὸς καὶ εὐλαβὴς καὶ ὀρθοδοξότατος, ἀλλὰ καὶ ἐλεήμων καὶ συμπαθὴς, πολὺς τὴν γνῶσιν, πολὺς τὸν λόγον. ὅθεν ἀναγκασθεὶς ἀρνήσασθαι τὴν προσκύνησιν τῶν Ἁγίων Εἰκόνων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς παναχράντου αὐτοῦ Μητρὸς, καὶ τῶν ἱερῶν καὶ θείων Ἀγγέλων, καὶ πάντων τῶν Ἁγίων, καὶ μὴ πεισθεὶς, ἐξορίαις καταδικάζεται, καὶ πειρασμοῖς ἀνεικέστοις καθυποβάλλεται.. ἐφ' οἷς νοσήσας δεινῶς, παρέθετο τὴν Ἁγίαν αὐτοῦ ψυχὴν εἰς χεῖρας Θεοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων ἑπτὰ Γυναικῶν, τῶν ἐν Ἀμινσῷ, Ἀλεξανδρείας, Κλαυδίας, Εὐφρασίας, Ματρώνης, Ἰουλιανῆς, Εὐφημίας, καὶ Θεοδοσίας.

Στίχ. Δηλοῖ Γυναικῶν τῶν πεπυρπολημένων,
Ἀριθμὸς ἑπτὰ παρθένος τῶν Παρθένων,
Ἔνδοθι πυρκαϊᾶς βάλον ἑπτὰ γυναῖκας.

Α'ὗται ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ τοῦ δυσσεβοῦς. ὑφ' οὗ, διωγμοῦ κινηθέντος μεγάλου κατὰ τῶν Χριστιανῶν, πᾶσα ἡλικία τῶν τὸν Χριστὸν ὁμολογούντων, διαφόρως βασάνοις, καὶ ποικίλοις θανάτοις διεκόπτετο. Ἐπεὶ δὲ ἐν Ἀμινσῷ τῇ Πόλει τὸ αὐτὸ ἐπετελεῖτο παρὰ τοῦ Ἄρχοντος τῆς Πόλεως, καὶ αὗται αἱ ἑπτὰ πεπαρρησιασμέναι ἔστησαν ἐνώπιον αὐτοῦ, καὶ Χριστιανὰς ἑαυτὰς ὁμολογήσασαι, καὶ τὸν Ἄρχοντα ὠμὸν καὶ ἀπάνθρωπον, καὶ ἐχθρῶν αὐτὸν ἀποκαλέσασαι, πρῶτον μὲν ἐκδυθεῖσαι ῥαβδίζονται, ἔπειτα τοὺς μαστοὺς ξίφει ἐκκόπτονται. μετὰ δὲ ταῦτα κρεμασθεῖσαι ξέονται, ἄχρι καὶ τῆς διαφανείας τῶν ἐγκάτων αὐτῶν. καὶ τελευταῖον εἰς κάμινον πυρὸς ἐμβληθεῖσαι, παρέδωκαν τὰς ἑαυτῶν ψυχὰς τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Ῥοδιανὸς ξίφει τελειοῦται.

Στίχ. Ὁ Ῥοδιανὸς ὡς ἐρυθρὸν σοὶ ῥόδον, Χριστὲ, προσήχθη τὸ σῶμα βεβαμμένος.

Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἀκύλας ὁ Ἔπαρχος ξίφει τελειοῦται.

Στίχ. Ἄμωμον ἱερεῖον ὤφθης Ἀκύλα,
Τμηθεὶς ἀμώμῳ Δεσπότῃ διὰ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Λωλίων πυγμαῖς βαλλόμενος τελειοῦται.

Ὁ Λωλίων ἔστηκε τὰς πυγμὰς φέρων,
Καὶ μὴ στεναγμὸν μηδὲ μυγμὸν ἐκφέρων.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἐμμανουὴλ ξίφει τελειοῦται.

Ξίφει χεθήτω κἂν κοτύλη φησί μοι,
Ἐμμανουὴλ πέφυκεν αἵματος μία.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

„ Οἱ τῆς Χαλδαίων καμίνου, τὴν παμώλεθρον δύναμιν σβέσαντες, μορφῇ Ἀγγέλου συγκαταβάντος, τῷ Δημιουργῷ νεανίαι ἐκραύγαζον· Εὐλογητὸς εἶ καὶ αἰνετὸς, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἀπηνεώθησαν ἄμφω, τὰ πολέμια τῶν ἐναντίων στίφη, τῶν ὁρωμένων καὶ ἀοράτων, ἐν τοῖς αἰκισμοῖς καθορῶντες τοὺς Μάρτυρας ὑμνολογοῦντας· Εὐλογητὸς εἶ αἰνετὸς, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Σοὶ τῷ Χριστῷ νυμφευθέντες, καὶ τῷ ἔρωτί σου τιτρωσκόμενοι, τοῦ μόνου ὄντως ἠγαπημένου, γένος καὶ πατρίδα καὶ πλοῦτον ἠθέτησαν, οἱ πρόσφυγές σου ὦ Λυτρωτὰ, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Μιαιφονία βαρβάρων, οὐ μετέστησε τοὺς ἐραστάς σου Χριστὲ, τῆς ἐν ἐρήμῳ Θεολατρείας. τοὺς γὰρ ἀφαιροῦντας τὸ σῶμα οὐκ ἔπτηξαν, τὰς σὰς κατέχοντες ἐντολὰς, ὡς ἀκράδαντον θεμέλιον.

Νόμον Θεόγραφον ἔνδον, ἐν πλαξὶ τῶν καρδιῶν ὑμῶν, Θεόθεν Μάρτυρες δεδεγμένοι, ἕνα ἐν Τριάδι Θεὸν ἐκηρύττετε, αὐτῷ βοῶντες. Εὐλογητὸς εἶ καὶ αἰνετὸς, ὑπερούσιε, μόνε φιλάνθρωπε.

Θεοτοκίον.

Ἐν τῷ φωτὶ τοῦ Κυρίου πορευόμενοι, δεῦτε ὑμνήσωμεν τὴν θείαν πύλην, τοῦ Βασιλέως τῶν βασιλευόντων Μαρίαν τὴν ἄχραντον, τὴν Θεοτόκον τὴν ἀληθῆ, ὡς ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„ Ἀσεβείας ὄργανον ἀλλοῖον μέλος, εὐσεβείας δὲ αἱ Θεόφθογγοι ἐκέλαδον φόρμιγγες. Εὐλογεῖτε πάντα τὰ ἔργα Χριστὸν εἰς τοὺς αἰῶνας.

Οὐρανίαις τάξεσιν ἡμιλλημένοι, οἱ ἰσάγγελοι ὁλονύκτως ἀγρυπνίαις ἔψαλλον· Εὐλογεῖτε πάντα τὰ ἔργα Χριστὸν εἰς τοὺς αἰῶνας.

Τὸν Σταυρὸν ἀράμενοι σοὶ τῷ Δεσπότῃ, ἠκολούθησαν ὁλοψύχως, οἱ Μάρτυρες ψάλλοντες. Εὐλογεῖτε πάντα τὰ ἔργα Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥάβδοις συνθλαττόμενοι λίθων ῥιφάδας, ὑφιστάμενοι πανόλβιοι ἀρετῆς ἀντείχοντο. Εὐλογεῖτε πάντα τὰ ἔργα Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὁλοτρόπῳ σώματι ψυχὴν καὶ πνεῦμα, καθηράμενοι οἱ μακάριοι τῷ Χριστῷ ἀνέμελπον. Εὐλογεῖτε πάντα τὰ ἔργα εἰς πάντας τοὺς αἰῶνας.

Οἱ διττὴν ὑπόστασιν σὲ βλασφημοῦντες, τὸν ἀμέριστον αἰσχυνέσθωσαν ὡς τετράδα σέβοντες. ἡμεῖς γάρ σε ἕνα τῆς Τριάδος, Χριστὲ προσκυνοῦμεν.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ποικίλως γυμνασθέντες οἱ ἀθληταὶ, καὶ νικήσαντες τοῦ Κοσμοκράτορος, τὰς μηχανὰς, ᾔσχυναν ἀνδρείως καὶ εὐσεβῶς, βαρβαρικὴν ἀπόνοιαν, τούτων ὑπομείναντες τὰς ὁρμάς. διὸ καὶ τοὺς στεφάνους, διπλοῦς ἐκ τοῦ δικαίου, ἀγωνοθέτου ἐκομίσαντο.

Ὁ παῖς καὶ ἐν σπηλαίοις ἀσκητικῶς, τὴν ζωὴν διελθόντες μακάριοι, ἄντρου στενοῦ, χάσματι καθείρχθητε ἀφεγγεῖ, πεφοινιγμένοι αἵμασι, καύσει τε πυρὸς καὶ τῇ ἐκ καπνοῦ, δεινῶς ἀποσμηχούσῃ, ἀτμίδι ἐκπνιγέντες, τροπαιοφόροι ἀπεφάνθητε.

Ὑμνοῦμεν τοὺς ἀγῶνας ὑπερφυῶς, οὓς πρὸς τὴν ἁμαρτίαν ἠθλήσατε, νεανικῶς, ἀντικαθιστάμενοι τοῦ Χριστοῦ, ὡς στρατιῶται ἔνδοξοι. καὶ γὰρ ἐνικήσατε εὐκλεῶς, καὶ νῦν παρεστηκότες, σὺν τάγμασιν Ἁγίων, τῷ Πανυψίστῳ ἡμῶν μέμνησθε.

Digitized by Google

Ἐν τῷ Σάββα τῷ Πατρὶ καὶ Καθηγητῇ ὡς ἀφόθαντα τέκνα μακάριοι, ἐν Οὐρανοῖς, αἴγλης ἐμφορούμενοι τρίλαμπτοῦς, ὑπὲρ ἡμῶν πρεσβεύσατε, τῶν συμφοιτητῶν τε καὶ ὑμνητῶν, εἰρήνην δωρηθῆναι, κοινῶς ταῖς Ἐκκλησίαις, καὶ σωτηρίαν ταῖς ψυχαῖς ἡμῶν. Θεοτοκίον.

Ὀφρὺν καὶ θράσος ἅμα τῶν δυσμενῶν, ὁ τεχθεὶς ἐκ Παρθένου κατέβαλε, καὶ τὰς βουλὰς, τῶν κακοδοξούντων Δημιουργέ, τῶν δὲ πιστῶν τὸ σύστημα, στήριξον ἀκράδαντον ὡς Θεὸς, τὸ κέρας ἀνυψώσας, καὶ πίστει κραταιώσας· ἵνα σε πάντες μεγαλύνωμεν. Ὁ Εἱρμός. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

---

Τῷ αὐτῷ Μηνὶ ΚΑ'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰακώβου, Ἐπισκόπου τοῦ Ὁμολογητοῦ.

Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμοια, Ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Κόσμου τοὺς θορύβους ἐκφυγὼν, ἐν ἀταραξίᾳ παμμάκαρ τὸν νοῦν ἐφύλαξας, μὴ περιπλανώμενον, μηδὲ ῥεμβόμενον, ταῖς τοῦ βίου συγχύσεσι, καὶ ταῖς τρικυμίαις, ἀλλ' ἀνατεινόμενον, καὶ ἄνω βλέποντα, πόθῳ πρὸς τὸν ἄνω Δεσπότην, πρὸς τὸν εὐεργέτην τῶν ὅλων, ἀξιομακάριστε Ἰάκωβε. Ὅμοιον.

Ἔξω τῆς τοῦ Κόσμου ταραχῆς, Πάτερ διεξάγων τὸν βίον παθῶν ἐλεύθερος, γεγονὼς τῇ χάριτι, περιφρουρούμενος, καὶ δαιμόνων τὰς φάλαγγας, ἀσκήσει συντόμῳ, καὶ θείαις ἀστράψεσι, καταστραπτόμενος, χαίρων σὺν Ἀγγέλοις χορεύων· ὧν τὴν πολιτείαν ἐκτήσω, ὑπὸ τὸν Παντάνακτα καὶ Κύριον. Ὅμοιον.

Ἔζης ἔξω Κόσμου καὶ σαρκὸς, ὑπὲρ τὰ ὁρώμενα πάντα, ὡς τὴν ἀόρατον, δόξαν ἐνθυμούμενος, καὶ φωτιζόμενος, τῆς σκηνῆς τὴν εὐπρέπειαν, τῆς ἐπουρανίου, καὶ τὴν ὡραιότητα τὴν ἀκατάληπτον· ἧς νῦν ἐμφορούμενος σῶσαι, τοὺς πιστῶς τιμῶντάς σε Πάτερ, τὸν Χριστὸν δυσώπησον Ἰάκωβε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Πάντων θλιβομένων ἡ χαρὰ, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφὴ, ξένων τε παράκλησις, χειμαζομένων λιμὴν, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων, σκέπη καὶ ἀντίληψις, καὶ βακτηρία τυφλῶν, Μήτηρ τοῦ Θεοῦ τοῦ Ὑψίστου, σὺ ὑπάρχεις ἄχραντε σπεῦσον, δυσωποῦμεν σώζεσθαι τοὺς δούλους σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Πόνους ὑπομείνασα πολλοὺς, ἐν τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, σταυρώσει ἄχραντε, στένουσα δακρύουσα, καὶ ὀλολύζουσα· οἴμοι Τέκνον γλυκύτατον, ἀδίκως πῶς πάσχεις, πῶς τῷ ξύλῳ κρέμασαι ὁ πᾶσι νέμων ζωήν; ὅθεν Πανάγια Παρθένε, σὲ παρακαλοῦμεν ἐν πίστει, ἵλεων ἡμῖν τοῦτον ἀπέργασαι.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, ὡς σύνηθες, καὶ τοῦ Ἁγίου, εἰς δ'.

Ὠδὴ α'. Ἦχος β'. Δεῦτε λαοί.

Τὸν φωτισμὸν, τοῦ σοῦ Δεσπότου Ἰάκωβε, ἐν τῇ ψυχῇ δεξάμενος Κόσμου κατέλιπες, ἀχλυώδη ἀπάτην, καὶ τῆς ὑπερκοσμίου δόξης ἐπέτυχες.

Σὺ τὸν Σταυρὸν, ἐπὶ τῶν ὤμων ἀράμενος, τῷ σταυρωθέντι Ὅσιε κατηκολούθησας, καὶ μονάσας πανσόφως, τὰ πάθη ἐγκρατείᾳ Πάτερ ἐμείωσας.

Χωρητικὸν, τῶν χαρισμάτων τοῦ Πνεύματος, ἐξ ἁπαλῶν ὀνύχων σου σκεῦος γεγένησαι, καὶ τῆς ἄνω πολίτης, Σιὼν καὶ κληρονόμος μάκαρ Ἰάκωβε.

Θεοτοκίον.

Μόνη Θεὸν, πᾶσι τὸν ὄντα ἀχώρητον, σοὶ χωρητὸν γενόμενον δι' ἀγαθότητα, ἀπεκύησας Κόρη· ὃν αἴτησαι σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς.

Ὁ βίος σου τερπνὸς ὁ λόγος ἔνθεος, ἀγάπης τῷ ἅλατι ἠρτυμένος, ἡ καρδία ἀκατάνυκτος· διὰ τοῦτο σὲ πίστει μακαρίζομεν.

Χειρσὶ τοῖς δι' ἡμᾶς φανέντος σώματι, τὸν Θεῖον σεβόμενος Χαρακτῆρα, διωγμοὺς Πάτερ ὑπέμεινας, κινδύνους καὶ πόνους παμμακάριστε.



Digitized by Google

Ὡς θῦμα καθαρὸν σαυτὸν προσήγαγες, Κυρίῳ νεκρώσει τῆς ἁμαρτίας, καὶ θυσίας ἀναιμάκτους αὐτῷ, Ἱεράρχης ὡς ἔννομος προσήγαγες. Θεοτοκίον.

Χρυσοῦν ὡς ἀληθῶς θυμιατήριον, καὶ στάμνον τοῦ θείου μάννα καὶ θρόνον, καὶ παλάτιον τερπνότατον, τοῦ Θεοῦ σε Παρθένε ὀνομάζομεν.

Ὁ Εἱρμός. Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Κάθισμ. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν ὡραιότητα τῶν διδαγμάτων σου, καὶ τὴν λαμπρότητα τῶν νοημάτων φαιδρῶς, καὶ λόγων τὴν λαμπρότητα Πάτερ ἐκπληττόμενοι, κατὰ χρέος τιμῶμέν σε, Ἰάκωβε πανεύφημε, θυηπόλε τοῦ Κτίστου σου· διὸ σὺν ὑμνῳδίαις βοῶμέν σοι, σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου. Θεοτοκ.

Ἕκαστος ὅπου σώζεται, ἐκεῖ δικαίως καὶ προστρέχει· καὶ ποία ἄλλη τοιαύτη καταφυγή, ὡς σὺ Θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ῥάβδον δυνάμεως, κεκτημένοι τὸν Σταυρὸν τοῦ Υἱοῦ σου ἄχραντε, ἐν αὐτῷ καταβάλλομεν τῶν ἐχθρῶν τὰ φρυάγματα, οἱ πόθῳ σε ἀπαύστως μεγαλύνοντες.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν τῆς „σῆς οἰκονομίας, καὶ ἐδόξασά σε μόνε „φιλάνθρωπε.

Τῶν δακρύων τοῖς ῥεύμασι, διηνεκῶς λουόμενος Παμμάκαρ, καθαρὸν δοχεῖον ὤφθης τοῦ Πνεύματος.

Ὁλονύκτοις δεήσεσι, τὰς ἡδονὰς τοῦ σώματος κοιμίσας, ἀπαθείας ὤφθης λύχνος ἀκοίμητος.

Ταπεινός τε καὶ μέτριος, καὶ συμπαθὴς ἀκέραιος καὶ σώφρων, Ἱεράρχα Ὅσιε ἐχρημάτισας. Θεοτοκίον.

Ἀπειρόγαμε Δέσποινα, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα, πειρασμῶν καὶ θλίψεων πάντας λύτρωσαι.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Ἀρετῆς ἐρῶν ἀληθοῦς, τὸ ἐν ἀνθρώποις ὑψηλὸν Ὅσιε, περιφανῶς Πάτερ ἐβδελύξω, καὶ γέγονας φωστὴρ ταπεινοφροσύνης, ἐμπρέπων φαιδρότητι.

Ἀναστηλῶν ἑαυτόν, ταῖς ὁλονύκτοις προσευχαῖς ἵστασο, τῷ τῆς ψυχῆς ὄμματι τὰς θείας, δεχόμενος αὐγάς, Πάτερ Ἱεράρχα Θεόφρον Ἰάκωβε.

Ἐν ἐγκρατείᾳ πολλῇ, ἐν ἀγρυπνίᾳ ἐκτενεῖ Ὅσιε, ἐν προσευχῇ καὶ κακοπαθείᾳ, ἐζήτησας Θεόν, τὸν σὲ πρὸς τὰς ἄνω μονὰς μεταθέμενον. Θεοτοκίον.

Τὴν πληγωθεῖσάν μου, ταῖς προσβολαῖς τοῦ δυσμενοῦς ἄχραντε, ὡς συμπαθὴς ἴασαι καρδίαν, ἡ τὸν ἐπὶ Σταυροῦ σαρκὶ πληγωθέντα, ἀρρήτως κυήσασα.

Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Οἱ κρουνοὶ τῶν δακρύων σου Ὅσιε, θάλασσαν δεινῶν παθημάτων ἐξήραναν, καὶ τὴν ἐκεῖ παράκλησιν, τῇ σεπτῇ σου ψυχῇ προεξένησαν.

Ἀνεξίκακος πρᾶος ἀκέραιος, Ὅσιος ἡδὺς ταπεινόφρων καὶ μέτριος, καὶ φωτισμοῦ ἀνάπλεως, παναοίδιμε Πάτερ γεγένησαι.

Τῶν τῶν θείων Ποιμένων ὁ φθόγγος σου, Πάτερ συνδεδόξασται οἷα Ποιμένος καλοῦ, Ποιμὴν σοφὲ Ἰάκωβε, ὡς ὁσίως τὴν ποίμνην ποιμάναντος. Θεοτοκ.

Ὁ βουλήσει τὸ πᾶν ἐργασάμενος, μήτραν βουληθεὶς ἀπειρόγαμον ᾤκησε, τοὺς τῇ φθορᾷ νοσήσαντας, ἀφθαρσίᾳ πλουτίσας ὡς εὔσπλαγχνος.

Ὁ Εἱρμός. Ἐν ἀβύσσῳ πταισμάτων.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΚΑ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰακώβου τοῦ Ὁμολογητοῦ.

Στίχ. Θύτης πεφυκὼς Ἰάκωβος Κυρίῳ,
Πτερνῇ Δράκοντα πτερνοτρώκτην αἰσχύνει.

Οὗτος τὸν ἀσκητικὸν βίον ὑπελθὼν ἐξ ἁπαλῶν ὀνύχων, νηστείᾳ καὶ τῇ λοιπῇ κακοπαθείᾳ ἑαυτὸν ἐκδούς· ὅθεν ἐπὶ τὸν θρόνον ἄγεται τῆς Ἐπισκοπῆς, πολλοὺς διωγμοὺς ὑπομείνας ὡς τοὺς Εἰκονομάχους ἐκτρεπόμενος. Ἐν τούτοις οὖν καρτερῶν, καὶ λιμῷ καὶ δίψει προσπαλαίων, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

Digitized by Google

Τῇ

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Θωμᾶ, Πατριάρχου Κωνσταντινουπόλεως.

Στ. Ζωὴν ὁ Θωμᾶς ἐκλιπὼν μετρουμένην,
Ζωὴν πρεπόντως εὗρεν οὐ μετρουμένην.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Θωμᾶς, διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετήν, καὶ ἄκραν σύνεσιν καὶ εὐλάβειαν, Διάκονος προχειρίζεται τῆς μεγάλης Ἐκκλησίας, καὶ Σακελλάριος ὑπὸ τοῦ Ὁσίου Πατρὸς ἡμῶν, καὶ ἐν θαύμασι μεγίστου, Ἰωάννου τοῦ Νηστευτοῦ, ἐπὶ τῆς Βασιλείας τοῦ ἀοιδίμου καὶ μακαρίου Μαυρικίου. Καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ τε τοῦ Ἰωάννου, καὶ τοῦ μετ' αὐτὸν ἀρχιερατεύσαντος Κυριακοῦ, προχειρίζεται Πατριάρχης Κωνσταντινουπόλεως, ἔτη τρία καὶ μῆνας δύο τὸν θρόνον ταύτης διϊθύνας· καὶ πολλὰ κατὰ τῶν Αἱρέσεων ἀγωνισάμενος, καὶ τὰ ὀρθόδοξα δόγματα κρατύνας, καὶ τὸ Ποίμνιον καλῶς καὶ θεαρέστως ποιμάνας, ἐν εἰρήνῃ ἐκοιμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Φιλήμονος καὶ Δομνίνου.

Στιχ. Τμηθεὶς Φιλῆμον, καὶ Δομνῖνον σὸν φίλον,
Φιλεῖν κεφαλῆς τὴν τομὴν ἀπειργάσω.

Οὗτοι ὑπῆρχον ἐκ τῆς μεγαλοδόξου Πόλεως Ῥώμης· ἐπὶ δὲ τὸν καιρὸν τοῦ διωγμοῦ ἀπόντες ἐν Ἰταλίᾳ, κἀκεῖ κηρύττοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ πολλοὺς ἐπιστρέφοντες ἐπὶ τὴν τοῦ Χριστοῦ Πίστιν, ἐβάπτιζον. Διὰ τοῦτο ὑπὸ τῶν Εἰδωλολατρῶν κρατηθέντες, καὶ τῷ τῆς χώρας προσαχθέντες Ἄρχοντι, καὶ μήτε κολακείαις μαλακισθέντες, μήτε δωρεῶν ὑποσχέσεσι, μόνον δὲ τὸν Χριστὸν ἐπικαλούμενοι, καὶ Θεὸν ἀνακηρύττοντες, γυμνοὶ ταθέντες ἐπὶ τῆς γῆς, ἐκ τεσσάρων ἀφειδῶς τύπτονται, καὶ τῆς φυλακῆς ἐκβληθέντες, ξίφει τὴν κεφαλὴν ἀπετμήθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Βυρίλλου, Ἐπισκόπου Κατάνης.

Στ. Διπλᾶ θανὼν εὕρατο Βύριλλος στέφη,
Ὡς κυριεύσας καὶ παθῶν καὶ Δαιμόνων.
Εἰκάδι πρώτῃ δράμε Βύριλλος χερσὶ Θεοῖο.

Οὗτος ἐγένετο μαθητὴς τοῦ Ἁγίου Ἀποστόλου Πέτρου, ἐξ Ἀντιοχείας ἕλκων τὸ γένος· ἐν τῇ Δύσει δὲ γενόμενος μετ' αὐτοῦ, Ἐπίσκοπος Κατάνης ὑπ' αὐτοῦ τοῦ Ἀποστόλου προχειρίζεται. Καλῶς δὲ καὶ θεοφιλῶς ποιμάνας τὸ ὑπ' αὐτὸν Ποίμνιον, καὶ θαύματα παντοῖα ἐργασάμενος, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐπέστρεψε Πίστιν. Ἐξ ὧν ἐπιμνησθῆναι ἑνὸς δέον ἐστί. Πηγὴ ἦν κατὰ τὸν τόπον ἐκεῖνον, πικρότατον ἔχουσα ὕδωρ, οὗ τὴν πικρίαν, τῷ Θεῷ προσευξάμενος, μετέβαλεν εἰς γλυκύτητα· ὅπερ ἰδών τις Ἕλλην, ἄκρως Εἰδωλολάτρης, ἐπίστευσε τῷ Χριστῷ, καὶ σὺν ἐκείνῳ ἕτεροι πολλοί. Ἐν τούτοις εἰς βαθὺ γῆρας ἐλάσας, καὶ τὸν τοῖς Ἁγίοις πρέποντα ὕπνον ἀναπαυσάμενος, κατετέθη ἐν τῇ αὐτῇ Νήσῳ ἐντίμως, ἰάματα παρέχων τοῖς αὐτῷ μετὰ πίστεως προσιοῦσι, μέχρι τῆς σήμερον.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Σεραπίων, ὁ ἀπὸ Σιδῶνος, ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Δοὺς πάντα χερσὶν ἐνδεῶν Σεραπίων.
Τέλος δίδωσι καὶ Πνεῦμα τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἐν τῷ Κυρίῳ Πάσχα τῆς ἀλειψάσης τὸν Κύριον Μύρῳ γυναικὸς πόρνης, ἐν οἰκίᾳ Σίμωνος τοῦ Λεπροῦ.

Στίχ. Γυνὴ βαλοῦσα σώματι Χριστοῦ μύρον,
Τὴν Νικοδήμου προὔλαβε σμυρναλόην.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Πολλοὺς διωγμούς, ἀνενδότοις πειρασμοῖς Πάτερ ὑπέμεινας, Εἰκονομάχους ἐκτρεπόμενος, ὡς ζηλωτὴς ἐνδικώτατος, πάντας τοὺς ὁρῶντας φωτίζων καὶ κραυγάζων Ἰακὼβ· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Χριστοῦ τὴν φρικτήν, παρουσίαν ἐννοῶν ἐν κατανύξει, πάντα τὸν βίον διετέλεσας, ἕως οὗ εὗρες μακάριε, κάθαρσιν πταισμάτων τελείαν, καὶ αἰωνίαν παράκλησιν, καὶ φωτισμὸν ἀληθινόν, καὶ δόξαν ἄρρητον.

Ποιμένος Χριστοῦ, ἐν πρᾳότητι ψυχῆς ὀφθεὶς ἀρνίον, καὶ ὑπὸ τούτου ποιμαινόμενος, ποιμνίων προβάτων ἐν Πνεύματι, Πάτερ λογικῶν ἀνεδείχθης, σὺν αὐτοῖς μέλπων πάντοτε· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.



Digitized by Google

Θεοτοκίον.

Μαρία σεμνή, Ἀειπάρθενε Ἁγνή εὐλογημένη, καταπιπτόντων ἐπανόρθωσις, ἁμαρτανόντων ἡ λύτρωσις, σῶσόν με τὸν ἄσωτον, σῶσον τῷ Υἱῷ σου κραυγάζοντα· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„ Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων „ τοῖς Παισὶ συγκαταβάντα, καὶ τὴν „ φλόγα εἰς δρόσον μεταβαλόντα Θεὸν, „ ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυ- „ ψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ καθαρώτατός σου νοῦς, καθαραῖς προσομιλῶν φωτοχυσίαις, τῶν Δαιμόνων τὸ σκότος καὶ τῶν παθῶν τὴν ἀχλὺν, ἐμφρόνως ἐξέκλινεν Ὅσιε, Χριστὸν ἀνυμνεῖτε κραυγάζων εἰς αἰῶνας.

Πεπυρωμένα τὰ ἐχθροῦ, βέλη ἔσβεσας σοφὲ ταῖς ἐπομβρίαις, τῶν ἀπαύστως δακρύων, καὶ πυρωθεὶς τῇ Χριστοῦ, ἀγάπῃ παμμάκαρ κατέφλεξας, τὰς ὑλομανούσας τῶν ἡδονῶν ἀκάνθας.

Τοῦτο τὸ ποίμνιον σοφὲ, ὃ συνήγαγες ταῖς σαῖς διδασκαλίαις, καὶ τοὺς πίστει τελοῦντας τὴν ἱερὰν καὶ σεπτὴν, καὶ πλήρη φωτὸς θείαν μνήμην σου, φύλαττε ἄχραις σου, πειρασμῶν καὶ κινδύνων.

Θεοτοκίον.

Ζῶσα ὑπάρχουσα πηγὴ, ὡς τὸ ὕδωρ τῆς ζωῆς ἀποτεκοῦσα, τὴν ψυχήν μου κατάκαυσαν τῆς ἁμαρτίας φλογμῷ, Παρθένε Θεοτόκε ζώωσον, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„ Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν ἀῤῥή- „ τῳ σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν „ Ἀδὰμ, βρώσει φθορᾷ πεπτωκότα δει- „ νῶς ἐξ Ἁγίας Παρθένου ἀφράστως σω- „ ματούμενον Θεὸν, οἱ πιστοὶ ὁμοφρόνως „ ἐν ὕμνοις μεγαλύνωμεν.

Μετὰ πολλοὺς τοὺς καμάτους, μετὰ πόνους μυρίους, ἱδρῶτάς τε καὶ θλίψεις ἀληθεῖς, πρὸς τὸν λιμένα κατέπαυσας, τὸν οὐράνιον φέρων, τὸν πλοῦτον τῶν ἐνθέων ἀρετῶν, ἱερώτατε Πάτερ Ὁσίων ἰσοστάσιε.

Ἡμερινὸν ὡς ἀστέρα, ὡς τοῦ Πνεύματος οἶκον, ὡς ῥόδον εὐωδίας μυστικῆς, Πάτερ ὑπάρχων ἀμάραντον, ὡς εὐθαλέστατον δένδρον, ὡς δόξης αἰωνίου κοινωνὸν, ὡς σοφὸν Ἱεράρχην τιμῶμέν σε Ἰάκωβε.

Αἱ τῶν δακρύων λιβάδες, ἐν τῇ γῇ τῆς καρδίας, πεμπόμεναι πλουσίως ἀληθῶς, στάχυν ἐξέθρεψαν ὥριμον, τὰς ψυχὰς τῶν ἐν πίστει τιμώντων σε ἐκτρέφοντα ἀεὶ, Ἱεράρχα Θεόφρον Πατὴρ ἡμῶν Ἰάκωβε.

Θεοτοκίον.

Φεῖσαί μου Κύριε φεῖσαι, ὅταν μέλλῃς με κρῖναι, καὶ μὴ καταδικάσῃς με εἰς πῦρ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, δυσωπεῖ σε Παρθένος ἡ σὲ κυοφορήσασα Χριστὲ, τῶν Ἀγγέλων τὰ πλήθη, καὶ ὁ κλεινὸς Ἰάκωβος.

Ὁ Εἱρμός. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου.

Καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς σύνηθες. καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ ΚΒ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Βασιλείου, Πρεσβυτέρου τῆς Ἀγκυρανῶν Ἐκκλησίας.

Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, γ'. προσόμοια. Ἦχος δ'.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ἱερωσύνης στολαῖς ἠγλαϊσμένος, Θεῷ ἐλειτούργησας καθάπερ Ἄγγελος, τῷ δι' ἡμᾶς ὑλῃσώματος, ἐπιγραφέντι, θύων Βασίλειε μεγαλώνυμε· ἐντεῦθεν ὡς τέλειον πρόβατον τέθυσαι, καὶ καθαρὸν θῦμα γέγονας, καὶ προσηνέχθης, μόνῳ εἰς τὸ ἄνω θυσιαστήριον· ὅθεν φωναῖς σε μακαρίζομεν, χαρμονικῶς καὶ βοῶμέν σοι, ἱκετεύων μὴ παύσῃ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὅμοιον.

Ἀφαιρεθεὶς τὴν δορὰν κρίσει ἀδίκῳ, τοὺς πόνους ἐπήνεγκας ἀποσκοπούμενος, λῆξιν τὴν ἄπονον εὐδόξε, καὶ τὰ βραβεῖα, τοῖς ἐναθλήσασιν ἀποκείμενα· πυρὶ δὲ



Digitized by Google

σιδηρόφρον οἷά περ σίδηρος, οὐρανοχάλκευτον γέγονας, Παμμάκαρ ξίφος, πάσας συγκόπτων ἐχθροῦ τὰς φάλαγγας. Ὅθεν μετὰ πᾶσα σήμερον, τῶν εὐσεβῶν γλῶσσα χαίρουσα, καὶ αἰτεῖν δυσωπεῖ σε, τὸν Θεὸν ὑπὲρ τῆς ποίμνης σου. Ὅμοιον.

Ὡραϊσμένος τοῖς στίγμασι τοῖς θείοις, εἰς Πόλιν ἐκ Πόλεως δέσμιος ἔτρεχες, καταδεσμεύων τὸν Τύραννον, καὶ τὰς πορείας, τῶν σῶν βημάτων κατευθυνόμενος. Καὶ δὴ πρὸς Καισάρειαν Πόλιν γενόμενος, ἐν ταύτῃ τέλος μακάριον, καθυπεδέξω, καὶ πρὸς τὴν Πόλιν τὴν ἐπουράνιον, στεφανηφόρος ἀνελήλυθας, καὶ Θεῷ Βασιλεῖ νῦν παρίστασαι, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὅτι εἰς βάθη πολλῶν παραπτωμάτων, ἀθλίως κατήντησα ἐξ ἀμελείας μου, καὶ ῥαθυμίας ὁ δείλαιος, καὶ ἀπορίᾳ, καὶ ἀπογνώσει νυνὶ συνέχομαι, γενοῦ μοι βοήθεια καὶ ἱλαστήριον, καὶ σωτηρία Παμάχραντε, παραμυθίαν, ἀμεμεστάτην παρεχομένη μοι, σὲ ἱκετεύω καὶ σοῦ δέομαι, καὶ προσπίπτω καὶ πίστει κραυγάζω σοι, μὴ δειχθείην εἰς τέλος, τῷ ἀλάστορι ἐπίχαρμα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Μὴ ἐποδύρου με Μῆτερ καθορῶσα, ἐν ξύλῳ κρεμάμενον τὸν σὸν Υἱὸν καὶ Θεὸν, τὸν ἐφ' ὑδάτων κρεμάσαντα, τὴν γῆν ἀσχέτως, καὶ πᾶσαν Κτίσιν δημιουργήσαντα. Καὶ γὰρ ἀναστήσομαι καὶ δοξασθήσομαι, καὶ τὰ τοῦ Ἅδου Βασίλεια, συντρίψω σθένει, καὶ ἀφανίσω τούτου τὴν δύναμιν, καὶ τοὺς δεσμίους ἐκλυτρώσωμαι, τῆς αὐτοῦ κακουργίας ὡς εὔσπλαγχνος, καὶ Πατρὶ τῷ ἰδίῳ, προσαγάγω ὡς φιλάνθρωπος.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, καὶ τοῦ Ἁγίου, εἰς δ΄.

Οὗ ἡ ἀκροστιχίς.

Σοῦ τοὺς μεγίστους, Μάρτυς, εὐφημῶ πόνους. Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος Πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Σοῦ τὴν βασίλειον δόξαν παμβασιλεῦ, ὁ κλεινὸς Βασίλειος, ἀγαπήσας στεῤῥῶς, ἐπὶ γῆς ἐνήθλησε δι' οὗ, Βασιλείας Οὐρανῶν ἡμᾶς ἀξίωσον.

Ὁ ἀξιέπαινος βίος ἡ καθαρὰ, πολιτεία εὔδοξε, τῶν ἀγώνων ἡ τριβὴ, κληρονόμον ἔδειξε Θεοῦ, καὶ πολίτην οὐρανῶν σε ἀπειργάσατο.

Ὑποταγεὶς τῷ Κυρίῳ δι' ἀγαθῆς, πολιτείας πάνσοφε, καθυπέταξας ἐχθρὸν, καὶ ποσὶ συντρίψας λαμπρῶς, ἀφιστάσας κατ' αὐτοῦ Μάρτυς Βασίλειε.

Τῇ τῶν αἱμάτων πλημμύρᾳ, τὸν νοητὸν, Φαραὼ ἐβύθισας, παγκρατῶς ὡς ἀληθῶς, καὶ πρὸς γῆν ἀνέδραμες σοφὲ, ἔνθα μέλος ἀθλητῶν ἀεὶ εὐφραίνεται.

Θεοτοκίον.

Ὁ τῷ Πατρὶ συνυπάρχων μονογενὴς, βουληθεὶς κατῴκησε, σοῦ τὴν ἄχραντον νηδὺν, καὶ βροτὸς ἐγένετο Ἁγνὴ, σῶσαι θέλων τοὺς βροτοὺς δι' ἀγαθότητα.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ὑψώθης οἷά περ ἀμνὸς, ἐπὶ ξύλου παμμάκαρ, τοὺς ξεσμοὺς ὑποφέρων, διανοίᾳ καθαρᾷ, καὶ καταράσσων ἐχθροῦ, τὰς ἐπάρσεις σθένει θείου Πνεύματος.

Στιγμάτων Μάρτυς καλλοναῖς, ὡραιότατος ὤφθης, τὴν ψυχὴν καὶ τὸ σῶμα, διανοίᾳ καθαρᾷ, χαριστηρίους φωνὰς, ἀναμέλπων τῷ ἀγωνοθέτῃ σου.

Μεγίστην εὔκλειαν ζητῶν, μεγαλόφρονι γνώμῃ, τοὺς μεγίστους ἀγῶνας, ἐκαρτέρησας σοφὲ, καὶ τὸν μεγάλως ἀεὶ, ἐπηρμένον Μάρτυς ἐταπείνωσας.

Ἐνθέων φύλαξ πεφυκὼς, προσταγμάτων Θεόφρον, φυλακαῖς κατεκλείσθης, ὑπανοίγων τοῖς πιστοῖς, Διδασκαλίας ὁδὸν, τὴν εἰς πλάτος γνώσεως εἰσάγουσαν.

Θεοτοκίον.

Τρανώσας πόῤῥωθεν τὴν σὴν, σύλληψιν Ἡσαΐας, διὰ Πνεύματος Κόρη, διετράνωσεν αὐτὴν, βοῶν ἰδοὺ ἐν γαστρὶ, ἡ Παρθένος τὸν Θεὸν συλλήψεται. Ὁ Εἱρμός.

„Οὐκ ἔστιν ἅγιος ὡς σὺ Κύριε ὁ Θεός μου,
„ὁ ὑψώσας τὸ κέρας τῶν πιστῶν σου ἀ-
„γαθὲ, καὶ στερεώσας αὐτοὺς, ἐν τῇ πέτρᾳ
„τῆς ὁμολογίας σου.

κα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς Βασίλειος τὴν Βασιλείαν Θεοῦ, ποθήσας ὑπήνεγκε τὴν τῶν βασάνων πυρὰν, καὶ θάνατον ἄδικον. ὅθεν ἀθανασίας ἀληθοῦς ἠξιώθη. τοῦτον οὖν συνελθόντες μακαρίσωμεν πιστοί, πρεσβεύοντα τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον. Ὅμοιον.

Ἐκαίνισας ἄχραντε τῷ θείῳ τόκῳ σου, φθαρεῖσαν τοῖς πάθεσι τῶν γηγενῶν τὴν θνητὴν, οὐσίαν καὶ ἤγειρας, πάντας ἐκ τοῦ θανάτου πρὸς ζωὴν ἀφθαρσίας. ὅθεν σε κατὰ χρέος μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη ὡς προεφήτευσας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Παρθένε Παναμώμε Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθε σου τὴν παναγίαν ψυχὴν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως τὸν Υἱὸν καὶ Θεόν σου, ὃν περ εὐλογημένη δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων ἡμῖν δωρήσασθαι.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Ἰδὼν ἀστράπτον σου, τὸ θεῖον πρόσωπον, τῇ τοῦ Πνεύματος αἴγλῃ ὁ δυσσεβὴς, Μάρτυς κατεπλήττετο, καὶ ὡς τοῦ σκότους ὑπουργὸς, ἀμαθήτως ἐμαραίνετο.

Σοφίᾳ κρείττονι, καλλωπιζόμενος, τοὺς σοφοὺς τῶν Ἑλλήνων Θεαρχικῷ, θείᾳ ἀπεμάρανας, καὶ ἐναθλήσας καρτερῶς, νίκης στέφανον ἀπείληφας.

Ῥωσθέντα πάντοθεν, καὶ ἠσφαλισμένον, ἐκραταίωσε Λόγος ὁ ἐν Σταυρῷ, τανυθεὶς Βασίλειε, καὶ διὰ πάντων τοῖς πιστοῖς, δωρησάμενος ἀπάθειαν.

Οὐ θύω Δαίμοσιν, οὐ φρίττω θάνατον, οὐ κολάσεων εἴδη ὁ ἱερὸς, ἔκραξε Βασίλειος. ἕνα Θεὸν ὁμολογῶ, ἐν Τριάδι γνωριζόμενον.

Θεοτοκίον.

Ὑμνῶ σε Δέσποινα, τὴν πολυύμνητον, δοξολογῶ σε Παρθένε δι᾽ ἧς βροτοὶ, πάντες εὐλογήθημεν, καὶ τῆς κατάρας ἀληθῶς, τῆς ἀρχαίας ἐλυτρώθημεν.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου.

Σιδήρῳ σάρκα κατακαμφθεὶς, ὡς τὸν ἐλαφρότατον ζυγὸν, Κυρίου φέρειν ἑλόμενος, τὸν χοῦν τοῦ Κτίστου τραχηλιάσαντα, ἐχθρὸν τὸν ἀλαζόνα Μάρτυς κατέκαμψας.

Μετ᾽ εὐφροσύνης τὰ ἁδυρὰ, Μάρτυς περικείμενος δεσμὰ, τόπους ἐκ τόπων διέδραμες, τούτοις ὡς ὅρμίσκοις ὡραϊζόμενος. διὸ συμβασιλεύεις Χριστῷ Βασιλεῖ.

Αἱμάτων ῥεύμασι σεαυτοῦ, Μάρτυς ἐπιχρώσας ἀληθῶς, βασιλικὴν στολὴν ἔνδοξε, νίκης τε διάδημα περικείμενος, Βασίλειε καὶ τέρπων τὸν Ἀθλοθέτην σου.

Ῥωσθεὶς τῇ χάριτι τοῦ Σταυροῦ, ἤνυσας μακρὰν καὶ χαλεπὴν, ὁδὸν δεινῶς ἐλαυνόμενος, μέλπων ἐν τῇ τρίβῳ τῶν Μαρτυρίων σου, τερπόμενος καὶ χαίρων Λόγε πορεύσομαι.

Θεοτοκίον.

Τὴν ἁγνοτέραν τῶν χερουβὶμ, τὴν ὑψηλοτέραν Οὐρανῶν, τὴν ὑπερτέραν τῆς Κτίσεως, τῶν σοφῶν Μαρτύρων τὸ περιτείχισμα, τὴν μόνην Θεοτόκον, ὕμνοις τιμήσωμεν.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Ὑψώθη τοῖς ἄθλοις σου, καὶ κατέρραξας ἐχθρὸν, Μεγαλομάρτυς ἔνδοξε, καὶ πρὸς Θεὸν μετέβης νικητικῷ, στεφθεὶς διαδήματι, ἐπὶ τέλει τῶν ἄθλων ἀξιάγαστε.

Σταυρῷ τὸν τανύσαντα, τὰς παλάμας διὰ σὲ, Μάρτυς σοφὲ μιμούμενος, ἀναρτηθεὶς ἐν ξύλῳ καρτερικῶς, ξεσμοὺς ἐκαρτέρησας, τραυματίζων τὴν πλάνην σου τοῖς τραύμασι.

Ἀδέσμοις δεσμούμενος, τοὺς ἀπάρκτους δυσμενεῖς, ὑπὲρ Χριστοῦ Βασίλειε, ἀπολυθεὶς δὲ ἔνδοξε τῆς σαρκὸς, εἰς τέλος διέλυσας, τὰς αὐτῶν κακουργίας θείᾳ χάριτι.

Θεοτοκίον.

Ὑμνοῦσέ Πανύμνητε, ἣν ὑμνοῦσι στρατιαὶ, ἐπουρανίων τάξεων, καὶ δυσωπῶ σε πάθημα τῆς ψυχῆς, ἰάτρευσον Ἄχραντε, καὶ πυρὸς αἰωνίου ἐλευθέρωσον.

Ὁ Εἱρμός. Τοῦ βίου τὴν θάλασσαν.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΚΒ΄. Τοῦ Ἁγίου Μάρτυρος Βασιλείου, Πρεσβυτέρου τῆς Ἀγκυρανῶν Ἐκκλησίας.

Στίχ.

Digitized by Google

Σῶαρ Πρεσβύτης εἶπεν ἀλγεῖν κοιλίαν,
Τετμημένην δὲ Μάρτυς ἀλγεῖν οὐκ ἔφη.
Εἰκάδι δευτερίῃ Βασίλειος ἐτρώθη σύβλαις.

Οὗτος ὑπῆρχεν, ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου, καὶ Σατορνίνου Ἡγεμόνος Ἀγκύρας, Πρεσβύτερος ὢν τῆς ἐν Ἀγκύρᾳ Ἐκκλησίας. Διαβληθεὶς δὲ, παρέστη τῷ Ἡγεμόνι, καὶ ἐρωτηθεὶς, ἐπὶ ξύλου ἀναρτᾶται, καὶ τὰς πλευρὰς ξέεται, καὶ τῇ εἱρκτῇ ἐναπορρίπτεται. καὶ αὖθις τῆς φυλακῆς ἐκβληθεὶς, ἀτόμως ἐπὶ πολὺ ξέεται, καὶ σιδήροις πεδηθεὶς τῇ φρουρᾷ κατακλείεται. Μεθ' ἡμέρας δέ τινας, τῷ ἀποστάτῃ διερχομένῳ τῆς Ἀγκυρανῶν, προσάγεται δέσμιος ὁ Ἅγιος, καὶ ἐρωτηθεὶς, τῷ Κόμητι Φλαβεντίῳ λωροτομηθῆναι δίδοται, ὃ καὶ θᾶττον ἐπληροῦτο. καὶ δὴ πολλῶν λώρων ἀποσυρέντων, καὶ τῶν ὄπισθεν ἔμπροσθεν, καὶ τῶν ἔμπροσθεν ὄπισθεν, κατὰ τῶν ὤμων τοῦ Μάρτυρος κρεμαμένων, λῶρον ἕνα ἀποσπάσας ὁ ἀδάμας, ἔρριψε κατὰ πρόσωπον τοῦ Ἡγεμόνος. ὁ δὲ, πυρωθείσαις σύβλαις κατακαῦσαι αὐτὸν ἐκέλευσε, καὶ διατρῆσαι τὴν κοιλίαν αὐτοῦ καὶ τὰ νῶτα, καὶ πάσας τὰς ἁρμονίας. οὗ γενομένου, τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Αἱ Ἅγιαι Μάρτυρες, Καλλινίκη, καὶ Βασίλισσα, ξίφει τελειοῦνται.

Καλλινίκην τέμνουσι σὺν Βασιλίσσῃ,
Τὰς Καλλινίκους καὶ πόλου Βασιλίδας.

Ὁ Βασιλεὺς Τραϊανὸς, καθ' ἑκάστην τοῦ ζῆν ὑπεξάγων τοὺς τὸν Χριστὸν ὁμολογοῦντας, τὰ τούτων τίμια λείψανα ἐν ἀσέμνοις καὶ βεβήλοις τόποις ἐναπέρριπτε. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον ἦσαν Γυναῖκες πέντε ἐν Ἀσκητηρίῳ τινὶ, Κανονικαὶ καλούμεναι, καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ τηροῦσαι, καὶ ἔργον, μετὰ τῶν ἄλλων ἀπαραίτητον ἔχουσαι, τὰ τῶν Ἁγίων λείψανα, μύροις καὶ ὀθονίοις περιστέλλειν, καὶ ἀποτίθεσθαι ἐν τῷ αὐτῶν Ἀσκητηρίῳ. Τοῦτο μεμαθηκυῖα ἡ τοῦ Βασιλέως Τραϊανοῦ θυγάτηρ Δροσὶς, οὕτω καλουμένη, προσῆλθε ταῖς αὐταῖς Γυναιξὶ, ἔχουσα μεθ' ἑαυτῆς καὶ ἐσθῆτα πολύτιμον, τῶν κυβικουλαρίων ὑπὲρ συσχεθεῖσαν, ἀξιοῦσα συναπελθεῖν αὐταῖς εἰς ἀνάληψιν σώματος Ἁγίου. Ἀδριανὸς δέ τις σύμβουλος τοῦ Βασιλέως, καὶ μνηστὼρ τῆς Δροσίδος, Αὐτοκράτορ δέσποτα, λέγει τῷ Βασιλεῖ, κέλευσον στῆναι στρατιώτας εἰς τὴν φυλακὴν τῶν βιοθανῶν, ἵνα γνῶμεν τίνες εἰσὶν οἱ τὰ σώματα αὐτῶν ἀποσυλοῦντες. ὁ δὲ ἐπέτρεψε τοῦτο γενέσθαι. καὶ ἐπαγρυπνήσαντες οἱ φύλακες, ἐκράτησαν τὰς πέντε Κανονικὰς Γυναῖκας, ἅμα τῇ Θυγατρὶ τοῦ Βασιλέως Δροσίδι· καὶ πρωΐας ἀναγαγόντες, παρέστησαν αὐτὰς τῷ Βασιλεῖ. Ἰδὼν δὲ ὁ Βασιλεὺς τὴν Δροσίδα, ἐξέστη. καὶ ταύτην μὲν προσέταξε φυλάττεσθαι ἐν ἀσφαλείᾳ, ὅπως μεταμέλος γένηται. ἕνεκα δὲ τῶν πέντε Γυναικῶν Κανονικῶν, ἐκέλευσε κατασκευασθῆναι χώνην μεγάλην, καὶ ἐμβληθῆναι ἐν αὐτῇ τὰς Ἱερὰς Γυναῖκας, καὶ σὺν αὐταῖς χαλκὸν ἱκανὸν, ἐφ' ᾧ διὰ τῆς ἀναλύσεως ἀμφοτέρων, ἀναμιγῆναι τὸν χαλκὸν μετὰ τοῦ χοὸς τῶν Ἁγίων Γυναικῶν. καὶ διὰ τοιούτου χαλκοῦ κατασκευασθῆναι πυθμένας τῶν χαλκείων, τοῦ ἐκ καινῆς ἀνεγερθέντος δημοσίου λουτροῦ, τοῦ ἐν τῇ ἑορτῇ τοῦ Ἀπολλωνίου ὀφείλοντος ἀναφθῆναι, καὶ ἐγκαινισθῆναι εἰς θεραπείαν τῶν ὁμοφρόνων αὐτοῦ Εἰδωλολατρῶν. Τούτων δὲ γενομένων, καὶ τῶν τοῦ Χριστοῦ Μαρτύρων χωνευθεισῶν, κατεσκευάσθη τὰ χαλκεῖα, καὶ ἀνάψαντες τὸ λουτρὸν, ἐκήρυξαν πανταχοῦ λέγοντες. ὅσοι φίλοι τῶν εὐμενῶν θεῶν ὑπάρχετε, εἰσέλθετε εἰς τὰ τοῦ δημοσίου λουτροῦ ἐγκαίνια. καὶ εὐθέως συνέτρεχον ἅπαντες. Ὁ πρῶτος οὖν ὁρμήσας ἐν χρῷ τῆς πρώτης θύρας τοῦ λουτροῦ, χαμαὶ πεσὼν, τὴν ψυχὴν ἀπέρριψεν, ὡσαύτως καὶ ὅσοι μετ' ἐκεῖνον προσήγγισαν. οὐδεὶς γὰρ τὴν πρώτην θύραν εἰσελθεῖν ἠδυνήθη. Τοῦτο δὲ μεμαθηκὼς ὁ Βασιλεὺς, καὶ τοὺς τῶν θεῶν αὐτοῦ λατρευτὰς προσκαλεσάμενος, εἴπατέ μοι, φησὶ, μήπου ἄρα παρὰ τῶν Χριστιανῶν μαγείαις γέγονεν; Οἱ δὲ εἶπον, οὐχὶ Βασιλεῦ, ἀλλὰ τὰ γενόμενα χαλκεῖα τῶν λειψάνων τῶν Κανονικῶν ἐκεί-



Digitized by Google

μων Γυναικῶν τοῦτο πεποιήκασι. κέλευσον οὖν αὐτοῦ ἕτερα χαλκεῖα γενέσθαι, καὶ οὕτως ἕξει τὸ ἐνεργόν. Καὶ τούτου γενομένου, λέγει ὁ Ἀδριανὸς τῷ βασιλεῖ. κέλευσον βασιλεῦ, τοὺς προτέρους πυθμένας τῶν χαλκείων ἀναχωνευθῆναι, καὶ γενέσθαι ἐξ αὐτῶν στήλας γυναικείας γυμνὰς τῶν πέντε Κανονικῶν ἐκείνων, καὶ πρὸς ὄνειδος καὶ ἀτιμίαν αὐτῶν, ἐν τῷ δημοσίῳ λουτρῷ τῆς βασιλείας σου τὰς αὐτὰς στῆναι. καὶ εὐθὺς προσέταξεν ὁ βασιλεὺς καὶ γεγόνασι. Καὶ μετὰ τὸ στῆναι ταύτας, εἶδεν ὁ αὐτὸς καθ᾽ ὕπνους πέντε ἀμνάδας ἀσπίλους νεμομένας ἐν Παραδείσῳ, καὶ Ποιμένα φοβερὸν ποιμαίνοντα αὐτὰς, καὶ λέγοντα τῷ βασιλεῖ. παρανομώτατε καὶ ἀσεβέστατε βασιλεῦ, ἃς σὺ ἐνόμισας ἐξ ἀτιμίας ἱστᾶν, καὶ καλὸς καὶ ἀγαθὸς Ποιμὴν ἀπὸ σοῦ ἀποσπάσας, τέθεικεν ἐν τόπῳ, εἰς ὃν μέλλει καὶ ἡ Δροσὶς καὶ ἄσπιλος ἀμνὰς, καὶ σὴ θυγάτηρ ἐλθεῖν. Ἔξυπνος δὲ γενόμενος, ἐμάνη ὁ δυσσεβὴς, ὅτι καὶ μετὰ θάνατον αἱ Ἅγιαι Γυναῖκες κατήσχυναν τὰς βουλὰς αὐτοῦ, καὶ κελεύει δύω κλιβάνους ἀναφθῆναι ἐξ ἑκατέρους μέρους τῆς Πόλεως, καὶ πυροῦσθαι ἐφ᾽ ἑκάστης ἡμέρας. προστίθησι δὲ καὶ ἐπιγραφὴν ἐν τοῖς κλιβάνοις, τύπον βασιλικοῦ προστάγματος ἐπέχουσαν, καὶ περιέχουσαν οὕτως. Ἄνδρες Γαλιλαῖοι, οἱ τὸν Ἐσταυρωμένον προσκυνοῦντες, ῥύσασθε ἑαυτοὺς πλείστων μὲν βασάνων, ἡμᾶς δὲ κόπων, καὶ ἕκαστος ὑμῶν βαλέτω ἑαυτὸν ἐν οἱῳδήποτε κλιβάνῳ ἀκωλύτως ἂν αἱρεθῇ. Τοῦ τοιούτου οὖν διακωδωνισθέντος προστάγματος, ἀκούσασα ἡ τοῦ Θεοῦ δούλη Δροσὶς, ὅτι ἕκαστος τῶν Χριστιανῶν, πόθῳ τοῦ Χριστοῦ καὶ πίστει, ῥίπτουσιν ἑαυτοὺς ἐν τοῖς κλιβάνοις. ἀνατείνασα τὸ ὄμμα εἰς Οὐρανοὺς, εἶπε. Δέσποτα Κύριε Ἰησοῦ, Χριστὲ Υἱὲ τοῦ Θεοῦ, εἰ σὸν θέλημά ἐστι σωθῆναί με, καὶ ἐκφυγεῖν τὴν μανιώδη θρησκείαν Τραϊανοῦ τοῦ ἐμοῦ πατρὸς, αὐτός μοι συνέργησον κουφισθῆναι τοῦ νυμφῶνος Ἀδριανοῦ τοῦ δυσσεβοῦς, καὶ εἰς τὸν οὐρανὸν ἀνελθεῖν, ὅπου αἱ πέντε Κανονικαὶ, αἱ ἐμὲ ὁδηγήσασαι εἰς τὸν φόβον σου. κοίμισον δὲ καὶ βαθεῖ ὕπνῳ τοὺς ἐμὲ φυλάσσοντας, ἵνα δυνηθῶ ἐκφυγεῖν. ταῦτα εἰποῦσα, καὶ τὸ Βασιλικὸν σχῆμα ἀποθεμένη, ἐξῆλθεν ἀψοφητὶ, μηδενὸς νοήσαντος. ἀπερχομένη δὲ ἐφ᾽ ᾧ ῥίψαι ἑαυτὴν εἰς ἕνα τῶν κλιβάνων, διενενόητο καθ᾽ ἑαυτὴν λέγουσα· πῶς ἀπέρχομαι εἰς Θεὸν, μὴ ἔχουσα ἔνδυμα γάμου; Βάπτισμα μὴ λαβοῦσα, καὶ διὰ τοῦτο ἀκάθαρτος οὖσα; ἀλλὰ Βασιλεῦ τῶν βασιλευόντων Κύριε Ἰησοῦ Χριστὲ, ἰδοὺ κατέλιπον τὴν βασιλείαν μου διὰ σὲ, ἵνα με καταστήσῃς θυρωρὸν τῆς Βασιλείας σου. σὺ οὖν ὁ δι᾽ ἡμᾶς βαπτισθεὶς, βάπτισόν με ἐν Πνεύματι Ἁγίῳ. Καὶ ὡς ταῦτα εἶπεν, ἐκβαλοῦσα ὅπερ ἐβάσταζε μύρον ἐκ τοῦ κοιτῶνος αὐτῆς, καὶ ῥίψασα ἑαυτὴν εἰς ἕνα τῶν καμαροειδῶν λάκκων, ἐβαπτίσατο εἰποῦσα, βαπτίζεται ἡ δούλη τοῦ Θεοῦ Δροσὶς, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. καὶ φυλάξασα ἑαυτὴν ἡμέρας ἑπτὰ, μετελάμβανε τροφῆς Ἀγγελικῆς. φιλόχριστοι δέ τινες εὑρόντες, καὶ παραμείναντες, ἔμαθον τὰ παρ᾽ αὐτῇ, οὕτω τὰ παρ᾽ ἑαυτῆς διηγησαμένη. τῇ δὲ ὀγδόῃ ἡμέρᾳ προσευξαμένη, ἐφ᾽ ᾧτι ἄρα διαπράξασθαι, πρὸς Κύριον ἐξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἐν τῇ Μεταλήψει τοῦ Νομικοῦ Πάσχα τελετὴ τοῦ Μυστικοῦ Δείπνου, ἐν τῷ Κυρίῳ Πάσχα.

Στ. Εἰς τὸν Μυστικὸν Δεῖπνον.

Διπλοῦς ὁ δεῖπνος. Πάσχα γὰρ Νόμου φέρει,
Καὶ Πάσχα καινὸν αἷμα σῶμα Δεσπότου.

Εἰς τὸν Ἱερὸν Νιπτῆρα.

Νίπτει Μαθητῶν ἑσπέρας Χριστὸς πόδας,
Οὗ ποὺς πατρὸς ἦξεν εἰς Ἐδὲμ δείλη πάλαι,

Εἰς τὴν ὑπερφυᾶ Προσευχήν.

Προσευχὴ καὶ φόβητρα θρόμβοι αἱμάτων,
Χριστὲ προσώπου παραιτούμενος δῆθεν,
Θάνατον ἐχθρὸν φαρμακίζων ἐν τούτοις.

Εἰς τὴν Προδοσίαν.

Τί δεῖ μαχαιρῶν καὶ ξύλων λαοπλάνοι,
Πρὸς τὸν θανεῖν πρόθυμον εἰς Κόσμου λύτρον;

Αὐτῷ μόνῳ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ

Digitized by Google

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Φωτισμῷ τῆς θείας χάριτος λαμπόμενος, τὸ σκότος τῶν κολάσεων διελήλυθας, γεγονὼς ἡμέρας κοινωνὸς, σοφὲ ἀνεσπέρου καὶ βοῶν. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡδρασμένη, ἐπὶ πέτραν θείας γνώσεως, Θεόφρον ἡ καρδία σου, οὐ σεσάλευται, πειρασμοῖς ἀνόμων Ἀθλητὰ, βοῶσα τῷ πάντων λυτρωτῇ. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡραιζόμενος ὁ Τύραννος προςάττει σε, λωροτομεῖσθαι ἔνδοξε, καὶ ὡς ἄσαρκον ὑπομένοντά σε καθορῶν, συνῆκε μηδόλως ἐκβοᾷν. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς χρυσὸς ἐν τῇ καμίνῳ τῶν κολάσεων, ἐξέλαμψας πυρούμενος, ἐκσφράγισμα τῶν παθημάτων θείων γεγονὼς, ἐβόας Βασίλειε σοφέ. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Παρθενίαν μετὰ τόκον ἀδιάφθορον, Παρθένε διαμείνασαν, καταπλοῦσα τῷ ἐκ σοῦ τεχθέντι ὑπὲρ νοῦν, ἐβόας σωτῆρι καὶ Θεῷ. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ὁλικῶς πρὸς τὸ θεῖον ἀνατεινόμενος, τοὺς τοῦ σώματος πόνους ὄναρ λελόγισαι. ὅθεν πρὸς ζωὴν μακαρίαν καὶ ἄπονον, Μάρτυς ἀθλοφόρε, γηθόμενος μετέβης.

Νευρωθεὶς τῇ ἀγάπῃ τοῦ Παντοκράτορος, πειρασμοὺς ὑποφέρεις σαρκὸς στεῤῥότατα, καὶ τὸν δυνατὸν ἐν κακίᾳ συμπνίγεις ἐχθρὸν, ῥεέθροις σῶν αἱμάτων, Βασίλειε τρισμάκαρ.

Ὁ βασίλειος κόσμος τῆς Ἐκκλησίας Χριστοῦ, τῶν παθῶν τοῦ Σωτῆρος τὸ ἀπεικόνισμα, Μάρτυς ὁ στεῤῥὸς τῶν πιστῶν τὸ κραταίωμα, ὕμνοις εὐφημείσθω Βασίλειος ὁ μέγας.

Ὑπερκόσμιον δόξαν καὶ φῶς ἀνέσπερον, οὐρανῶν Βασιλείαν στέφος ἀμάραντον, ἄλυπον ζωὴν καὶ χαρὰν ἀκατάλυτον, Μάρτυς μετὰ τέλος εὐρεῖν κατηξιώθης.

Θεοτοκίον.

Σωτηρίας ἀνθρώπων γένος ἠξίωται, διὰ σοῦ Παναγία Θεοχαρίτωτε. μόνη γὰρ ἡμῖν τὸν Σωτῆρα ἐκύησας, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ἰδεῖν ἁγίων τερπνὰς λαμπρότητας, ἀπολυθεὶς σαρκὸς κατηξιώθης παμόλβιε, καὶ Ἀγγέλων συνήφθης στρατεύμασι, μέλπων ἀεὶ σὺν τούτοις· ἅγιος, ἅγιος, ἅγιος εἶ Τριὰς ἡ παντουργὸς καὶ παντοδύναμος.

Ὡς φῶς παμμάκαρ ὡς μέγας Ἥλιος, ἐν Οὐρανῷ Χριστοῦ τῆς Ἐκκλησίας ἱστάμενος, ταῖς τῶν ἄθλων φεγγοβόλοις λάμψεσι, καὶ θαυματουργημάτων, θείαις λαμπρότησι, πάντων καταυγάζεις, τὰς ψυχὰς τῶν ἀνυμνούντων σε.

Ἑαυτὴν τῶν ἄθλων ταῖς ὡραιότησι, πανύκλεως Θεόθεν Ἀθλοφόρε ὡραιώσας, καὶ Χριστῷ τῷ ὡραίῳ παρίστασαι, στέφος δικαιοσύνης νῦν περικείμενος. ὅθεν σε τιμῶμεν, οἱ πιστοὶ ἐπαγαλλόμενοι.

Ἡ γῆ τῇ θείᾳ ταφῇ ἡγίασται, τοῦ ἱεροῦ Βασίλειε καὶ θείου σου σώματος. τῶν δικαίων ἐσκίρτησαν Πνεύματα, μέσον αὐτῶν τὸ Πνεῦμά σου μάκαρ ἔχοντα· μεθ' ὧν πάντων μέμνησο, ἡμῶν τῶν μεμνημένων σου.

Θεοτοκίον.

Φρικτὸς ὁ τρόπος ὁ τῆς λοχείας σου. Θεὸς γὰρ ἦν Παρθένε σαρκωθεὶς ὁ τικτόμενος. ὃν ἱκέτευε φρικτῆς κολάσεως, πάντας τοὺς ἀδιστάκτῳ πίστει τιμῶντάς σε, Μῆτερ ἀπειρόγαμε, σεμνὴ ἀπολυτρώσασθαι.

Ὁ Εἱρμός. Θεὸν ἀνθρώποις ἰδεῖν.

Τὸ φωταγωγικὸν τοῦ ἤχου.

Οἱ Αἶνοι, καὶ τὰ λοιπὰ, ὡς σύνηθες ἡ ά. Ὥρα, καὶ Ἀπόλυσις.



Digitized by Google

Τῷ αὐτῷ Μηνὶ ΚΓ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νίκωνος, καὶ τῶν αὐτοῦ Μαθητῶν ἑκατὸν ἐννενήκοντα ἐννέα.

Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ΄. προσόμοια. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἡδονὰς τὰς τοῦ σώματος, καὶ σαρκὸς τὸ δυσίατον, τῷ κημῷ μακάριε καθυπέταξας, τῆς ἐγκρατείας ἐν χάριτι, νικήσας ὡς ἄριστος, πανοπλίαν τοῦ ἐχθροῦ, τῇ δυνάμει τοῦ Πνεύματος· ὅθεν γέγονας, ποδηγὸς μοναζόντων ἑπομένων, τῷ πανσόφῳ σου καὶ θείῳ, Νίκων κηρύγματι πάντοτε.

Ὅμοιον.

Ἀναλάμψας ὡς Ἥλιος, ἐξ ἑώας πανόλβιε, Οἰκουμένην ἅπασαν κατεφώτισας, τῇ τῶν θαυμάτων λαμπρότητι, χορὸν ἐπαγόμενος, ὡς ἀστέρων φαεινῶν ὀπαδῶν· μεθ' ὧν ἤθλησας, καρτερώτατα, διὰ ξίφους τμηθέντες καὶ εἰς χεῖρας, τοῦ παντάνακτος Δεσπότου, ὑμῶν τὰ Πνεύματα θέμενοι.

Ὅμοιον.

Οὐ λιμὸς οὐδὲ κίνδυνος, οὐ γυμνότης οὐ μάστιγες, οὐχ ὁ βιαιότατος ὄντως θάνατος, ὑμᾶς ἀγάπης ἐχώρισε, Χριστοῦ ἀξιάγαστοι· ἀλλ' ὡς ἄρνες εἰς σφαγήν, τῷ ποιμένι ἑπόμενοι, ἐκ τῆς δύσεως, πρὸς ἀνέσπερον λῆξιν οὐρανίου, Βασιλείας Ἀθλοφόροι, στεφανηφόροι ἐφθάσατε.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Μετανοίας τὸ ἄριστον, καὶ σωτήριον φάρμακον, ἡ Θεὸν κυήσασα τὸν Σωτῆρά μου· καὶ τῶν δακρύων τὰ ῥεύματα, καὶ ὥρας τὴν ἔννοιαν, τῆς φρικτῆς καὶ φοβερᾶς, καὶ Κριτοῦ τὸ ἀδέκαστον, σύ μοι δώρησαι, ἐκφυγεῖν ταῖς εὐχαῖς σου ὦ Παρθένε, τῶν κολάσεων τὸν τρόμον, καὶ θείας τάξασθαι χάριτος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἀμνὸν καὶ ποιμένα σε, ἐπὶ ξύλου ὡς ἔβλεψεν, ἡ ἀμνὰς ἡ τέξασα ἐπωδύρετο, καὶ μητρικῶς σοι ἐφθέγγετο· Υἱὲ ποθεινότατε, πῶς ἐν ξύλῳ τοῦ Σταυροῦ, ἀνηρτήθης μακρόθυμε, πῶς τὰς χεῖράς σου, καὶ τοὺς πόδας σου Λόγε προσηλώθης, ὑπ' ἀνόμων καὶ τὸ αἷμα, τὸ σὸν ἐξέχεας Δέσποτα.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, κατὰ τὴν τάξιν, καὶ τῶν Ἁγίων, εἰς δ΄. Οὗ ἡ ἀκροστιχίς.

Νίκης σε μέλπω τὸν φερώνυμον μάκαρ. Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος δ΄.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Νικήσας ἀσκητικοῖς παλαίσμασι τὸν κακομήχανον, ἀθλητικαῖς ἐστέφθης καλλοναῖς· καὶ Θεῷ νῦν παρίστασαι, ὑπὲρ ἡμῶν δεόμενος, Ὅσιε Νίκων τῶν τιμώντων σε.

Ἰσχύϊ τῇ τὴν ἡμῶν ἀσθένειαν ἐνδυναμώσαντος, δυναμωθεὶς ἠρίστευσας τὸ πρίν, ἐν πολέμοις μακάριε, καὶ νικητὴς γενόμενος, Χριστοῦ προστρέχεις τῷ Βαπτίσματι.

Κοσμεῖται τῷ μαρτυρίῳ ὅμιλος μακαριότητος, τῶν μαθητῶν σου πρότερον σοφέ, λαμπρυνθεὶς ταῖς ἀσκήσεσι, καὶ ἐν διπλοῖς παλαίσμασι, διπλοῦς στεφάνους ἀνεπλέξατο.

Θεοτοκίον.

Ἡ πύλη τῆς πρὸς ἡμᾶς σου Κύριε συγκαταβάσεως, ἀνατολὴν καὶ Ἥλιον καὶ φῶς, μυστικῶς συγκαλυμμένον, ὑπερφυῶς γεγέννηκε. διπλοῦν τὴν φύσιν τὸν Θεάνθρωπον.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Στρατείαν Πνευματικήν, περιζωσάμενος στρατὸν ἔνθεον, Μάρτυς Χριστοῦ ὥπλισας, πρὸς τὰ τῆς ἀθλήσεως σκάμματα.

Σταυρώσας ἀσκητικῶς, σάρκα πανένδοξε τὸ πρὶν ἐσπούδασας, ἀθλητικαῖς μάστιξι, φάλαγγας Δαιμόνων τροπώσασθαι.

Ἑῴας ὥσπερ ἀστὴρ Νίκων ἀπάρας πρὸς δυσμὰς ἔφθασας. ὅθεν θανὼν ἔδυσας, καὶ πρὸς τὸν Χριστὸν ἐξανέτειλας.

Θεοτοκίον.

Μαρτύρων δῆμος τὴν σήν, ἀπεκομίσατο σφαγὴν Δέσποτα, ἐπεγνωκὼς Κόρη σε, ἐξ ἀπειρογάμου βλαστήσαντα.

Ὁ Εἱρμός. Εὐφραίνεται ἐπὶ σοί.

Κάθισμα. Ἦχος γ΄. Θείας Πίστεως.

Φῶς ἐπέλαμψέ σου τῇ καρδίᾳ, θείοις ῥήμασι τῆς σὲ τεκούσης, καὶ φωτισθεὶς τῷ Βαπτίσματι Ὅσιε, τῶν Μοναστῶν κα-

τηλέ-

Digitized by Google

τηλέγης συστήματι, ὁ ποδηγὸς καὶ φωστὴρ ἐχρημάτισας, ἑπομένων σοι μεθ' ὧν τῷ Χριστῷ ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

Θεία γεγονυῖα σκηνὴ τοῦ Λόγου, μόνη Πανάμωμε Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ δὲ γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον πρεσβείαις σου, τοῖς ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀμίαντος ἀμνὰς τοῦ Λόγου, ἡ ἀκήρατος Παρθενομήτωρ, ἐν τῷ Σταυρῷ θεασαμένη κρεμάμενον, τὸν ἐξ αὐτῆς ἀνωδίνως βλαστήσαντα, μητροπρεπῶς θρηνῳδοῦσα ἐκραύγαζεν· οἴμοι Τέκνον μου, πῶς πάσχεις θέλων ῥύσασθαι, παθῶν τῆς ἀτιμίας τὸν ἄνθρωπον.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἐνηδόμενος ταῖς θείαις φωτοχυσίαις, τὰ τῶν βασάνων ῥεύματα ἄτρωτος διέβης, Νίκων ἀξιάγαστε, καὶ νίκης τὸν Στέφανον, Μάρτυς ἐπαξίως ἀπείληφας.

Λαμπροτάταις διαπρέπων ἀνδραγαθίαις, ὡς ἀσκητὴς ἠγώνισαι πάθη θανατώσας, πρότερον τοῦ σώματος, ἀθλήσει τὸ δεύτερον, τὰς Δαιμονικὰς τρέπων φάλαγγας.

Παρετάξασθε τῷ ὅπλῳ τῆς εὐσεβείας, τῷ δυσμενεῖ Θεόφρονες, καὶ διὰ θανάτου, εὔκλειαν εἰλήφατε, καὶ χαίροντες κράζετε, δόξα τῇ δυνάμει σου Κύριε. Θεοτ.

Ὡς ὑπάρχουσαν τῆς κτίσεως ἀνωτέραν, ὁ Ποιητὴς ἠγάπησέ σε Παρθενομῆτορ, δείξας σε Μητέρα αὐτοῦ. Ἣν καὶ λιτανεύουσι, δῆμοι Ἀθλητῶν εὐπρεπέστατα.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Ταῖς θείαις τῆς μητρὸς εὐπειθῶς παραινέσεσι, τὴν δύναμιν Νίκων ἔσχες, τοῦ Σταυροῦ ἐν πολέμοις, μυούμενος τὰ κρείττονα.

Ὁ βίος σου φωτὶ ἀρετῶν πυρσευόμενος, ἄθλησιν ὥσπερ κόσμον, εὐπρεπέστατον ἔχει, Θεόφρον πανσεβάσμιε.

Θεοτοκίον.

Φῶς ἄχρονον ἡμῖν τοῦ Πατρὸς τὸ ἀπαύγασμα, ἐγέννησας ὑπὸ χρόνον, ἀγαθότητος πλούτῳ, γενόμενον Πανάμωμε.

Ὠδὴ ς'. Θύσω σοι, μετὰ φωνῆς.

Ἐῴας, ὡς πολύφωτος ὥρμησας Ἥλιος, ὥσπερ ἀστέρας Θεόφρον, μαθητῶν χορὸν ἐπαγόμενος, καὶ τὴν δύσιν, ταῖς ἀκτῖσιν ὑμῶν ἐφωτίσατε.

Ῥανίσι, τῶν αἱμάτων σου Μάρτυς κατέκλυσας, πολυθείας θαλάσσας, καὶ βυθῷ ἀγώνων ἀπέπνιξας, τῆς κακίας, τὸν δεινὸν ἀρετὴν καὶ παμπόνηρον.

Ὡς κρίνα, ἀρετῶν ἐν λειμῶνι ἠνθήσατε, καὶ ὡς ἡδύπνοα ῥόδα, τὰς ἡμῶν καρδίας μυρίζετε, Μαρτυρίου, παλλομαῖς Ἀθλοφόροι Θεόπνευστοι.

Θεοτοκίον.

Ναόν σε, τοῦ Θεοῦ καὶ παλάτιον ἔμψυχον, τῶν Ἀθλοφόρων χορεία, ἐπιγνοῦσα Δέσποινα λιτανεύει, σὲ τὴν μόνην, γυναικῶν ἀφανίσασαν τὸ ὄνειδος.

Ὁ Εἱρμός. Θύσω σοι, μετὰ φωνῆς.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΚΓ'. Τοῦ Ἁγίου Μάρτυρος Νίκωνος, καὶ τῶν αὐτοῦ μαθητῶν, ἑκατὸν ἐννενηκονταεννέα Μαρτύρων.

Στίχ. Νίκης στέφανον ἐντεπίζει σοι Νίκων,
Βραβεὺς στεφάνων, ἀλλὰ γὰρ θνήσκεις ξίφει.

Εἰκάδι ἐν τριτάτῃ Νίκων ξίφει κράτα δῶκε.

Εἰς τοὺς αὐτοῦ Μαθητάς.

Στίχ. Ἑνὸς δέοντος τέσσαρας συμμαρτύρων,
Διὰ ξίφους τέμνουσι πεντηκοντάδας.

Οὗτος ὁ Ἅγιος Νίκων ὑπῆρχε κατὰ τοὺς καιροὺς Κυντιανοῦ Ἡγεμόνος, ἐκ τῆς τῶν Νεαπολιτῶν χώρας ὁρμώμενος, ὡραῖος τὸ κάλλος, καὶ τὴν ὄψιν λαμπρὸς, καὶ φοβερὸς ἐν πολέμοις. Πατρὸς μὲν Ἕλληνος, Μητρὸς δὲ Χριστιανῆς. Πολέμου δὲ συγκροτηθέντος μεγάλου, καὶ σφοδροῦ ἀγῶνος ἐνστάντος, τῶν τῆς Μητρὸς παραινέσεων ὁ μακάριος μνησθεὶς, καὶ βαθὺ στενάξας, καὶ, Κύριε Ἰησοῦ Χριστὲ βοήθει μοι, εἰπὼν, καὶ τῷ σημείῳ τοῦ τιμίου ἑαυτὸν τειχισάμενος Σταυροῦ, μέσον τῶν πολεμίων ἐλαύνει. Καὶ

ὡς

Digitized by Google

οὓς μὲν μαχαίρᾳ παίων, οὓς δὲ δόρατι βάλλων, ὁ πρότερον ἀφῆκεν, ἕως οὗ πάντας ἐτροπώσατο, καὶ φυγάδας ἐποίησε. Πάντων δὲ ἐπὶ τούτῳ ἐκπλαγέντων, ἐπεὶ κατὰ νοῦν αὐτοῖς τὰ τοῦ πολέμου προὔβη, μετὰ πάντων καὶ αὐτὸς τὸν ἴδιον οἶκον καταλαμβάνει, καὶ τῇ Μητρὶ τὰ τοῦ σκοποῦ προσαναθεὶς, ἐπὶ τὰ μέρη Κωνσταντινουπόλεως ἔπλει. Φθάσας δέ τινα Νῆσον, καλουμένην Χίον, προσβάλλει τῷ ταύτης ὄρει. καὶ ἐπιμείνας ἡμέρας ἑπτὰ, καὶ νηστείαις καὶ ἀγρυπνίαις καὶ προσευχαῖς σχολάζων, εὐαγγελίζεται ὑπὸ θείου Ἀγγέλου, κατελθεῖν εἰς τὸν αἰγιαλὸν, μετὰ τῆς ῥάβδου ἣν παρέσχεν αὐτῷ ὁ φανείς. Καὶ καταλαβὼν τὸν αἰγιαλὸν, καὶ εὑρὼν πλοῖον, ἀνῆλθεν ἐπ' αὐτῷ, καὶ διὰ δύο ἡμερῶν καταλαμβάνει τὸ τῇ Γάνου ὄρος. Καὶ κατὰ συγκυρίαν παρέστη αὐτῷ Ἐπίσκοπος ἐν σχήματι Μοναχοῦ, καὶ ἐπιλαβόμενος αὐτοῦ τῆς χειρὸς, ἀπήγαγεν αὐτὸν εἰς ὃ αὐτὸς κατῴκει σπήλαιον. καὶ κατηχήσας αὐτὸν, εἰς τὸ τῆς Ἁγίας Τριάδος ἐβάπτισεν ὄνομα, μεταδοὺς αὐτῷ καὶ τῶν Ἁγίων Μυστηρίων. καὶ μετὰ χρόνους τρεῖς χειροτονεῖ αὐτὸν Πρεσβύτερον, ἔπειτα Ἐπίσκοπον. Πάντων δὲ τῶν συνελθόντων Μοναχῶν τὴν προστασίαν ἀναδεξάμενος, ἑκατὸν ἑξήκοντα ὄντων τὸν ἀριθμὸν, εἰς Μιτυλήνην μετὰ πάντων ἔρχεται. ἐκεῖθεν πρὸς Ἰταλίαν ἀπαίρει, καὶ τὴν Μητέρα θεασάμενος, καὶ θανοῦσαν αὐτὴν κηδεύσας, τὴν Σικελίαν καταλαμβάνει, καὶ τὸ τοῦ Ταυρομενίου ὄρος οἰκεῖ μετὰ καὶ ἄλλων ἐννέα. Ὁ δὲ Ἡγεμὼν τὰ κατὰ τὸν Ἅγιον μαθὼν, αὐτίκα παρέστησαν ἅπαντας ἐνώπιον αὐτοῦ. καὶ ἐρωτηθέντες, ἐπ' ἐδάφους τείνονται, καὶ πληγαῖς κατακόπτονται, καὶ τελευταῖον τελειοῦνται τῷ ξίφει. Ὁ δὲ Ἅγιος Νίκων τείνεται ἐκ τεσσάρων, καὶ λαμπάσιν ὑποκαίεται, καὶ ὑποζυγίοις δεσμεῖται. καὶ κατὰ γῆν σύρεται, καὶ κατὰ κρημνοῦ ὠθεῖται, καὶ τὸ στόμα λίθοις τύπτεται, καὶ τὴν γλῶτταν ἐκτέμνεται, καὶ τελευταῖον, ξίφει τὴν κεφαλὴν ἀποτέμνεται. καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ Μαρτυρία.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γεωργίου τοῦ Νεοφανοῦς καὶ Θαυματουργοῦ.

Οὗτος καταλιπὼν γυναῖκα καὶ τέκνα καὶ συγγενεῖς, τὴν στενὴν ὁδὸν εἵλετο· καὶ ἐπελθὼν τὸν ζυγὸν τοῦ Κυρίου τὸν ἐλαφρότατον, διήρχετο Πόλεις καὶ Χώρας, καὶ αὐτὴν τὴν ἔρημον. ὑστερούμενος, θλιβόμενος, κακουχούμενος, ὅθεν, γνωσθείσης αὐτῷ Θεόθεν τῆς ἀναλύσεως, κατέλαβε τὴν Κωνσταντινούπολιν. καὶ ἐλθὼν ἐν τῷ πανσέπτῳ Ναῷ τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου, ἐν τῷ Διϊππίῳ, ἀνεπαύσατο ἐν Κυρίῳ, ἑπτὰ ἡμέρας διαρκέσας αὐτόθι. Ἐπεὶ δὲ παρῆσαν οἱ ἐνταφιάζειν αὐτὸν μέλλοντες, καὶ τὸν περικείμενον αὐτοῦ τῷ σώματι σίδηρον, πολυτάλαντον ὄντα εἶδον, καὶ ἅπαν τὸ σῶμα προσηλωμένον αὐτῷ, τὸ, Κύριε ἐλέησον ἔκραζον. Διὸ καὶ ἐκ μαρμάρου τῇ κατασκευασθείσῃ θήκῃ τοῦ εἰρημένου Ναοῦ κατατίθεται, πολλῶν θαυμάτων ἰάσεις προχέων τοῖς μετὰ πίστεως προσερχομένοις. ὧν ἔνιοι τῶν ἀπολελαυκότων τῆς αὐτοῦ ἐπικουρίας, ἔτι καὶ νῦν πᾶσι διαμαρτύρονται, τὰς εἰς αὐτοὺς γενομένας θαυματοποιΐας.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Δομετίων ξίφει τελειοῦται.

Στίχ. Ὁ δεινὸν οὗτος εἰσορῶν ἀπαθηφόρος,
Ὀργᾷ κρατεῖται τῇ ἀπάθῃ Δομετίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἐν τῷ Κυρίῳ Πάσχα Σταύρωσις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Σωτῆρος Θεοῦ.

Στίχ. Ζῶν εἷς Θεὸς σὺ, καὶ νεκρωθεὶς ἐν ξύλῳ.
Ὢ νεκρὲ γυμνὲ, καὶ Θεοῦ ζῶντος Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ σταυρωθέντος τῷ Χριστῷ Δικαίου Λῃστοῦ.

Στίχ. Κεκλεισμένας ἤνοιξε τῆς Ἐδὲμ πύλας.
Βαλὼν ὁ Λῃστὴς κλεῖδα τὸ, μνήσθητί μου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἀποκαθήλωσις τοῦ Σωτῆρος Χριστοῦ.

Στίχ. Ἐκσπῶσιν ἥλους οἷς Ἀδὰμ παρεὶς μέσος,
Ἄρας τὸ ἧλος Ἀδὰμ ἐκσπᾷ τοῦ πάλαι.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ παρὰ τοῦ Ἰωσὴφ ταφὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Στίχ. Φέρων σε φαύγει, Σῶτερ, Ἰωσὴφ πάλαι,

Καὶ

Digitized by Google

Καὶ νῦν Ἰωσὴφ ἄλλος ἐνθάπτει φέρων.

Αὐτῷ μόνῳ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Ὑπὲρ χρυσίον, δοκιμασθεὶς Θεόφρον τοῖς αἰκισμοῖς, πύργος ἀρετῆς ἐφάνης τὰς ἐμβολάς, τῶν Δαιμόνων ἀπωθούμενος, εὐλογητὸς εἶ ὁ Θεὸς μου κραυγάζων καὶ Κύριος.

Μετὰ τὸ τέλος, ἀπορριφέν σου σῶμα Μάρτυς κρυφῇ, θείας ἰαμάτων πέμπον μαρμαρυγάς, ἀπελαύνει λώβην Δαίμονος, τοῦ σοῦ σὲ καταδήλον, διὰ θείου ποιήσαντος Πνεύματος.

Ὅλος ταῖς θείαις, ἐνηδυνθεὶς παμμάκαρ νεύσεσι, σῶμα αἰκισμοῖς παρέδωκας καρτερῶς· στεφηφόρος γὰρ παρίστασθαι, τῷ Παντοκράτορι, ἐν οὐρανοῖς ἐπόθησας ἔνδοξε.

Νομὰς προβάτων, τῶν λογικῶν τὴν μάνδραν Πάτερ σοφέ, λύκων νοητῶν ἐτήρησας ἀβλαβῆ, καὶ σὺν τούτοις πρὸς οὐράνιον, μονὴν ἐσκήνωσας, τῷ Δεσπότῃ τῶν ὅλων παρίστασθαι. Θεοτοκίον.

Μὴ διαφθείρας, τὴν παρθενίαν ὅλως τὴν σήν, Λόγος τοῦ Πατρὸς ἐσκήνωσεν ἐπὶ σοί, καὶ Μαρτύρων ἐπεσπάσατο, χορὸν ἀοίδιμον, Θεοτόκον Ἁγνὴν σὲ κηρύττοντα.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ἀμύσακτον φέρων τὸν πυρσόν, τὸν τῆς καρδίας σου ἐπαρδευόμενον, νάμασιν Ὅσιε, καὶ ἀθλήσεως ἐν αἵμασιν, εἰς ἀχειροτεύκτον βοῶν, παστάδα νῦν κατοικεῖς· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Κόσμος Ἀσκητῶν καὶ Ἀθλητῶν, ἐδείχθης Ὅσιε· ἐν ἀμφοτέροις γὰρ ἐπανδοκίμησας τρόπαια, καταπλήττοντα διάνοιαν, κατὰ τοῦ μόνου δυσμενοῦς Νίκων στησάμενος, καὶ κραυγάζων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Αἵμασι κατήρδευσας ψυχάς, πρὸς ζῆλον ἔνθεον ἐγείρας Ὅσιε, στιγμάτων ξίφεσιν ἔπληξας, τῶν Δαιμόνων τὴν παράταξιν, ἐπαληθεύουσαν ἐν σοὶ τὴν κλῆσιν δείξας βοῶν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Ῥῆξον τῶν κακῶν μου τὸ βαρύ, φορτίον Πάναγνε ἡ ἀνορθώσασα, Ἀδὰμ τὴν ἔκπτωσιν ἄχραντε, τῇ κυήσει σου πανύμνητε, καὶ φωταγώγησον βοᾶν ἐν καθαρῷ λογισμῷ· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Εἶδέ σε στιγμάτων τῷ κάλλει, διηνθισμένον καὶ πορφύραν, ἐκ μαρτυρικῶν σου αἱμάτων, ὁ στεφοδότης περιβαλλόμενον, καὶ σὺν αὐτῷ κατῴκησε, Νίκων ἐνθέως ἀγαλλόμενος.

Ὡς περικαλλής σου ὁ πόθος, ὃν πρὸς τὸν Κύριον ἐκτήσω, Νίκων καὶ θερμός σου ὁ πόθος, πυρὶ τῷ θείῳ ἀναφλεγόμενος, καὶ θαυμαστὴ ἡ ἄθλησις, τοῖς οὐρανίοις σε συνάψασα.

Σὲ τῆς Ἐκκλησίας ἐν ὕψει, Ἥλιον μέγαν κεκτημένος, δῆμος Ἀθλητῶν ὡς ἀστέρες, φωτὶ τῷ θείῳ περιχεόμενοι, ἀκτινοβόλοις λάμψεσι, τὴν Οἰκουμένην καταυγάζετε.

Ἤρθης πρὸς μονὰς ἀκηράτους, χορὸν διπλῆς ἑκατοντάδος, Μάρτυς Ἀθλητῶν παραστήσας, τῷ στεφοδότῃ μεθ' ὧν μνημόνευε, τῶν ἐκτελούντων σήμερον, τὸ Ἱερὸν ὑμῶν μνημόσυνον. Θεοτοκίον.

Φωτὸς οἰκητήριον ὤφθης, τοῦ δι' ἡμᾶς ἐκ σοῦ τεχθέντος· ὃν ἀδιαλείπτως δυσώπει, φωταγωγῆσαι τοὺς ἀνυμνοῦντάς σε, καὶ Θεοτόκον πάναγνε, Παρθενομήτορ καταγγέλλοντας.

Καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς σύνηθες, καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΚΔ'.

## Προεόρτια τοῦ Εὐαγγελισμοῦ τῆς Ὑπεραγίας Θεοτόκου.

Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν τὰ Ἰδιόμ. τῆς ἡμέρας, δίς, καὶ τὸ Μαρτυρικ. καὶ τὰ προσόμοια τοῦ Τριῳδίου, καὶ τῆς Ἑορτῆς, δ'. Ἦχος δ'.

Ὡς

Digitized by Google

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Κεκρυμμένον μυστήριον, καὶ Ἀγγέλοις ἀγνώριστον, Γαβριὴλ πιστεύεται ὁ Ἀρχάγγελος, καὶ ἐπὶ σὲ νῦν ἐλεύσεται, τὴν μόνην ἀκήρατον, καὶ καλὴν περιστερὰν, καὶ τοῦ γένους ἀνάκλησιν, καὶ βοήσει σοι. Παναγία τὸ χαῖρε ἑτοίμαζε, διὰ λόγου Θεὸν Λόγον, ἐν ταῖς λαγόσιν εἰσδέξασθαι. Ὅμοιον.

Φωτοφόρον Παλάτιον, ἡτοιμάσθη σοι Δέσποτα, ἡ νηδὺς ἡ ἄφθορος τῆς Θεόπαιδος· δεῦρο πρὸς τοῦτο κατάβηθι, οἰκτεῖραι τὸ πλάσμα σου φθονερῶς πολεμηθὲν, καὶ δουλείᾳ κρατούμενον τοῦ Ἀλάστορος, καὶ τὸ κάλλος τὸ πρῶτον ἀπολέσαν, καὶ τὴν σὴν σωτηριώδη, προσαναμένον κατάβασιν. Ὅμοιον.

Γαβριὴλ ὁ Ἀρχάγγελος, ἐπὶ σὲ Παναμώμητε, ἐμφανῶς ἐλεύσεται καὶ βοήσει σοι. Χαῖρε κατάρας λυτήριον, πεσόντων ἀνόρθωσις, Χαῖρε μόνη ἐκλεκτὴ, τῷ Θεῷ χρηματίσασα, Χαῖρε ἔμψυχε, τοῦ Ἡλίου νεφέλη ὑποδέχου, τὸν ἀσώματον ἐν μήτρᾳ, τῇ σῇ οἰκῆσαι θελήσαντα.

Δωτερωντες τὸ α. Δόξα, καὶ νῦν. Ἦχος β.

Εὐαγγελίζεται ὁ Γαβριὴλ, τῇ κεχαριτωμένῃ σήμερον, χαῖρε ἀνύμφευτε Κόρη καὶ ἀπειρόγαμε· μὴ καταπλαγῇς τῇ ξένῃ μου μορφῇ, μηδὲ δειλιάσῃς, Ἀρχάγγελος εἰμί· ὄφις ἐξηπάτησεν Εὔαν ποτέ· νῦν εὐαγγελίζομαί σοι τὴν χαρὰν, καὶ μενεῖς ἄφθορος, καὶ τέξεις τὸν Κύριον Ἄχραντε.

Εἴσοδος· τὰ Ἀναγνώσματα, καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

Εἰ δὲ οὐ τελεῖται Λειτουργία, ψάλλομεν εἰς τὸν ἄ. τὸ Ἰδιόμ. τῆς ἡμέρας, καὶ τὸ Μαρτ. Δόξα, καὶ νῦν. Τῆς Ἑορτῆς, οἷον βούλει. τὸ, Θεοτόκε Παρθένε, καὶ αἱ μεταστοιαι. Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, ὁ Προεόρτιος, καὶ τοῦ Τριωδίου εἰς τὴν τάξιν αὐτῶν. Ὁ Προεόρτιος Κανὼν, εἰς ϛ.

Ὠδὴ ά. Ἦχος δ. Ποίημα Γεωργίου.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Ὁ Κόσμος περιχαρῶς εὐφράνθητι, ὥσπερ αἰσθόμενος, τὴν τοῦ Κυρίου κάθοδον ἐν σοὶ, διὰ σπλάγχνα ἐλέους γὰρ ἐξ Οὐρανοῦ κατέρχεται, γαστρὶ Παρθένου σωματούμενος.

Ἰδοὺ σοὶ τῇ Βασιλίδι στέλλεται, θεῖος Ἀρχάγγελος, τοῦ Βασιλέως πάντων καὶ Θεοῦ, προμηνῦσαι τὴν ἔλευσιν, καὶ προσφωνήσει χαῖρέ σοι, ἐπαγακλήσει τοῦ Προπάτορος.

Ἡ στάμνος ἡ φωταυγὴς καὶ πάγχρυσος, διευτρεπίσθητι, πρὸς εἰσδοχὴν τοῦ μάννα τῆς ζωῆς· ἐπὶ σὲ γὰρ ἐλεύσεται, διὰ φωνῆς Ἀγγέλου σοι, ὑπερφυῶς εἰσοικιζόμενος.

Λαγόσι σου τῆς Ἁγνῆς οἰκίζεσθε, μέλλει ὁ Κύριος, ὁ κατοικῶν ἀεὶ τοὺς Οὐρανοὺς· οὐρανῶσαι γὰρ ἔρχεται, τῶν γηγενῶν τὸ φύραμα, τοῦτο σαφῶς ἐπενδυσάμενος·

Ὠδὴ γ. Οὐκ ἐν σοφίᾳ.

Γῆ τὰς ἀκάνθας, τῶν παθῶν λυπηρῶς ἡ βλαστήσασα, σκίρτα χόρευε ἰδοὺ, ὁ γεωργὸς ὁ ἀθάνατος, κατάρας ἐξαίρων σε, νῦν ἐπελεύσεται.

Ὁ θεῖος πόκος, ἑτοίμαζε Παρθένε ἀμόλυντε· ἐπὶ σὲ γὰρ ὁ Θεὸς, ὡς ὑετὸς καταβήσεται, ξηρᾶναι τὰ ῥεύματα, τῆς παραβάσεως.

Τόμος ὁ θεῖος, εὐτρεπίζου. Πατρὸς τῷ δακτύλῳ γὰρ, ἐγγραφήσεται ἐν σοὶ ὁ θεῖος Λόγος σαρκούμενος, τὴν ἐξ ἀλογίας μου, λύων παράβασιν.

Χρυσῆ λυχνία, ὑποδέχου τὸ πῦρ τῆς Θεότητος, ἀναλάμπον διὰ σοῦ, καὶ φῶς τῷ Κόσμῳ δωρούμενον· δι' οὗ τῶν κακῶν ἡμῶν, σκότος λυθήσεται.

Ὁ Εἱρμός. Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει.

Κάθισμ. Ἦχος γ. Τὴν ὡραιότητα.

Σήμερον ἅπασα, Κτίσις ἀγάλλεται, ὅτι τὸ χαῖρέ σοι, φάσκει ὁ Ἄγγελος· εὐλογημένη σὺ Ἁγνὴ, τοῦ Χριστοῦ Μήτηρ ἄχραντε· σήμερον τοῦ ὄφεως ἀμαυροῦται, τὸ φρύαγμα· ἀρᾶς γὰρ διαλέλυται, ὁ δεσμὸς τοῦ Προπάτορος· διὸ καὶ ἡμεῖς βοῶμέν σοι, Χαῖρε ἡ κεχαριτωμένη.

Ἕτερον. Ἦχος δ. Ἐπεφάνης σήμερον.

Ἐπελεύσει Πνεύματος τοῦ Παναγίου, τοῦ Πατρὸς τὸν σύνθρονον, καὶ ὁμούσιον

φω-

φωνῇ, τοῦ Ἀρχαγγέλου συνέλαβες, Θεοχυῆτορ Ἀδὰμ ἡ ἀνάκλησις.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Τὸ Μυστήριον τὸ πάλαι πρὸ τῶν αἰώνων, προορισθὲν φανέρωσιν, ἄρχεται λαμβάνειν· γῆ καὶ τὰ οὐράνια, συμφώνως εὐφράνθητε, καὶ χαρμονικῶς ἀλαλάξατε.

Τὸ Παλάτιον τὸ μέγα τοῦ Βασιλέως, τῶν ἀκοῶν διανοίξον τὰς θείας εἰσόδους· ἤδη γὰρ ἐλεύσεται, Χριστὸς ἡ ἀλήθεια, καὶ κατασκηνώσει ἐν μέσῳ σου.

Τῆς Προμήτορος τὸν ὄλισθον ἀνορθώσων, ὁ λυτρωτὴς ὀφθήσεται, ἐν ἀπειρογάμῳ, μήτρᾳ οἰκιζόμενος, αὐτῷ μελῳδήσωμεν· δόξα τῇ δυνάμει σου Κύριε.

Ἀββακούμ σε προηγόρευσε πάλαι ὄρος, ταῖς ἀρεταῖς κατάσκιον, ἐξ οὗ φανεῖσθαι, μέλλει ὁ Θεὸς ἡμῶν, Παρθένε Πανάμωμε, μόνη τῶν βροτῶν ἐγκαλλώπισμα.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Ὦ ἄσπιλε ἀμνάς, ὁ ἀμνὸς τοῦ Θεοῦ ἡμῶν, τὴν μήτραν σου ὑπεισδύναι, κατεπείγεται αἴρων, ἡμῶν τὰ ἁμαρτήματα.

Ῥάβδος ἡ μυστική, μετ᾽ ὀλίγον ἀνθήσειεν, ὡς γέγραπται θεῖον ἄνθος, Ἰεσσαὶ ἐκ τῆς ῥίζης, ἡμῖν ἐμφανιζόμενον.

Ἀγγέλου τῇ φωνῇ, πιανθεῖσα ὡς ἄμπελος, πρὸς βλάστησιν ἑτοιμάζου, τοῦ πεπείρου Παρθένε, καὶ ἀκηράτου βότρυος.

Μέγιστε Προφητῶν, Ἡσαΐα εὐφράνθητι. Παρθένος γὰρ ἣν προέφης, ἐν γαστρὶ συλλαμβάνει, βουλῆς μεγάλης Ἄγγελον.

Ὠδὴ ϛ΄. Θύσω σοι, μετὰ φωνῆς.

Χαῖρέ σοι, Γαβριὴλ ὁ Ἀρχάγγελος φθέγγεται· τὴν γὰρ χαρὰν ἐν γαστρί σου, συλλαμβάνειν μέλλεις ἀνερμηνεύτως, ἣν ἡ Εὔα, παραβάσει Παρθένε ἀπώλεσε.

Οὐ φλέξει, μὴ δειλιάσῃς ὅλως τὴν μήτραν σου, πῦρ τῆς Θεότητος Κόρη· ἡ γὰρ βάτος πάλαι σε προετύπου, καιομένη, οὐδαμῶς φλεγομένη δὲ Πάναγνε.

Τὸ ὄρος, Δανιὴλ ὃ προεῖδεν ἐν Πνεύματι, χαῖρε Παρθένε· ἐκ σοῦ γὰρ, ὁ νοητὸς λίθος ἀποτμηθήσεται, καὶ συντρίψει, τῶν Δαιμόνων τὰ ἄψυχα ξόανα.

Εἰρήνης, ὁ Βασιλεὺς ἐν σοὶ ἐπελεύσεται, τοῦ διὰ σὲ εἰρηνεῦσαι, τοὺς πολεμηθέντας καὶ ἡττηθέντας, Θεομῆτορ, πονηρᾷ συμβουλίᾳ τοῦ ὄφεως.

Ὁ Εἱρμός. Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΚΔ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν, καὶ Ὁμολογητοῦ Ἰακώβου.

Στίχ. Λύπας ἐνεγκὼν τῆς χάριν σκιᾶς, Λόγε.
Βίου σκιώδους Ἰάκωβος ἡρπάγη.
Κρύψαν ὑπὸ χθόνα, Εἰκάδι Ἰάκωβόν γε τετάρτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀρτέμονος, Ἐπισκόπου Σελευκείας τῆς Πισιδίας.

Στίχος. Τὴν σάρκα ῥίψας ὡς ἔλυτρον Ἀρτέμων.
Οὐ γῆς ἔχων τι, στέλλεται πρὸς τὸν πόλον.

Οὗτος ὁ μακάριος τὴν Σελεύκειαν Πατρίδα καὶ Πόλιν ἔσχεν, ἐν αὐτῇ καὶ γεννηθεὶς καὶ τραφείς· τοῦ δὲ μακαρίου Ἀποστόλου Παύλου τὰ ἐκεῖσε καταλαβόντος, οὐκ ἦν τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύπτεσθαι· ἀλλά γε τοῦτον Ποιμένα καὶ Διδάσκαλον τοῦ λαοῦ προεστήσατο. Καλῶς καὶ θεαρέστως τὸ ποίμνιον αὐτοῦ ὁδηγήσας, γέγονε πᾶσι τοῖς χρείαν ἔχουσι λιμὴν σωτήριος, χηρῶν καὶ ὀρφανῶν καὶ πτωχῶν προνοητὴς, καὶ ψυχῶν καὶ σωμάτων ἰατρός· ἐν τούτοις καλῶς πολιτευσάμενος, ἐν γήρει καλῷ καταλύει τὸν βίον.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἀρτέμονος Πρεσβυτέρου.

Διοκλητιανοῦ βασιλεύοντος ἐν Ῥώμῃ, ἀπεστάλη εἰς τὰ μέρη τῆς Λαοδικείας Κόμης τις Πατρίκιος ὀνόματι, καὶ ἐποίει καθὼς προσετάγη. Σισίνιος δὲ ὁ τοῦ τόπου Ἐπίσκοπος μετὰ Ἀρτέμονος Πρεσβυτέρου, καὶ τινων ἄλλων Χριστιανῶν, εἰσῆλθον εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος νυκτὸς, καὶ τὰ ἐκεῖσε εἴδωλα συνέτριψαν καὶ ἐτέφρωσαν πυρί. Τοῦτο μαθὼν ὁ Κόμης, θυμοῦ πλησθεὶς,

θεὶς,

Digitized by Google

θεὶς, καὶ λαβὼν πλῆθος λαοῦ σὺν αὐτῷ, ἐξήρχετο μετὰ ἵππων ἔξω τῆς Πόλεως πρὸς τὴν τῶν Χριστιανῶν Ἐκκλησίαν, τοῦ κατακαῦσαι πάντας, καὶ Σισίνιον καὶ Ἀρτέμονα μεληδὸν κατατεμεῖν. Ἐγγίζοντος δὲ αὐτοῦ τῷ Ναῷ, φρίκη συνέπεσεν αὐτῷ, καὶ πυρετῷ συνεχέθη λαύρῳ, καὶ ὑπέστρεψε τεθεὶς ἐν κλινιδίῳ. Ἐλθὼν δὲ εἰς ἄκραν ταλαιπωρίαν, ἐδήλωσε τῷ Ἐπισκόπῳ, λέγων· εὖξαι τῷ Θεῷ σου ἵνα κουφισθῶ, καὶ ποιήσω τὴν στολήν σου χρυσῆν· ὁ δὲ Ἐπίσκοπος ἀντεδήλωσεν εἰπών, τὸ χρυσίον σου ἔσται παρὰ σοί· ἐὰν δὲ πιστεύσῃς τῷ [illegible]οις φ καὶ Θεῷ μου, ἰαθήσῃ· ὁ δὲ ἔκραξεν [illegible] πιστεύω τῷ Θεῷ σου, μόνον ἰαθήσομαι· καὶ εὐθέως ἀπέστη, μὴ ἔχων λείψα[illegible] μ[illegible]ου· καὶ ὁδεύων ἐπὶ τὴν Καισαρέων πόλιν, ὡς ἀπὸ μιλίων τριῶν Λαοδικείας, ἀπήντησε τῷ Πρεσβυτέρῳ Ἀρτέμονι, ἀκολουθούντων αὐτῷ ἐλάφων δύο, καὶ ὀνάγρων [illegible], καὶ λέγει αὐτῷ· πῶς ταῦτα ἠγρεύσας; ὁ δὲ, τῷ λόγῳ τοῦ Θεοῦ, φησὶν, ἤγρευσα αὐτά. Καὶ ὁ Κόμης, οὐκοῦν Χριστιανὸς εἶ σύ; ὁ Ἅγιος εἶπε· ναὶ, ἐκ νεαρᾶς ἡλικίας Χριστιανός εἰμι. Τότε δήσας αὐτὸν δυσὶν ἀλύσεσι, καὶ παραδοὺς αὐτὸν στρατιώταις, ἐπέτρεψεν ἀκολουθεῖν πρὸς Καισάρειαν. Ὁ δὲ Ἅγιος πρὸς τὰ ἀκολουθοῦντα ζῶα στραφεὶς, ἔφη· πορεύεσθε πρὸς Σισίνιον τὸν Ἐπίσκοπον· τὰ δὲ πορευθέντα, διεμηνύθη αὐτῷ διὰ τοῦ θυρωροῦ. Ὁ δὲ ἔφη τῷ θυρωρῷ· πόθεν παραγεγόνασι τὰ ζῶα ταῦτα; Τότε, προστάξει Θεοῦ, μία ἔλαφος, ἀναλαβοῦσα φωνὴν ἀνθρωπίνην, ἔφη· ὁ δοῦλος τοῦ Θεοῦ Ἀρτέμων, συλληφθεὶς παρὰ τοῦ ἀσεβοῦς Κόμητος, ἄγεται δέσμιος ἐν τῇ Καισαρέων Πόλει, καὶ ἡμῖν προσέταξεν ἐλθεῖν ἐνθάδε. Ἀκούσας δὲ ὁ Ἐπίσκοπος, ἔκθαμβος γεγονὼς καὶ καλέσας Φολέαν τὸν Διάκονον, ἀπέστειλεν εἰς Καισάρειαν λέγων· ἄπελθε, καὶ μάθε, εἰ ἀληθές ἐστιν ὅπερ ἠκούσαμεν διὰ τῆς ἐλάφου· καὶ ἀπελθὼν, εὗρεν αὐτὸν ἐν τῇ φυλακῇ· καὶ ἀσπασάμενοι ἀλλήλους, διέστησαν εἰς ἐπιταγὴν τῶν φυλάκων. Τῇ δὲ ἑξῆς προκαθίσας ὁ Κόμης, παρέστησε τὸν μακάριον Ἀρτέμονα, καὶ φησί· τίμησον τὸ γῆράς σου, ἄνθρωπε, καὶ θῦσον τοῖς θεοῖς. Καὶ ὁ Ἅγιος. Δέκα καὶ ἓξ χρόνους διεβίβασα, ὑπαναγινώσκων τῷ λαῷ τὰς βίβλους τοῦ Θεοῦ ἐν τῷ Ναῷ, καὶ ὀκτὼ πρὸς εἴκοσιν ἐτέλεσα Διάκονος Χριστοῦ, ὑπαναγινώσκων τὰ Εὐαγγέλια, καὶ τριάκοντα καὶ τρεῖς πληρῶ Πρεσβύτερος, διδάσκων τῇ τοῦ Θεοῦ μου βοηθείᾳ· καὶ νῦν λέγεις μοι τῷ ἀναισθήτῳ ὁμοίῳ σου Δαίμονι ἐπιθῦσαι; Ταῦτα ἀκούσας ὁ Κόμης ἐταράχθη, καὶ πυρώσας ἐσχάραν, ἥπλωσε τὸν Μάρτυρα ἐν αὐτῇ. Ἀναβλέψας δὲ ὁ Ἅγιος εἰς τὸν Οὐρανὸν, ἔφη· Κύριε Ἰησοῦ Χριστὲ, μὴ συγχωρήσῃς τῷ μιαρῷ τούτῳ Κόμητι, ἐπεγγελάσαι μοι τῷ δούλῳ σου· ἀλλ' εἰδὼς ὅτι διὰ σὲ πάσχω ταῦτα, δός μοι ὑπομονὴν, ἵνα τελείως καταισχυνθῇ. Ταῦτα λέγοντος τοῦ Ἁγίου, ἰδοὺ καὶ ἡ ἔλαφος ἐκ τοῦ ἐπισκόπου ἐλθοῦσα προστάξει Θεοῦ εἰς ἔλεγχον τῶν ἀπίστων, λέγει τῷ Κόμητι· τί ἀδυνατεῖ τῷ Θεῷ; γνῶθι ὅτι ὁ δοῦλος τοῦ Θεοῦ ταχέως ἐκδικηθήσεται· δύο γὰρ ὄρνεις ἁρπάσουσί σε, καὶ βαλοῦσιν εἰς τὸν παμφλάζοντα λέβητα, καὶ αἱ σάρκες σου διαλυθήσονται, ὅτι ὃν ὡμολόγησας Θεὸν τοῦ πιστεῦσαι, ἐξηρνήσω. Ὡς οὖν διηλέγχθη ὑπὸ τοῦ ἀγρίου ζώου, ἐκέλευσε τοῖς στρατιώταις ἐκκεντῆσαι τὴν ἔλαφον· ἡ δὲ ἀποπηδήσασα πλησίον τοῦ συγκαθέδρου τοῦ Κόμητος, διαδρᾶσα τὸ ῥιφὲν μετὰ τῆς ἐλάφου βέλος, ἔβαλε τοῦ συγκαθέδρου καιρίαν κατὰ τῆς καρδίας, καὶ ἀπέρριψε τὴν ψυχήν. Λυπηθεὶς οὖν ὁ Κόμης ἀνεχώρησε, καὶ ἔβαλε τὸν Ἅγιον ἐν τῇ φυλακῇ· τῇ δὲ ἑξῆς προσέταξεν ἐμβληθῆναι εἰς λέβητα πίσσαν, καὶ ἐκκαύσας σφοδρῶς, ἐν αὐτῇ βληθῆναι τὸν Ἅγιον κελεύει. Γενομένου δὲ τούτου, ἰδοὺ ἐκ τῆς τάξεως παρεγένοντο πρὸς τὸν Κόμητα τὴν ἔκκαυσιν τοῦ λέβητος ἀπαγγέλλοντες· αὐτὸν δὲ ἵππῳ ἐπιβὰς, πλησίον τοῦ λέβητος παρεγένετο. Ἄφνω δὲ οὐρανόθεν κατελθόντες δύο Ἄγγελοι, ὡς ἐν σχήματι ἀετῶν, καὶ ἁρπάσαντες αὐτὸν τοῦ ἵππου, τῷ λέβη-



Digitized by Google

τι ἀμέβαλον, ἢ ὅπως ἐχωρίσθη, ὡς μηδὲ ὄστομα ἀπολειφθῆναι. ὅπερ ἰδόντες οἱ στρατιῶται ἢ πᾶς ὁ ὄχλος, ἐξέστησαν ἢ ἔφυγον. ὁ δὲ Ἅγιος καταλειφθεὶς μόνος, ἐδόξασε τὸν Θεόν, ἢ διὰ προσευχῆς ἐν τῷ τόπῳ ἐκείνῳ ἐξήγαγεν ὕδωρ πολύ. Τοῦτο ἰδὼν Βιτάλιος, ὁ ἱερεὺς τῶν Εἰδώλων, ἢ ἄλλοι πολλοί, ἐβαπτίσθησαν, ἢ τῇ νυκτὶ ἐκείνῃ ἦλθε φωνὴ πρὸς τὸν Ἅγιον λέγουσα. πορεύου πρὸς τὴν Ἀσίαν ἐν τοῖς παραθαλασσίοις, ἢ ἔσῃ πολλοὺς καθαρίζων ἀπὸ ποικίλων παθῶν, ἢ Δαίμονας ἀπελαύνων. ἢ πολλοὶ ὑπὸ σοῦ φωτισθέντες, δοξάσουσι τὸν Θεόν. Ὁ δὲ Ἅγιος ὁρμήσας ἐπιβὰς ἐπορεύετο. ἢ ἁρπαγεὶς ὑπὸ θείου Ἀγγέλου, εὑρέθη ἐν ᾧ ἐχρημάτισθη τόπῳ, πολλὰ ἐκεῖσε σημεῖα πεποιηκώς. ἢ πολλοὺς φωτίσας, καὶ πρὸς Θεὸν ὁδηγήσας, ὕστερον κρατηθεὶς ἀπετμήθη τὴν κεφαλήν.

Τῇ αὐτῇ ἡμέρα, Ὁ Ὅσιος Ζαχαρίας ἐν εἰρήνῃ τελειοῦται.

Στ. Θεῷ πρὸς ἰσχὺν ἐξομοιωθεὶς Πάτερ,
Υἱῷ Θεοῦ σύγκληρος ἐκ γῆς γίνῃ.

Τῇ αὐτῇ ἡμέρα, Οἱ Ἅγιοι Μάρτυρες οἱ ἐκ Καισαρείας τῆς Παλαιστίνης, ξίφει τελειοῦνται.

ἄλ. Στρατὸς ὁ ὀκτάριθμος ἐτμήθη ξίφει,
Τοῦ πρὶν περιτμηθέντος ὀκταημέρου.

Τῇ αὐτῇ ἡμέρα, Μνήμη τοῦ Ἁγίου Μάρτυρος, Νικάνδρου τοῦ Αἰγυπτίου.

Στίχ. Νίκανδρον ἐκδέρουσιν ὥσπερ ἀρνίον,
Χεῖρας βαλόντες οἱ μάγειροι τῆς πλάνης.

Καὶ οὗτος ὁ Ἅγιος ἐπὶ τῆς βασιλείας ἦν Διοκλητιανοῦ. τῇ εὐσεβείᾳ δὲ συντεθραμμένος, ἢ τῇ τῶν Μαρτύρων ἀγάπῃ συνδεδεμένος, ἔργον εἶχε τὰ τῶν Μαρτύρων λείψανα κρυφίως αἴρειν, καὶ σεβασμίως ἢ ἐντίμως καταστέλλειν. Καί ποτε ἰδὼν τὰ τῶν ἀναιρεθέντων ἁγίων λείψανα ἐῤῥιμμένα ὑπὸ καὶ ἀνεπιμέλητα, νυκτὸς ἐλθών, ἢ ἀνελόμενος ταῦτα, ἢ καταθέμενος ἔν τινι τόπῳ αἰσίως τε ἢ κοσμίως, θεαθεὶς ὑπό τινος τῶν Εἰδωλολατρῶν, διεβλήθη τῷ Ἄρχοντι ἢ κρατηθεὶς, καὶ παῤῥησίᾳ τὸν Χριστὸν κηρύξας Θεὸν ἀληθινὸν, τὴν δορὰν ἀφαιρεθεὶς, τὸν τοῦ Μαρτυρίου στέφανον ἐκομίσατο.

Τῇ αὐτῇ ἡμέρα, Ὁ Ὅσιος Μαρτῖνος ὁ Θηβαῖος ἐν εἰρήνῃ τελειοῦται.

ἄλ. Καλῷ γραφεὶς κάλλιστα γήρᾳ Μαρτῖνε.
Θανὼν θανοῦσι προσετέθεισαι Πατράσι.

Τῇ αὐτῇ ἡμέρα, Ἡ ἐν τῷ Κυρίῳ Πάσχα παρὰ τῆς Κουστωδίας ἀσφάλεια τοῦ Ἁγίου τάφου.

ἄλ. Μάτην φυλάττεις τὸν τάφον κουστωδία.
Οὐ γὰρ καθέξει τύμβος αὐτοζωΐαν.

Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.

Ἡ κιβωτὸς ἡ λογικὴ, ἣν ὁ ἀληθὴς Νομοθέτης, ἠγαπηκὼς τὴν ἐπὶ σοὶ, κατασκηνώσειν μέλλει ποιήσασθαι, θυμηδίας ἐμπλήσθητι, διὰ σοῦ γὰρ τοὺς φθαρέντας ἀνακαινίσει.

Προφητικὸς θεῖος χορὸς, ὥσπερ ἐπαιδόμενος Κόρη, τὴν ἐπὶ σοὶ τοῦ Λυτρωτοῦ, εἰρηναίαν ἐπέλευσιν κράζει σοι. χαῖρε πάντων ἡ λύτρωσις, χαῖρε μόνη τῶν ἀνθρώπων ἡ σωτηρία.

Μὴ δειλιάσῃς τὴν φωνὴν, μὴ καταπλαγῇς τὸν λαλοῦντα, Θεοῦ Διάκονος ἐγώ· φανερῶσαί σοι ἥκει Μυστήριον, τὸ Ἀγγέλοις ἀπόῤῥητον, ἀπειρόγαμε Μαρία εὐλογημένη.

Ὁρᾷς τὴν Κτίσιν τῷ ἐχθρῷ, πᾶσαν δηλωθεῖσαν Παρθένε. κατελεῆσαι γὰρ αὐτὴν, διὰ σπλάγχνα ἐλέους βουλόμενος, διὰ σοῦ ὁ φιλάγαθος. μὴ οὖν λόγοις τοῦ Ἀγγέλου προσαπιστήσῃς.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ἡ κούφη νεφέλη τοῦ φωτὸς, ἡ ἀπειρόγαμος, προσδοκεῖ ἐπιτίθητι. ἰδοὺ ὁ Ἥλιος ἄνωθεν ἐπιλάμψει σοι ὁ ἄδυτος, πρὸς μὲν ὀλίγον ἐπὶ σοὶ κατακρυπτόμενος, τῷ δὲ Κόσμῳ φαίνων ἢ λύων, κακίας τὴν ζόφωσιν.

Ἀγγέλων ὁ πρῶτος λειτουργὸς, προσεπαφίησι, φωνὴν χαρμόσυνον, καταμηνύων σοι Ἄχραντε, τὸν μεγάλης Βουλῆς Ἄγγελον, σαρκωθησόμενον ἐκ σοῦ δι᾽ ἀγαθότητα. ᾧ βοῶμεν, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.



Digitized by Google

Ὡς Ῥόδον κοιλάδων καθαρὸν, ὡς κρίνον εὔοσμον, κατανοήσας σε, ὁ πλαστουργὸς ἡμῶν Κύριος, νῦν ἠράσθη σου τοῦ κάλλους Ἁγνὴ, καὶ σαρκωθῆναι ἐκ τῶν σῶν, αἱμάτων βούλεται τὸ δυσῶδες, ὅπως διώξῃ τῆς πλάνης χρηστότητι.

Πατρὸς δεξιόθεν οὐκ ἐκστὰς, ἐν σοὶ τὴν οἴκησιν, μέλλει ποιήσασθαι, ὁ ὑπερούσιος Ἄχραντε, ὅπως στήσῃ ἐκ δεξιῶν αὐτοῦ, σὲ τὴν πλησίον καὶ καλὴν, οἷα Βασίλισσαν, δεξιάν τε, πᾶσι προτείνῃ πεσοῦσι, καὶ σώσῃ ἡμᾶς.

Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Εὔα μὲν ἐτρύγησε καρπὸν τὸν θανάτου, γεωργοῦσα τὸν ὀλέθριον, σοῦ δὲ ἐκ μέσου ἐκβλαστήσει, καρπὸς ἀθανασίας ὁ πρόξενος, Χριστὸς ὁ γλυκασμὸς ἡμῶν Δέσποινα, ὃν νῦν ὑμνοῦντές σε δοξάζομεν.

Κλίνας Οὐρανοὺς νῦν πρὸς ἡμᾶς κατάβηθι, θρόνος ἤδη ἡτοιμάσθη σοι, Λόγε ἡ μήτρα τῆς Παρθένου. ἐν ᾧ ὡς Βασιλεὺς ὡραιότατος, καθήσεις ἐξεγεῖραι τοῦ πτώματος, τῆς δεξιᾶς σου τὸ πλαστούργημα.

Ἠράσθη τοῦ κάλλους σου Χριστὸς Πανάμωμε, καὶ μήτραν σου κατῴκησεν, ὅπως παθῶν τῆς ἁμαρτίας, τὸ γένος τῶν ἀνθρώπων λυτρώσηται, καὶ κάλλος τὸ ἀρχαῖον δωρήσηται. ὃν προσκυνοῦντες σὲ δοξάζομεν.

Ἡ χώρα ἡ ἄσπορος Ἁγνὴ ὑπόδεξαι, διὰ λόγου τὸν οὐράνιον. Λόγον ὡς σῖτον καρποφόρον, βλαστάνοντα ἐκ σοῦ καὶ τὰ σπέρματα, ἐκτρέφοντα τῷ ἄρτῳ τῆς γνώσεως. ὃν προσκυνοῦντες σὲ δοξάζομεν.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Ὡς δῶρα προεόρτια, προσφέρομέν σοι Πάναγνε, φιλοπτωχείαν καὶ πλοῦτον, ἁγνείαν καὶ σωφροσύνην, ὕμνους ᾠδὰς καὶ δάκρυα, μνηστείαν καὶ ταπείνωσιν, ἐφ᾽ οἷς συμπράττοις Δέσποινα. σὺ δὲ ἡμᾶς ἐποπτεύοις, εὐσπλάγχνως ὦ Θεομῆτορ.

Εἰς τὸν Στ. τὸ Ἰδιόμελον τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν. Δόξα, καὶ νῦν. Ἦχος δ΄.

Γλῶσσαν ἣν οὐκ ἔγνω, ἤκουσεν ἡ Θεοτόκος. ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος, τοῦ Εὐαγγελισμοῦ τὰ ῥήματα. ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν. διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι· ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεὸς, εἰρήνην τῷ Κόσμῳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Τό, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Τὸ Τρισάγιον, τὸ Τροπάριον, καὶ αἱ μετάνοιαι, κατὰ τὴν τάξιν.

Περὶ δὲ τρίτην Ὥραν τῆς ἡμέρας, συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ, καὶ ψάλλομεν τὰς ὥρας, κατὰ τὴν συνήθειαν, τὴν γ΄. Ὥραν, καὶ τὴν ς΄. καὶ μικρὸν παρατηρήσαντες, συνάπτομεν καὶ τὴν θ΄. καὶ μετὰ τοῦτο, ὁ Ἑσπερινὸς ταχύτερον διὰ τὸν κόπον τῆς Ἀγρυπνίας.

---

Εἰ τύχῃ ὁ Εὐαγγελισμὸς ἐν Κυριακῇ, ἐν τῷ μικρῷ Ἑσπερινῷ Στ. προσόμοια. Ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Κατοικτειρήσας τὸ ποίημα ὁ Πλάστης, σπλάγχνοις τοῖς οἰκείοις τε κατακαμπτόμενος, Κόρης ἐν μήτρᾳ Θεόπαιδος, οἰκῆσαι σπεύδει. πρὸς ἣν ὁ μέγας ἦλθεν Ἀρχάγγελος, χαῖρε προσφθεγγόμενος Θεοχαρίτωτε, νῦν μετὰ σοῦ ὁ Θεὸς ἡμῶν, μὴ πτοηθῇς με, τοῦ Βασιλέως τὸν ἀρχιστράτηγον. εὗρες γὰρ χάριν, ἣν ἀπώλεσεν, Εὔα τὸ πρὶν ἡ Προμήτωρ σου, καὶ συλλήψῃ καὶ τέξεις, τοῦ Πατρὸς τὸν ὁμοούσιον.

Ὅμοιον.

Ξένος ὑπάρχει ὁ λόγος καὶ ἡ θέα, ξένα καὶ τὰ ῥήματα καὶ τὰ μηνύματα, ἡ Μαριὰμ πρὸς τὸν Ἄγγελον, μή με πλανήσῃς, γάμου ὑπάρχω μόνη ἀμύητος. λέγεις ὡς συλλήψομαι τὸν ἀπερίληπτον, καὶ πῶς χωρήσει ἡ μήτρα μου, ὃν τὰ μεγέθη, τῶν Οὐρανῶν χωρῆσαι οὐ δύνανται; τοῦ Ἀβραάμ [illegible] διδαξάτω πρὶν, ἡ καλύβη Θεὸν ἡ χωρήσασα, προτυποῦσα Παρθένε, τὴν Θεοδέκτον γαστέρα σου.

Ὅμοιον.

Εἰς Ναζαρὲτ νῦν τὴν Πόλιν ἐπιφθά-

σας

Digitized by Google

σας, Πόλιν τε τὴν ἔμψυχον τοῦ Βασιλέως Χριστοῦ, ὁ Γαβριὴλ κατασπάζεται, βοῶν σοι χαῖρε, εὐλογημένη Θεοχαρίτωτε, ἐξ ἧς ἐν νηδύϊ σου Θεὸν σαρκούμενον, καὶ διὰ σοῦ τὸ ἀνθρώπινον, πρὸς τὸ ἀρχαῖον, δι' εὐσπλαγχνίαν ἀνακαλούμενον, εὐλογημένος τῆς κοιλίας σου, θεῖος καρπὸς ὁ ἀθάνατος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος. Δόξα, καὶ νῦν. Ἦχος α'.

Τῷ ἕκτῳ Μηνὶ, ὁ Ἀρχιστράτηγος ἀπεστάλη πρὸς σὲ τὴν Παρθένον καὶ Ἁγνὴν, μηνῦσαί σοι τὸν λόγον τῆς σωτηρίας, ἅμα δὲ καὶ καλέσαι σε, χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ, τέξεις Υἱὸν τὸν πρὸ αἰώνων ἐκ Πατρὸς, καὶ σώσει τὸν λαὸν αὐτοῦ ἐκ τῶν πταισμάτων αὐτῶν.

Εἰς τὸν στ. στ. προσόμοια. Ἦχος πλ. δ'.

Ὢ τοῦ παραδόξου Θαύματος.

Ἄρχων τῶν ἄνω δυνάμεων, ὁ Γαβριὴλ καταπτὰς, τὴν Παρθένον ἀσπάζεται, χαῖρε λέγων ὄχημα, καθαρὸν τῆς Θεότητος, σὲ γὰρ πρὸ αἰώνων Θεὸς ἠγάπησεν, εἰς κατοικίαν τε ἠρετίσατο, δοῦλος Δεσπότου σου, παρουσίαν πάρειμι ἀναβοῶν. τέξεις οὖν τὸν Κύριον, ἄφθορος μένουσα.

Στίχ. Εὐαγγελίζεσθε ἡμέραν.

Τί σου τὸ εἶδος τὸ πύρινον; τῷ Γαβριὴλ ἡ σεμνὴ, μετ' ἐκπλήξεως ἔφησε. τί σου τὸ ἀξίωμα, καὶ τῶν λόγων ἡ δύναμις; παιδοποιΐαν προσεπαγγέλλεις μοι, ἐγὼ δὲ πεῖραν ἀνδρὸς οὐ κέκτημαι. ἄπιθι πόῤῥωθεν, μὴ πλανήσῃς ἄνθρωπε, ὥσπερ τὸ πρὶν, Εὔαν τὴν Προμήτορα ὄφις ὁ δόλιος.

Στ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Πνεῦμα Θεοῦ τὸ πανάγιον, ἥξει ἁγνὴ ἐπὶ σὲ, Θεοχώρητε Δέσποινα, καὶ ἐπισκιάσει σοι, τοῦ ὑψίστου ἡ δύναμις, καὶ τέξῃ παῖδα διατηροῦντά σου, τὴν παρθενίαν ἀπαρασάλευτον. οὗτος Υἱὸς ἐστὶν, ἀγενεαλόγητος ὅλος ὀφθεὶς, σώσει τὸν λαὸν αὐτοῦ, καθὼς ηὐδόκησε.

Δόξα, καὶ νῦν. Ἦχος δ'.

Τῷ ἕκτῳ Μηνὶ, ἀπεστάλη ὁ Ἀρχάγγελος πρὸς Παρθένον ἁγνὴν, καὶ χαίρειν αὐτῇ προσειπὼν, εὐηγγελίσατο γὰρ αὐτῆς τὸν λυτρωτὴν προελθεῖν. ὅθεν δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον Θεὸν, τὸν ἀφράστως εὐδοκήσαντα ἐνανθρωπῆσαι, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Τροπ. Ἦχος δ'. Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον.

# ΤΥΠΙΚΟΝ

## Περὶ τοῦ Εὐαγγελισμοῦ.

### Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῇ γ'. Κυριακῇ τῶν Νηστειῶν.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ Ἑορτὴ τοῦ Εὐαγγελισμοῦ τῇ γ'. Κυριακῇ τῶν Νηστειῶν. Ἐν μὲν τῷ μικρῷ Ἑσπερινῷ, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ ἀναστάσιμα, δ'. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. Εἰς τὸν στίχ. στιχηρὰ ἀναστάσιμα τοῦ στίχ. καὶ τῆς Ἑορτῆς ἰδιόμ. τοὺς γ'. δ'. δ'. μετὰ τῶν στίχ. αὐτῶν. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. Ἐν τῷ μεγάλῳ ἑσπερινῷ μετὰ τὴν συνήθη στιχολογ. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν στιχηρ. ἀναστάσιμα, γ'. καὶ τοῦ Σταυροῦ προσόμοια γ'. καὶ τῆς Ἑορτῆς προσόμοια γ'. Ἦχος Πλ. β'. πρὸς, Ὅλην ἀποθέμενοι. Βουλὴν προαιώνιον. δευτεροῦντες τὸ α'. Δόξα. Ἦχος γ'. Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἑκούσιον σταύρωσιν. καὶ νῦν. τῆς Ἑορτῆς. Ἦχος Πλ. β'. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. τὰ ἀναγνώσματα τῆς Ἑορτῆς, τὰ ἑ'. Εἰς τὴν λιτὴν στιχηρ. ἰδιόμ. τῆς Ἑορτῆς, τοὺς γ'. α'. α'. Δόξα, τῆς Ἑορτῆς. Ἦχος β'. Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. καὶ νῦν. Ἦχος Πλ. α'. Ὁρῶσά σε ἡ κτίσις. Εἰς τὸν στίχ. στιχηρ. ἀναστάσιμα τοῦ ἤχου τοῦ στίχ. Καὶ τὰ κατ' ἀλφάβητον, Δόξα τοῦ Σταυροῦ. Ἦχος δ'. Ὁ συμμαχήσας Κύριε, τῷ πραοτάτῳ Δαβίδ. καὶ νῦν. τῆς Ἑορτῆς, ὁ αὐτός. Σήμερον χαρᾶς εὐαγγέλια. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων. Τροπάριον. τῆς Ἑορτῆς δὶς, καὶ τοῦ Σταυροῦ· ἅπαξ. ἡ ἀνάγνωσις εἰς τὰς ἐπιστολάς. Αἱ δὲ Ἕτεραι ἀναγνώσεις, τῆς Ἑορτῆς. Εἰς τὰ Καθίσμ. τῆς στιχολογ. Καθίσματα ἀναστάσιμα μετὰ τῶν Θεοτοκίων αὐτῶν. Ὁ ἄμωμος. Ἡ ὑπακοή. Ὁ Πολυέλεος. τὸ Κάθισμα τῆς Ἑορτῆς. Δόξα. τὸ τέλος. καὶ νῦν. τὸ αὐτό. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου. Προκείμενον, Πᾶσα πνοὴ, Εὐαγγέλιον τῆς Ἑορτῆς. Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Πεντηκοστός. τὸ στιχ. τῆς Ἑορτῆς. οἱ Κανόνες. Κανὼν ὁ Ἀναστάσιμος, εἰς δ'. τοῦ Τιμίου Σταυροῦ, εἰς δ'. καὶ τῆς Ἑορτῆς, εἰς ς'. Καταβασία. Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθή-



Digitized by Google

ραθήσεται Πνεύματος. Ὁμοῦ οἱ δύω χοροί. Εἰδὲ ἔχει ὁ Κανὼν τοῦ Σταυροῦ κατὰ ᾠδὴν ἀναστάσιμον Τροπάριον, ἐν ᾧ καταλιμπάνεται, ὁ ἀναστάσιμος Κανὼν τοῦ ἤχου. Καὶ λέγεται ὁ εἱρμὸς τοῦ κανόνος τοῦ Σταυροῦ, δίς. Τροπάριον, τὸ ἀναστάσιμον, δίς. καὶ τὰ ἕτερα Τροπάρια τοῦ Σταυροῦ, εἰς δ΄. καὶ τῆς Ἑορτῆς, εἰς ς΄. Καταβασία τῆς Ἑορτῆς. ἀπὸ γ΄. ᾠδῆς, Κοντάκιον τοῦ Σταυροῦ. Εἶτα κάθισμα τοῦ Σταυροῦ. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς, καὶ ἀνάγνωσις. Πάλιν χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἀφ᾽ ἧς, Κοντάκιον τῆς Ἑορτῆς. ἐν τῇ θ΄. ᾠδῇ, στιχολογεῖται ἡ τιμιωτέρα. Ἐξαποστειλάριον, τὸ ἀναστάσιμον, τοῦ τιμίου Σταυροῦ, καὶ τῆς Ἑορτῆς. Εἰς τοὺς αἴνους. Πᾶσα πνοή, στιχηρ. ἀναστάσιμα δ΄. καὶ τῆς Ἑορτῆς προσόμοια. Ἦχος α΄. καὶ ἰδιόμ. Ἦχος β΄. Τὸ ἀπ᾽ αἰῶνος μυστήριον ἀνακαλύπτεται σήμερον. μετὰ τῶν στίχ. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. εἶτα στίχ. Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, τὸ ἰδιόμ. τῆς ἡμέρας. Δόξα. τὸ αὐτό. καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε Παρθένε. Δοξολογία μεγάλη, καὶ ἡ ἀκολουθία τῆς σταυροπροσκυνήσεως, ὡς σύνηθες, εἶτα ἐκτενής, ἡ Κατήχησις, καὶ ἀπόλυσις. Καὶ ἡ λιτὴ ἔξω τοῦ μοναστηρίου. Εἶτα, Δόξα, καὶ νῦν. τὸ Ἑωθινόν. Ἡ α΄. ὥρα ἐν τῷ Νάρθηκι. ἐν ταῖς ὥραις, ἐν μὲν τῇ μιᾷ, Τροπάριον. τὸ ἀναστάσιμον. Δόξα. τῆς Ἑορτῆς. καὶ νῦν. Θεοτοκίον, τῆς ὥρας. Κοντάκιον τῆς Ἑορτῆς. Ἐν δὲ τῇ ἑτέρᾳ Τροπάριον τὸ ἀναστάσιμον. Δόξα. τοῦ Σταυροῦ. καὶ νῦν. Θεοτοκίον τῆς ὥρας. Κοντάκιον τοῦ Σταυροῦ. Εἰς τὴν λειτουργίαν, οἱ μακαρισμοὶ τοῦ ἤχου, εἰς δ΄. καὶ τῆς Ἑορτῆς ἡ γ΄. ᾠδή, εἰς δ΄. καὶ τοῦ Σταυροῦ ἡ ς΄. ᾠδή, εἰς δ΄. Τροπάριον τοῦ Σταυροῦ, καὶ τῆς Ἑορτῆς. Δόξα. Κοντάκιον τοῦ Σταυροῦ. καὶ νῦν. τῆς Ἑορτῆς. Προκείμενον, ὁ Ἀπόστολος, Ἀλληλούϊα, Εὐαγγέλιον, καὶ Κοινωνικόν, πρῶτον τῆς Ἑορτῆς, εἶτα τοῦ Σταυροῦ.

Περὶ τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῇ δ΄. τῆς Μέσης Ἑβδομάδος.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ τῇ δ΄. τῆς Μέσης Ἑβδομάδος, καταλιμπάνεται ὁ κανὼν τοῦ Σταυροῦ, καὶ ψάλλεται τῇ β΄. ἢ τῇ παρασκευῇ τῆς αὐτῆς Ἑβδομάδος.

Περὶ τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῇ ε΄. τοῦ μεγάλου Κανόνος.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ ὁ Εὐαγγελισμὸς τῇ ε΄. τοῦ μεγάλου Κανόνος, Ψάλλεται ὁ μέγας Κανὼν τῇ γ΄. αὐτῆς τῆς Ἑβδομάδος.

Περὶ τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῷ Σαββάτῳ τῆς Ἀκαθίστου.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ ὁ Εὐαγγελισμὸς τῷ Σαββάτῳ τῆς Ἀκαθίστου. Τῇ παρασκευῇ ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἵστωμεν, στίχ. ι΄. καὶ ψάλλεται τὸ ἰδιόμ. τῆς ἡμέρας, δίς. καὶ τῆς Ἑορτῆς προσόμοια. Ἦχος Πλ. β΄. Βουλὴν προαιώνιον, ἀποκαλύπτων σοι Κόρη, καὶ ποιοῦμεν αὐτὰ η΄. Δόξα, καὶ νῦν. Ἦχος ὁ αὐτός. Ἀπεστάλη ἐξ οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος. τό, Φῶς ἱλαρόν. τὰ ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς, τὰ γ΄. εἶτα τό, Κατευθυνθήτω, καὶ αἱ συνήθεις γ΄. μετάνοιαι. Ὁμοίως καὶ εἰς τό, Νῦν αἱ δυνάμεις, καὶ εἰς τό, Εἴη τὸ ὄνομα Κυρίου. Τελεῖται γὰρ ἡ θεία Λειτουργία τῶν Προηγιασμένων.

Περὶ δὲ ὥραν α΄. τῆς νυκτός, Σημαίνει τὰς βαρείας, τὸ μέγα, καὶ τὸ σιδηροῦν. Καὶ εὐλογοῦντος τοῦ ἱερέως, ψάλλει τὰ ἀπόδειπνα. ὁ δὲ Ἱερεὺς θυμιᾷ, καθὼς ἐστι σύνηθες. Μετὰ δὲ τό, Δόξα, ἐν ὑψίστοις Θεῷ, ποιοῦμεν τὴν συνήθη λιτήν. ἐν ᾗ ψάλλομεν τὰ ἰδιόμ. τῆς Ἑορτῆς, τοὺς γ΄. α΄. α΄. Δόξα, καὶ νῦν. Ἦχος β΄. Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. Καὶ εἰσερχόμεθα ἐν τῷ Ναῷ. Ψάλλομεν οὖν εἰς τὸν στίχ. στιχηρ. ἰδιόμ. τὰς γ΄. δ΄. δ΄. στίχ. καὶ λέγομεν. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ. στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Δόξα, καὶ νῦν. Ὁ αὐτός. Σήμερον χαρᾶς εὐαγγέλια. τὸ Τρισάγιον. Τροπάριον τῆς Ἑορτῆς, ἐκ τρίτου. καὶ ἡ ἀνάγνωσις τῆς Ἑορτῆς. Ἐν τῷ ὄρθρῳ, εἰς τό, Θεὸς Κύριος. Τροπάριον τῆς Ἑορτῆς, ἐκ τρίτου. ἡ συνήθης στιχολογία, καὶ τὸ α΄. κάθισμα. Κοντάκιον. Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, καὶ οἴκους ς΄. καὶ πάλιν τό, Κοντάκιον. καὶ ἀνάγνωσις, τῆς Ἀκαθίστου. Ὡσαύτως καὶ εἰς τὸ β΄. κάθισμα. μετὰ τὸν Πολυέλεον, κάθισμα, καὶ ἀνάγνωσις τῆς Ἑορτῆς. Οἱ ἀναβαθμοί, τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου. Προκείμενον, Πᾶσα πνοή. καὶ Εὐαγγέλιον τῆς Ἑορτῆς. ὁ Ν΄. καὶ τὰ στιχηρ. τῆς Ἑορτῆς. Οἱ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς η΄. καὶ τῆς Ἀκαθίστου, εἰς ς΄. Καταβασία. τῆς Ἑορτῆς, ὁμοῦ οἱ δύω χοροί. Τὰ γὰρ τετραῴδια, ἐνταῦθα οὐ ψάλλονται. Ἀπὸ γ΄. ᾠδῆς, Κοντάκιον, καὶ οἶκος ς΄. καὶ αὖθις Κοντάκιον, καὶ ἀνάγνωσις τῆς Ἑορτῆς. Πάλιν χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἀφ᾽ ἧς τὸ Κοντάκιον, καὶ τὸν α΄. Οἶκον, ἐν ᾧ καὶ καθήμεθα. Ἐν τῇ ἐννάτῃ ᾠδῇ στιχολογεῖται ἡ τιμιωτέρα. Ἐξαποστειλάριον τῆς Ἑορτῆς, δίς. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, στιχ. προ-



Digitized by Google

σόμοια τῆς ἑορτῆς. Ἦχος α'. πρὸς, Τῶν οὐρανίων ταγμάτων, δευτεροῦντες τὸ α'. Δόξα, καὶ νῦν. Ἦχος Πλ. δ'. Εὐφραινέσθωσαν οἱ οὐρανοί. Δοξολογία μεγάλη. Τροπάριον τῆς ἑορτῆς. ἡ Ἐκτενής. ἡ Κατήχησις τοῦ Στουδίτου, καὶ ἀπόλυσις. Δίδοται δὲ καὶ ἅγιον ἔλαιον. ἡ Λιτὴ, ἔξω. καὶ ἡ α'. ὥρα ἐν τῷ Νάρθηκι. Εἰς τὴν λειτουργίαν τυπικά, τῆς ἑορτῆς ἡ γ'. ᾠδὴ, καὶ ἡ ς'. εἰς η'. Προκείμενον. ὁ Ἀπόστολος, Ἀλληλουϊάριον, Εὐαγγέλιον, καὶ Κοινωνικὸν τῆς ἑορτῆς.

Περὶ τῆς ἀποδόσεως τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῇ πέμπτῃ Κυριακῇ τῶν Ἁγίων Νηστειῶν.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ ἀπόδοσις τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ τῇ πέμπτῃ Κυριακῇ τῶν Ἁγίων Νηστειῶν, Ὀψὲ Σαββάτῳ, ἐν τῷ μικρῷ ἑσπερινῷ στιχηρ. ἀναστάσιμα τοῦ ἤχου, καὶ τῆς Θεοτόκου ὡς σύνηθες. ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ, μετὰ τὴν συνήθη στιχολογίαν, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου γ'. καὶ ἀνατολικὸν α'. τῆς ἑορτῆς γ'. Ἦχος Πλ. β'. πρὸς, Ὅλην ἀποθέμενοι. Βουλὴν προαιώνιον. καὶ τοῦ Ἀρχαγγέλου, προσόμοια γ'. Δόξα. τῆς ἑορτῆς. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. καὶ νῦν. Θεοτοκίον. τὸ α'. τοῦ ἤχου. εἰς τὴν λιτὴν, τὸ στιχηρὸν τοῦ ἁγίου τῆς μονῆς. καὶ τῆς ἑορτῆς τὰ γ'. ἰδιόμελα. τοὺς δ'. δ'. τοῦ στίχου. Δόξα, καὶ νῦν. Ἦχος β'. Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. εἰς τὸν στίχον, στιχηρὰ ἀναστάσιμα τοῦ στίχου. καὶ τὰ κατὰ ἀλφάβητον. Δόξα, καὶ νῦν. τῆς ἑορτῆς. Ἦχος δ'. Σήμερον χαρᾶς εὐαγγέλια. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων. Θεοτόκε Παρθένε ἐκ γ'. ἡ ἀνάγνωσις εἰς τὰς Ἐπιστολάς. εἰς τὸ, Θεὸς Κύριος. Τροπάριον. ἀναστάσιμον, δίς. Δόξα, καὶ νῦν. τῆς ἑορτῆς: εἰς τὰ καθίσμ. τῆς στιχολογ. καθίσμ. ἀναστάσιμα, μετὰ τῶν Θεοτοκίων αὐτῶν. Ὁ Ἄμωμος, ἡ Ὑπακοή. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου. Προκείμενον. Πᾶσα πνοή. καὶ Εὐαγγέλιον ἀναστάσιμον. οἱ Κανόνες, ὁ Ἀναστάσιμος, εἰς δ'. τῆς Ἑορτῆς, εἰς ς'. καὶ τοῦ Ἀρχαγγέλου, εἰς δ'. Καταβασία τῆς ἑορτῆς. Ἀπὸ γ'. ᾠδῆς κάθισμα τοῦ Ἀρχαγγέλου. Δόξα, καὶ νῦν. τῆς ἑορτῆς. Ἀφ' ἕκτης. Κοντάκιον τῆς ἑορτῆς, καὶ τὸν Οἶκον. ἐν τῇ θ'. ᾠδῇ στιχολογεῖται ἡ τιμιωτέρα. Ἐξαποστειλάριον, τὸ ἀναστάσιμον, καὶ τοῦ Ἀρχαγγέλου εἰ ἔχει, καὶ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή, στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου δ'. καὶ τῆς ἑορτῆς προσόμοια γ'. Ἦχος α'. καὶ ἰδιόμελον Ἦχος Πλ. δ'. Εὐφραινέσθωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ, μετὰ τῶν στίχων τῆς Ἑορτῆς. εἶτα στίχ. Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. Καὶ τὸ ἰδιόμελον τῆς ἡμέρας. Δόξα. τὸ αὐτὸ, καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε Παρθένε, ὑμνοῦμεν. Δοξολογία μεγάλη. Τροπάριον ἀναστάσιμον. ἡ Κατήχησις τοῦ Στουδίτου, καὶ ἀπόλυσις. ἡ Λιτή. Δόξα, καὶ νῦν. τὸ ἑωθινὸν, καὶ ἡ α'. ὥρα ἐν τῷ Νάρθηκι. Ἐν ταῖς ὥραις Τροπάριον τὸ ἀναστάσιμον. Δόξα. τῆς ἑορτῆς. καὶ νῦν. Θεοτοκίον τῶν ὡρῶν. μετὰ τὸ Τρισάγιον, Κοντάκιον τῆς ἑορτῆς. Εἰς τὴν λειτουργίαν, τυπικά. οἱ Μακαρισμοὶ τοῦ ἤχου, εἰς ς'. καὶ τῆς ἑορτῆς ἡ ς'. ᾠδὴ, εἰς δ'. Τροπάριον τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς. Δόξα, καὶ νῦν. Κοντάκιον τῆς Ἑορτῆς. Προκείμενον, Ἀλληλουϊάριον, καὶ Κοινωνικὸν τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς. Ὁ Ἀπόστολος, καὶ Εὐαγγέλιον, τῆς ἡμέρας.

Περὶ τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῷ Σαββάτῳ τοῦ Ἁγίου καὶ Δικαίου Λαζάρου.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ γενέσθαι ὁ Εὐαγγελισμὸς τῷ Σαββάτῳ τοῦ Δικαίου Λαζάρου, Τῇ παρασκευῇ ἑσπέρας, οὐ στιχολογοῦμεν, ἀλλὰ μετὰ τὸν προοιμιακὸν, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν τὸ ἰδιόμ. τῆς ἡμέρας. Τὴν ψυχωφελῆ πληρώσαντες τεσσαρακοστὴν, τὸ μικρὸν, δίς. εἶτα τῆς Ἑορτῆς τὰ γ'. ἰδιόμελα. τοὺς δ'. δ'. ἔπειτα τοῦ Ἁγίου Λαζάρου ἰδιόμελα. Ἦχος Πλ. β'. τὰ ε'. πρὸς μίαν. Δόξα. Ἦχος Πλ. δ'. Τὴν ψυχωφελῆ πληρώσαντες τεσσαρακοστὴν, τὸ μέγα. καὶ νῦν. Ἦχος Πλ. β'. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος, Προκείμενον, καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας. εἶτα τῆς Ἑορτῆς, τὰ ε'. καὶ καθεξῆς ἡ Θεία Λειτουργία τῶν Προηγιασμένων. τὸ, Κατευθυνθήτω. αἱ μεγάλαι γ'. μετάνοιαι. ὡσαύτως καὶ εἰς τὸ, Νῦν αἱ δυνάμεις, καὶ εἰς τὸ, Εἴη τὸ ὄνομα Κυρίου. Εἰς τὴν τράπεζαν καταλύομεν ἔλαιον καὶ οἶνον. Ὥρα δὲ α'. τῆς νυκτὸς, σημαίνει τὰς βαρέας, τὸ μέγα, καὶ τὸ σιδηροῦν, καὶ ψάλλει τὰ ἀπόδειπνα. ὁ δὲ Ἱερεὺς θυμιᾷ, κατὰ τὴν συνήθειαν. καὶ μετὰ τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ, ἡ συνήθης λιτή. ἐν ᾗ ψάλλομεν τὰ ἰδιόμελα τῆς Ἑορτῆς, τὰς γ'. α'. α'. Δόξα, καὶ νῦν. Ἦχος β'. Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. Εἰς τὸν στίχον, τὰ ἰδιόμελα. τὰς γ'. δ'. δ'. τῆς Ἑορτῆς, μετὰ τῶν στίχων αὐτῶν. Δόξα, καὶ νῦν. ὁ αὐτός. Σήμερον χαρᾶς εὐαγγέλια. εἶτα τρισάγιον, καὶ τὸ τροπ. τῆς Ἑορτῆς, ἐκ γ'. Ἡ εὐλόγησις τῶν ἄρτων, καὶ ἡ ἀνάγνωσις τῆς Ἑορτῆς. εἰς τὸ, Θεὸς Κύριος. Τροπάριον τῆς Ἑορτῆς, δίς. Δόξα. Τὴν κοινὴν ἀνάστασιν πρὸ τοῦ σοῦ πάθους. καὶ νῦν. τῆς Ἑορτῆς. εἰς τὰ καθίσματα τῆς στιχολογίας



Digitized by Google

κάθισμα τῆς Ἑορτῆς. καὶ ἀνάγνωσις εἰς τὸν Δίκαιον Λάζαρον. ὁ Πολυέλεος. τὰ καθίσματα, τῆς ἑορτῆς. Οἱ ἀναβαθμοὶ, τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου. Προκείμενον. Πᾶσα πνοή. καὶ Εὐαγγέλιον τῆς Ἑορτῆς. Ἀνάστασιν Χριστοῦ θεασάμενοι. ὁ Πεντηκοστός. τὸ στιχηρὸν τῆς Ἑορτῆς. οἱ κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν εἱρμῶν εἰς στ΄. καὶ οἱ δύω τοῦ Λαζάρου, ἀνὰ δ΄. ὡσαύτως καὶ τὰ τετραώδια. Καταβασία τὸν εἱρμὸν τοῦ ὑστέρου κανόνος, τοῦ Ἁγίου Λαζάρου, ὁμοῦ οἱ δύω χοροί. Ἀπὸ γ΄. ᾠδῆς. Κοντάκιον καὶ κάθισμα τοῦ Ἁγίου καὶ δικαίου Λαζάρου. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. καὶ ἡ ἀνάγνωσις. Πάλιν χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἀφ' ἕκτης Κοντάκιον τῆς Ἑορτῆς. ἐν τῇ θ΄. ᾠδῇ, στιχολογεῖται ἡ τιμιωτέρα. ἀπὸ ταύτης τῆς ἡμέρας ἕως τῆς Κυριακῆς τοῦ Θωμᾶ, μετὰ τὴν θ΄. ᾠδὴν, τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, εἰς Ἦχον α΄. Ἐξαποστειλάριον, τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου καὶ δικαίου Λαζάρου. Εἰς τὸ, Πᾶσα πνοή, στιχηρὰ, ἰδιόμελα. τὰς γ΄. α΄. α΄. καὶ τὰς β΄. δ΄. δ΄. μετὰ τῶν στίχ. αὐτῶν. Ἀνάστηθι Κύριε ὁ Θεός μου. στίχος. Ἐξομολογήσομαί σοι Κύριε. Δόξα. τοῦ Ἁγίου. Ἦχος β΄. Μέγα καὶ παράδοξον θαῦμα. καὶ νῦν. τῆς Ἑορτῆς. ὁ αὐτός. Τὸ ἀπ' αἰῶνος μυστήριον ἀνακαλύπτεται σήμερον. Δοξολογία μεγάλη. Τροπάριον τῆς Ἑορτῆς. Δόξα, καὶ νῦν. τοῦ Ἁγίου Λαζάρου. Τὴν κοινὴν ἀνάστασιν πρὸ τοῦ σοῦ πάθους πιστούμενος. Ἐκτενής. ἡ Κατήχησις, καὶ ἀπόλυσις. ἡ λιτὴ, ἔξω τοῦ μοναστηρίου. εἶτα ἡ α΄. ὥρα, ἐν τῷ Νάρθηκι. ἐν ταῖς ὥραις, Τροπάριον. τῆς Ἑορτῆς. Δόξα. τοῦ Ἁγίου, καὶ νῦν. Θεοτοκίον τῶν ὡρῶν. Κοντάκιον τῆς Ἑορτῆς. ἐν πάσαις ὡσαύτως, τῶν Τροπαρίων λεγομένων οὕτω, τῶν δὲ Κοντακίων ἐναλλασσομένων. Εἰς τὴν λειτουργίαν, τυπικά, καὶ ἐκ τοῦ κανόνος τῆς Ἑορτῆς. ἡ γ΄. ᾠδὴ, εἰς δ΄. καὶ ἡ ς΄. ᾠδὴ τοῦ Ἁγίου, εἰς δ΄. Τροπάριον. τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου. Δόξα. Κοντάκιον τοῦ Ἁγίου. καὶ νῦν. τῆς Ἑορτῆς. ἀντὶ δὲ τοῦ Τρισαγίου. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον, Ἀπόστολον, Ἀλληλουϊάριον, Εὐαγγέλιον, καὶ Κοινωνικὸν, πρῶτον τῆς Ἑορτῆς, εἶτα τοῦ Ἁγίου καὶ δικαίου Λαζάρου.

## Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ. εἰ τύχῃ. Τῇ Κυριακῇ τῶν Βαΐων.

ρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ὁ Εὐαγγελισμὸς τῇ Κυριακῇ τῶν Βαΐων, Ὀψὲ Σαββάτῳ, ἐν τῷ μικρῷ ἑσπερινῷ ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα. ἰδιόμελα τῶν Βαΐων δ΄. Ἦχος Πλ. β΄. Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος. καὶ Ἕτερα γ΄. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. εἰς τὸν στίχον στιχηρὰ ἰδιόμελα τῆς Ἑορτῆς. τὰς γ΄. δ΄. δ΄. μετὰ τῶν στίχων αὐτῶν. Δόξα, καὶ νῦν. τῶν Βαΐων. Ἦχος Πλ. β΄. Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος. Τροπάριον τῆς Ἑορτῆς. Δόξα, καὶ νῦν. Τὴν κοινὴν ἀνάστασιν.

Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ, μετὰ τὴν συνήθη στιχολογίαν εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ τῆς Ἑορτῆς προσόμοια. Ἦχος Πλ. β΄. Βουλὴν προαιώνιον, τὰ γ΄. ἀνὰ β΄. καὶ τῶν Βαΐων ἰδιόμελα. Ἦχος Πλ. β΄. Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, εἰς δ΄. Δόξα. Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος. καὶ νῦν. τῆς Ἑορτῆς. Ἀπεστάλη ἐξ Οὐρανοῦ, Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος, τὰ ἀναγνώσματα τῆς Ἑορτῆς, τὰ ε΄. καὶ τὰ γ΄. τῶν Βαΐων. εἰς τὴν Λιτὴν, τῆς Ἑορτῆς ἰδιόμελα, τὰς α΄. α΄. καὶ τῶν Βαΐων, τοὺς α΄. α΄. Δόξα. τῶν Βαΐων. Ἦχος γ΄. καὶ νῦν. τῆς Ἑορτῆς. Ἦχος β΄. Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. εἰς τὸν στίχον. ἰδιόμελα τῶν Βαΐων. Ἦχος Πλ. δ΄. Χαῖρε καὶ εὐφραίνου πόλις Σιών. καὶ τὰ Ἕτερα β΄. Δόξα. Ἦχος Πλ. β΄. Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος. καὶ νῦν. Ἦχος β΄. Τὸ ἀπ' αἰῶνος μυστήριον ἀνακαλύπτεται. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων. Τροπάριον τῆς Ἑορτῆς, δίς. καὶ τῶν Βαΐων. Τὴν κοινὴν ἀνάστασιν, ἅπαξ. ἀνάγνωσις τῆς Ἑορτῆς. Εἰς τὸ, Θεὸς Κύριος. Τροπάριον τῆς Ἑορτῆς, δίς. Δόξα, καὶ νῦν. τῶν Βαΐων. Τὴν κοινὴν ἀνάστασιν. εἰς τὰ καθίσματα τῆς στιχολογίας Καθίσματα τῶν Βαΐων. ὡσαύτως καὶ ἀνάγνωσις. καὶ μετὰ τὸν Πολυέλεον, κάθισμα, καὶ ἀνάγνωσις εἰς τὴν ἑορτήν. Ἐνταῦθα ὁ Ἄμωμος οὐ στιχολογεῖται. Οἱ ἀναβαθμοὶ, τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου. Προκείμενον. Πᾶσα πνοή, καὶ Εὐαγγέλιον τῶν Βαΐων. ὁ Πεντηκοστός. ἐν ᾧ καὶ διανέμει ὁ ἡγούμενος τὰ Βαΐα, τὸ στιχηρὸν τῶν Βαΐων. Οἱ κανόνες τῆς Ἑορτῆς μετὰ τῶν εἱρμῶν, εἰς ς΄. καὶ τῶν Βαΐων μετὰ τῶν εἱρμῶν, εἰς η΄. Καταβασία. τοὺς εἱρμοὺς τῶν β΄. κανόνων, ἀνὰ μέρος οἱ δύω χοροί. Ἀπὸ γ΄. ᾠδῆς, Κοντάκιον τῶν Βαΐων, καὶ κάθισμα. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. ἀνάγνωσις τῆς Ἑορτῆς. Πάλιν χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἡ γὰρ Ὑπακοὴ ἐνταῦθα οὐ λέγεται. Ἀφ' ἕκτης. Κοντάκιον τῆς Ἑορτῆς. Ἐν τῇ θ΄. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. μετὰ τὴν θ΄. τὸ, Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, εἰς Ἦχον α΄. Ἐξαποστειλάριον τῆς Ἑορτῆς, ἐκ δευτέρου, καὶ τῶν Βαΐων. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς Ἑορτῆς προσόμοια γ΄. Ἦχος α΄. καὶ τῶν Βαΐων ἰδιόμελα τὰς γ΄. δ΄. δ΄. Δόξα. τῆς Ἑορτῆς Ἦχ. Πλ. δ΄. Εὐφραινέσθωσαν οἱ Οὐρανοί. καὶ νῦν. τῶν Βαΐων. Ἦχος Πλ. β΄. Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα. Δοξολο-

Digitized by Google

γία μεγάλη. Τροπάριον. Τὴν κοινὴν ἀνάστασιν. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. ἡ Ἐκτενής. ἡ Κατήχησις, καὶ ἀπόλυσις. ἡ Λιτὴ ἔξω τῆς μονῆς. Ἐν ᾗ ψάλλονται ἰδιόμελα τῆς Ἑορτῆς, καὶ τῶν Βαΐων. Ὑποστρεφούσης δὲ ταύτης, λέγεται ἡ πρώτη ὥρα, καὶ ἀπόλυσις. Ἐν ταῖς ὥραις, Τροπάρ. τῆς Ἑορτῆς. Δόξα. τῶν Βαΐων, καὶ νῦν. τὰ Θεοτοκία τῶν ὡρῶν. Κοντάκιον τῆς Ἑορτῆς. Ὡσαύτως καὶ ἐν πάσαις ταῖς ὥραις τῶν Τροπαρίων ὑπὸ λέγομεν, τῶν Κοντακίων ἐναλλασσομένων. Εἰς τὴν Λειτουργίαν, τὰ τυπικά, καὶ ἐν τοῖς μακαρισμοῖς. ἐκ τοῦ κανόνος τῆς Ἑορτῆς ᾠδὴ γ'. εἰς δ'. καὶ τῶν Βαΐων ἡ ς'. ᾠδή, εἰς δ'. Εἰσοδικόν. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ. Τροπάριον τῆς Ἑορτῆς. Δόξα. Τὴν κοινὴν ἀνάστασιν. καὶ νῦν. Τῇ ὑπερμάχῳ στρατηγῷ. τό, Τρισάγιον. Προκείμενον τῶν Βαΐων λέγεται μόνον. Ἀπόστολον τῆς Ἑορτῆς, καὶ τῶν Βαΐων. Ἀλληλουιάριον τῆς Θεοτόκου, καὶ τῶν Βαΐων. Εὐαγγέλιον τῆς Ἑορτῆς, καὶ τῶν Βαΐων, καὶ Κοινωνικὸν τῆς Ἑορτῆς, καὶ τῶν Βαΐων ὁμοίως.

## Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, ἐν τύχῃ τῇ Ἁγίᾳ καὶ μεγάλῃ Δευτέρᾳ.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ὁ Εὐαγγελισμὸς τῇ ἁγίᾳ καὶ μεγάλῃ Δευτέρᾳ, τῇ Κυριακῇ τῶν Βαΐων ἑσπέρας, Ἐν τῷ μικρῷ ἑσπερινῷ, στιχηρὰ τῆς Ἑορτῆς, ὡσαύτως καὶ ἀπολυτίκιον. Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ, στιχολογοῦμεν τὸ πρῶτον Κάθισμα τοῦ Ψαλτηρίου, ἤγουν, Μακάριος ἀνήρ. εἰς τό, Κύριε ἐκέκραξα, στιχηρὰ τῆς Ἑορτῆς προσόμοια. Ἦχος Πλ. β'. Βουλὴν προαιώνιον, ἀποκαλύπτων σοι Κόρη, εἰς ς'. καὶ τὰ γ'. ἰδιόμελα τῶν Βαΐων. Ἦχος Πλ. δ'. Δευτεροῦντες τὸ πρῶτον. Δόξα. Ἦχος Πλ. β'. τῶν Βαΐων. Ὁ ἔχων θρόνον οὐρανόν, καὶ ὑποπόδιον τὴν γῆν. καὶ νῦν. Ὁ αὐτός. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Ἀναγνώσματα τῆς Ἑορτῆς, τὰ γ'. εἰς τὴν λιτήν, τῆς Ἑορτῆς ἰδιόμελα. τὰς α'. α'. Δόξα. καὶ νῦν. Ἦχος β'. Εὐαγγελίζεται ὁ Γαβριήλ. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἡμέρας, ὁ β'. ὁ γ'. καὶ ὁ βαρύς. μετὰ τῶν στίχων αὐτῶν. Δόξα. τὸ πρῶτον. Ἦχος β'. ἐκ Βαΐων καὶ κλάδων, ὡς ἐκ θείας Ἑορτῆς. καὶ νῦν. ὁ αὐτός. Τὸ ἀπ' αἰῶνος μυστήριον. εἰς τὴν εὐλόγησιν τῶν ἄρτων. Τροπάριον. τῆς Ἑορτῆς. ἐκ τρίτου. καὶ Ἀνάγνωσις τῆς Ἑορτῆς. ὁμοίως καὶ εἰς τό, Θεὸς Κύριος. εἰς τὰ καθίσματα τῆς στιχολογίας, τὰ β'. Καθίσματα τῆς ἡμέρ. εἰς δὲ τὸ γ'. Κάθισμα. Ἀνάγνωσις τῆς Ἑορτῆς. ὁ Πολυέλεος. καὶ κάθισμα, τῆς Ἑορτῆς. ὡσαύτως καὶ ἀνάγνωσις. Οἱ Ἀναβαθμοί, τό, α'. Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον. Πᾶσα πνοή. καὶ Εὐαγγέλιον τῆς Ἑορτῆς. Ὁ Ν'. καὶ τὰ στιχ. τῆς Ἑορτῆς. ὁ Κανὼν τῆς Ἑορτῆς, μετὰ τῶν εἱρμῶν εἰς η'. καὶ τοῦ Τριῳδίου εἰς ς'. Καταβασία, τὸν εἱρμὸν τοῦ Τριῳδίου, ὁ Κανὼν τῆς Ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς ιδ'. καὶ τὴν Καταβασίαν αὐτοῦ, ὁμοῦ οἱ δύο Χοροί. Ἀπὸ τρίτης ᾠδῆς, Κοντάκιον τῆς ἡμέρας, καὶ Ἀνάγνωσις. Πάλιν χαρᾶς εὐαγγέλια. Ἀφ' ἕκτης Κοντάκιον τῆς Ἑορτῆς. Ἐν τῇ θ'. ᾠδῇ ἡ Τιμιωτέρα οὐ στιχολογεῖται, Ἐξαποστειλάριον τῆς Ἑορτῆς, δίς. Εἰς τοὺς Αἴνους, στιχηρὰ προσόμοια τῆς Ἑορτῆς, ὁ α'. εἰς δ'. Δόξα τῆς Ἑορτῆς. Ἦχος β'. Τὸ ἀπ' αἰῶνος μυστήριον. καὶ νῦν. τῆς ἡμέρας. Τῆς ξηρανθείσης συκῆς, διὰ τὴν ἀκαρπίαν. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα, τῆς ἡμέρας, τὸν πρῶτον, καὶ τὸν δ'. καὶ τὸν Πλ. α'. μετὰ τῶν στίχων αὐτῶν. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου. στίχ. Εὐφρανθείημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς. στίχος. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου. Στίχος. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν. Δόξα. τῆς ἡμέρας. Ἦχος Πλ. δ'. Δευτέραν Εὔαν τὴν Αἰγυπτίαν, εὑρὼν ὁ δράκων. καὶ νῦν. ὁ αὐτός. Εὐφραινέσθωσαν οἱ Οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ. Τροπάριον τῆς ἑορτῆς. ἡ Ἐκτενής, καὶ αἱ μεγάλαι γ'. μετάνοιαι μόνον. ἡ Εὐχή, καὶ Κατήχησις, καὶ ἀπόλυσις, καὶ ἡ συνήθης Λιτὴ ἐν τῷ Νάρθηκι. Περὶ δὲ ὥραν γ'. σημαίνει τὸ μικρόν, καὶ γίνεται ἡ λιτή, ἔξω τῆς μονῆς. Τελεσθείσης δὲ ταύτης, ψάλλονται αἱ ὧραι μετὰ τῆς στιχολογίας αὐτῶν, καὶ τῶν Ἀναγνώσεων τοῦ Τετραευαγγελίου. Λέγεται δὲ ἐν αὐταῖς τό, Τροπάριον, καὶ τὸ Κοντάκιον τῆς Ἑορτῆς, Ὡσαύτως καὶ ἐν τῇ θ'. μεθ' ἣν ψάλλονται τὰ Τυπικά, ἤγουν, τό, Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. Καὶ τοὺς Μακαρισμούς, ἄνευ μέλους, καὶ τὰ λοιπά. τό, Κοντάκιον τῆς Ἑορτῆς. τό, Κύριε ἐλέησον, μ'. καὶ αἱ γ'. μεγάλαι μετάνοιαι. καὶ εὐθύς, Δεῦτε προσκυνήσωμεν, καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ, ἄνευ μετανοιῶν, καὶ στιχολογίας. εἰς τό, Κύριε ἐκέκραξα, στιχηρὰ ἰδιόμελα. τῆς ἡμέρας, τοὺς δ'. Πλ. α'. καὶ τῆς Ἑορτῆς, ἰδιόμ. γ'. τοὺς δ'. δ'. καὶ τοῦ Ἀρχαγγέλου προσόμοια γ'. Δόξα. Ἦχος Πλ. δ'. Τῆς ξηρανθείσης συκῆς διὰ τὴν ἀκαρπίαν. καὶ νῦν. Ἦχος Πλ. β'. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος, μετὰ τοῦ Εὐαγγελίου. τό, Φῶς ἱλαρόν. Προκείμενον τῆς Προφητείας. Τὰ ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς τὰ δύο. τό, Κατευθυνθήτω, αἱ τρεῖς μετάνοιαι, ἡ συναπτή. τό, Τρισάγιον. Προκείμενον, ὁ Ἀπόστολος. Ἀλληλουιάριον τῆς ἑορτῆς, Εὐαγγέλιον τῆς Ἑορτῆς, καὶ τῆς ἡμέρας, καὶ καθεξῆς ἡ θεία Λειτουργία τοῦ Χρυσοστόμου. Κοινωνικὸν τῆς Ἑορτῆς. Ἐν τῇ τραπέζῃ καταλύομεν ἔλαιον καὶ



Digitized by Google

οἶνον. Εἰς τὰ, ἀπόδειπνον, οὐ ποιοῦμεν μετανοίας, εἰ μὴ μετὰ τό, Δόξα ἐν ὑψίστοις Θεῷ. Εἰς τό, Τρισάγιον, μετανοίας τρεῖς. καὶ ὕστερον τὰς τρεῖς μεγάλας, καὶ τὰς ιβ΄. μικράς. καὶ εἰς τό, Τρισάγιον, τὰς τρεῖς. Ψάλλεται δὲ ἐν αὐτοῖς καὶ τό, Τριῴδιον τοῦ Κυρίου Ἀνδρέου.

## Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῇ Ἁγίᾳ, καὶ μεγάλῃ τρίτῃ.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ὁ Εὐαγγελισμὸς τῇ ἁγίᾳ καὶ μεγάλῃ τρίτῃ, Ἑσπέρας εἰς τὸ λυχνικόν, οὐ στιχολογοῦμεν. εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι΄. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα, τῆς ἡμέρας, τὸν πρῶτον, τοὺς δ΄. Πλ. α΄. καὶ τῆς ἑορτῆς προσόμοια. Ἦχος Πλ. β΄. εἰς ε΄. Δόξα. Ἦχος Πλ. δ΄. δευτέραν Εὔαν τὴν Αἰγυπτίαν. καὶ νῦν. Θεοτοκίον. Ἀπεστάλη ἐξ Οὐρανοῦ. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. τό, Φῶς ἱλαρόν. Προκείμενον τῆς Προφητείας. Ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς τὰ τρία. τό, Κατευθυνθήτω. Εὐαγγέλιον τῆς ἡμέρας. καὶ ἡ Λειτουργία τῶν Προηγιασμένων. Σχολάζουσι δὲ αἱ μετάνοιαι, ἀπ᾽ αὐτοῦ τοῦ λυχνικοῦ, ἄνευ τῶν τριῶν, ὧν ποιοῦμεν μετὰ τό, Κατευθυνθήτω, καὶ τό, Νῦν αἱ δυνάμεις, καὶ εἰς τό, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. Ὁμοίως καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου, καὶ τῶν ὡρῶν. Ἐν τῇ τραπέζῃ δέ, πίνομεν οἶνον. Περὶ δὲ ὥραν α΄. τῆς νυκτός, σημαίνει τὰς βαρέας, τὸ μέγα, καὶ τὸ σιδηροῦν, καὶ ψάλλονται τὰ ἀπόδειπνα, ὁ δὲ Ἱερεὺς θυμιᾷ, ὡς σύνηθες. καὶ μετὰ τό, Δόξα ἐν ὑψίστοις Θεῷ, γίνεται λιτή, καὶ ψάλλομεν στιχηρὰ τῆς Ἑορτῆς ἰδιόμελα. τοὺς α΄. α΄. Δόξα, καὶ νῦν. Ἦχος β΄. Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῆς Ἑορτῆς τοὺς γ΄. δ΄. δ΄. μετὰ τῶν στίχων αὐτῶν. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. Ἦχος δ΄. Σήμερον χαρᾶς εὐαγγέλια. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, Τροπάριον τῆς Ἑορτῆς, ἐκ τρίτου. ὁμοίως καὶ εἰς τό, Θεὸς Κύριος. Εἰς τὰ β΄. Καθίσματα τῆς στιχολογίας, Καθίσματα καὶ ἀναγνώσματα τῆς ἡμέρας. Εἰς τό, γ΄. Κάθισμα, Κάθισμα. καὶ ἀνάγνωσμα τῆς Ἑορτῆς. ὁ Πολυέλεος, Κάθισμα. καὶ ἀνάγνωσμα τῆς Ἑορτῆς. Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου. Προκείμενον. Πᾶσα πνοή, καὶ Εὐαγγέλιον τῆς Ἑορτῆς. ὁ Ν΄. στιχηρὰ τῆς Ἑορτῆς. Κανόνες οἱ τῆς Ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς ιδ΄. Καταβασία, τὸν εἱρμὸν ὁμοῦ οἱ δύο Χοροί. Ἔνθα δὲ τύχῃ ἡ ᾠδὴ τοῦ Τριῳδίου, τῆς Ἑορτῆς ὁ Κανὼν μετὰ τῶν εἱρμῶν, εἰς ς΄. καὶ τοῦ Τριῳδίου, μετὰ τῶν εἱρμῶν, εἰς η΄. καὶ τὸν εἱρμὸν αὐτοῦ ὕστερον οἱ δύο Χοροί. Ἀπὸ γ΄. ᾠδῆς, Κοντάκιον τῆς ἡμέρας, καὶ Ἀνάγνωσις. Πάλιν χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἀφ᾽ ἕκτης τό, Κοντάκιον τῆς Ἑορτῆς. Ἐν τῇ θ΄. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. Ἐξαποστειλάριον τῆς Ἑορτῆς, ἐκ δευτέρου. Εἰς τοὺς Αἴνους, στιχηρὰ προσόμοια τῆς Ἑορτῆς. Ἦχος α΄. εἰς δ΄. Δόξα. τῆς ἡμέρας. Ἦχος β΄. Ὁ τῆς ψυχῆς ῥαθυμίᾳ νυστάξας. καὶ νῦν. τῆς Ἑορτῆς. Ἦχος ὁ αὐτός. Τὸ ἀπ᾽ αἰῶνος μυστήριον ἀνακαλύπτεται σήμερον. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα, τῆς ἡμέρας, τὸν α΄. καὶ τὸν γ΄. Πλ. β΄. μετὰ τῶν στίχ. τῶνδε. Ἐνεπλήσθημεν, ἕως, ταῖς ἡμέραις ἡμῶν. στίχος β΄. Εὐφρανθείημεν, ἕως, τοὺς υἱοὺς αὐτῶν. στίχος γ΄. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου ἐφ᾽ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν, ἕως τέλους. Δόξα. τῆς Ἑορτῆς. Ἦχος Πλ. δ΄. Εὐφραινέσθωσαν οἱ Οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ. καὶ νῦν. τῆς ἡμέρας. Ὅταν ἔλθῃς ἐν δόξῃ. Τροπάριον τῆς Ἑορτῆς. ἡ Ἐκτενής, καὶ αἱ μεγάλαι γ΄. μετάνοιαι. Δεῦτε προσκυνήσωμεν, καὶ ἡ πρώτη ὥρα. Ἐν τῷ τέλει αὐτῆς, αἱ μεγάλαι γ΄. μετάνοιαι. ἡ Εὐχή, ἡ Κατήχησις, καὶ ἀπόλυσις, καὶ ἡ συνήθης Λιτὴ ἐν τῷ Νάρθηκι. Περὶ ὥραν γ΄. τῆς ἡμέρας, σημαίνει τὸ μικρόν. Καὶ γίνεται Λιτὴ ἔξω τῆς μονῆς. Τελεσθείσης δὲ ταύτης, ψάλλονται αἱ ὧραι μετὰ τῆς στιχολογίας αὐτῶν, καὶ τῶν ἀναγνωσμάτων τοῦ Τετραευαγγελίου. Λέγεται δὲ ἐν αὐταῖς Τροπάριον, καὶ Κοντάκιον τῆς Ἑορτῆς. Ὡσαύτως καὶ ἐν τῇ ἐνάτῃ, ἄνευ τῆς στιχολογίας. Μεθ᾽ ἣν ψάλλομεν τὰ Τυπικὰ χῦμα, ἤγουν, τό, Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. καὶ τοὺς Μακαρισμούς, ἄνευ μέλους, καὶ τὰ λοιπά. Κοντάκιον τῆς Ἑορτῆς. τό, Κύριε ἐλέησον, μ΄. καὶ μετάνοιαι μεγάλαι, τρεῖς. καὶ εὐθύς. Δεῦτε προσκυνήσωμεν, καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ, ἄνευ στιχολογίας καὶ μετανοιῶν. Εἰς τό, Κύριε ἐκέκραξα, στιχηρὰ ἰδιόμελα. τῆς ἡμέρας. τὸν α΄. τὸν δ΄. καὶ γ΄. Πλ. β΄. καὶ τῆς Ἑορτῆς ἰδιόμελα, τὸν δ΄. δ΄. Δευτεροῦντες τὸ πρῶτον. Δόξα. τῆς ἡμέρας. Ἦχος βαρύς, καὶ νῦν. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. τό, Φῶς ἱλαρόν. Προκείμενον τῆς Προφητείας. τὰ Ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς τὰ δύο. τό, Κατευθυνθήτω, καὶ αἱ γ΄. μετάνοιαι. ἡ συναπτή, τό, Τρισάγιον. Προκείμενον, Ἀπόστολον, Ἀλληλουϊάριον, τῆς Ἑορτῆς. Εὐαγγέλιον τῆς Ἑορτῆς, καὶ τῆς ἡμέρας. καὶ καθεξῆς ἡ θεία Λειτουργία τοῦ Χρυσοστόμου. Κοινωνικὸν τῆς Ἑορτῆς. Ἐν τῇ τραπέζῃ καταλύομεν ἔλαιον καὶ οἶνον. Εἰς τὰ ἀπόδειπνα μετανοίας οὐ ποιοῦμεν, εἰ μὴ μετὰ τό, Δόξα ἐν ὑψίστοις Θεῷ. Εἰς τό, Τρισάγιον, μετανοίας γ΄. καὶ ὕστερον τὰς γ΄. μεγάλας, καὶ τὰς ιβ΄. μικράς, καὶ εἰς τὸ ὕστερον Τρισάγιον τὰς γ΄. με-

γα-

Digitized by Google

γάλας μετανοίας. Ψάλλομεν δὲ ἐν αὐτοῖς καὶ τὸ Τριῴδιον τοῦ Κυρίου Ἀνδρέου.

### Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῇ Ἁγίᾳ, καὶ μεγάλῃ Τετράδι.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ ἡ Ἑορτὴ τοῦ Εὐαγγελισμοῦ τῇ ἁγίᾳ καὶ μεγάλῃ τετράδι, Τῇ τρίτῃ ἑσπέρας, εἰς τὸ Λυχνικὸν, οὐ στιχολογοῦμεν, οὔτε μετανοίας ποιοῦμεν. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα. τῆς ἡμέρας, τὸν πρῶτον, δευτεροῦντες αὐτὸν, καὶ τοὺς γ'. Πλ. β'. καὶ τῆς Ἑορτῆς προσόμοια. Ἦχος Πλ. β'. εἰς ἑ. Δόξα. τῆς ἡμέρας. Ὁ τῆς ψυχῆς ῥαθυμίᾳ νυστάξας οὐ κέκτημαι. καὶ νῦν. Ἦχος Πλ. β'. Ἀπεστάλη ἐξ οὐρανοῦ Γαβριὴλ, ὁ Ἀρχάγγελος. Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς Προφητείας, καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς τὰ τρία. καὶ ἡ θεία Λειτουργία τῶν Προηγιασμένων. Μετὰ δὲ τὸ Κατευθυνθήτω, μετανοίας γ'. τὸ, Εὐαγγέλιον τῆς ἡμέρας. Ὁμοίως καὶ μετὰ τὸ, Νῦν αἱ δυνάμεις τῶν Οὐρανῶν, καὶ εἰς τὸ, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος, μετανοίας τρεῖς. Εἰς τὴν τράπεζαν πίνομεν οἶνον. Περὶ δὲ ὥραν α'. τῆς νυκτὸς, Σημαίνει τὰς βαρέας, τὸ μέγα, καὶ τὸ σιδηροῦν, καὶ ψάλλομεν τὰ ἀπόδειπνα. ὁ δὲ Ἱερεὺς θυμιᾷ ὡς σύνηθες, καὶ μετὰ τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ, γίνεται ἡ Λιτή. καὶ ψάλλονται τὰ στιχηρὰ τῆς Ἑορτῆς ἰδιόμελα. τοὺς α'. α'. Δόξα, καὶ νῦν. Ἦχος β'. Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα. τῆς Ἑορτῆς. τοὺς γ'. δ'. δ'. μετὰ τῶν στίχων αὐτῶν. Δόξα, καὶ νῦν. Ἦχος ὁ αὐτός. Σήμερον χαρᾶς εὐαγγέλια. τὸ, Τρισάγιον. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, Τροπάριον τῆς Ἑορτῆς ἐκ γ'. καὶ ἀνάγνωσις τῆς Ἑορτῆς. Ἐν τῷ ὄρθρῳ, εἰς τὸ, Θεὸς Κύριος, Τροπάριον τῆς Ἑορτῆς, ἐκ τρίτου. Εἰς τὰ καθίσματα τῆς στιχολογίας, καθίσματα καὶ ἀναγνώσματα τῆς ἡμέρας. Εἰς δὲ τὸ τρίτον κάθισμα, κάθισμα καὶ ἀνάγνωσμα τῆς Ἑορτῆς. Ὁ Πολυέλεος, κάθισμα, καὶ ἀνάγνωσις τῆς Ἑορτῆς, Οἱ Ἀναβαθμοὶ, τὸ πρῶτον Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον, καὶ Εὐαγγέλιον τῆς Ἑορτῆς. Ὁ Ν'. τὸ στιχηρὸν τῆς Ἑορτῆς. ὁ Κανὼν τῆς Ἑορτῆς. μετὰ τῶν εἱρμῶν, εἰς ιδ'. Καταβασία τὸν εἱρμὸν τῆς Ἑορτῆς ὁμοῦ οἱ δύω Χοροί. Ἔνθα δὲ τύχῃ ᾠδὴ τοῦ Τριῳδίου, τῆς Ἑορτῆς ὁ Κανὼν μετὰ τῶν εἱρμῶν εἰς ϛ'. καὶ τοῦ Τριῳδίου ἡ ᾠδὴ μετὰ τῶν εἱρμῶν εἰς η'. Καταβασία, τὸν εἱρμὸν τοῦ Τριῳδίου, ὁμοῦ οἱ δύω Χοροί. Ἀπὸ γ'. ᾠδῆς, Κοντάκιον τῆς ἡμέρας, καὶ ἀνάγνωσις τῆς Ἑορτῆς, Πάλιν χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἀφ' ἕκτης, Κοντάκιον τῆς Ἑορτῆς. Ἐν τῇ θ'. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. Ἐξαποστειλάριον τῆς Ἑορτῆς, δίς. Εἰς τοὺς Αἴνους, στιχηρὰ προσόμοια τῆς Ἑορτῆς. Ἦχος α'. εἰς δ'. Δόξα. τῆς ἡμέρας. Ἦχος β'. Σήμερον ὁ Χριστὸς παραγίνεται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου. καὶ νῦν. τῆς Ἑορτῆς. Ἦχος β'. Τὸ ἀπ' αἰῶνος μυστήριον ἀνακαλύπτεται σήμερον. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῆς ἡμέρας, τοὺς δ'. α'. α'. μετὰ τῶν στίχων αὐτῶν. Ἀνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα. στίχος. Εὐφρανθείημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας. στίχος. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ τὰ ἔργα. Δόξα. τῆς Ἑορτῆς. Ἦχος Πλ. δ'. Εὐφραινέσθωσαν οἱ Οὐρανοί. καὶ νῦν. τῆς ἡμέρας, ὁ αὐτός. Κύριε ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνή. Τροπάριον τῆς Ἑορτῆς. ἡ Ἐκτενής. καὶ αἱ τρεῖς μεγάλαι μετάνοιαι. τὸ, Δεῦτε προσκυνήσωμεν. καὶ ἡ πρώτη ὥρα, ἐν τῷ τέλει αὐτῆς, αἱ μεγάλαι τρεῖς μετάνοιαι. ἡ Εὐχὴ, ἡ Κατήχησις. καὶ ἀπόλυσις. καὶ ἡ σύνηθης Λιτὴ ἐν τῷ Νάρθηκι. Περὶ δὲ ὥραν γ'. σημαίνει τὸ μικρὸν, καὶ γίνεται ἡ Λιτὴ ἔξω τοῦ μοναστηρίου. Τελουμένης δὲ ταύτης, ψάλλονται αἱ ὧραι, μετὰ τῆς στιχολογίας αὐτῶν, καὶ τῶν ἀναγνωσμάτων τοῦ Τετραευαγγελίου. Λέγεται δὲ ἐν αὐταῖς, Τροπάριον, καὶ Κοντάκιον τῆς Ἑορτῆς. Ὡσαύτως καὶ ἐν τῇ θ'. Μεθ' ἣν ψάλλονται τὰ Τυπικὰ χῦμα. ἤγουν τὸ, Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. καὶ τοὺς Μακαρισμοὺς ἄνευ μέλους, καὶ τὰ λοιπά. τὸ, Κοντάκιον τῆς Ἑορτῆς. τὸ, Κύριε ἐλέησον, μ'. αἱ μεγάλαι τρεῖς μετάνοιαι, ἡ Εὐχὴ, ἡ Ἀπόλυσις, καὶ ἡ Συγχώρησις. Ἑσπέρας, Δεῦτε προσκυνήσωμεν, καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ, ἄνευ στιχολογίας, καὶ μετανοιῶν. εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ ἰδιόμελα. τῆς ἡμέρας, τοὺς δ'. Πλ. β'. καὶ τῆς Ἑορτῆς, ἰδιόμελα. τοὺς δ'. δ'. δευτεροῦντες τὰ δύω. Δόξα. τῆς Ἑορτῆς. Ἦχος Πλ. β'. Ἐπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. καὶ νῦν. τῆς ἡμέρας. Ἦχος Πλ. δ'. Κύριε ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνή. Εἴσοδος, μετὰ τοῦ Εὐαγγελίου. τὸ, Φῶς ἱλαρόν. Προκείμενον τῆς Προφητείας. Τὰ ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς, τὰ δύω. τὸ, Κατευθυνθήτω. καὶ μετανοίας γ'. ἡ Συναπτὴ, τὸ, Τρισάγιον, Προκείμενον, Ἀπόστολος, καὶ Ἀλληλουιάριον τῆς Ἑορτῆς, Εὐαγγέλιον τῆς Ἑορτῆς, καὶ τῆς ἡμέρας. καὶ καθεξῆς ἡ θεία Λειτουργία τοῦ Χρυσοστόμου. Κοινωνικὸν τῆς Ἑορτῆς. Ἐν δὲ τῇ τραπέζῃ καταλύομεν ἔλαιον καὶ οἶνον. Εἰς τὰ ἀπόδειπνα μετανοίας οὐ ποιοῦ-



μεν.

Digitized by Google

μεν. Ψάλλεται δὲ ἐνταῦθα τὸ Τριῴδιον τοῦ Κυρίου Ἀνδρέου..

### Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῇ Ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ Ἑορτὴ τοῦ Εὐαγγελισμοῦ τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ, Τῇ τετράδι Ἑσπέρας, εἰς τὸ, Λυχνικὸν, οὐ στιχολογοῦμεν. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα. τῆς ἡμέρας, τοὺς δ'. α'. καὶ τὸν β'. καὶ τῆς Ἑορτῆς ἰδιόμελα γ'. Ἦχος δ'. εἰς ς'. Δόξα. Ἦχος Πλ. β'. Σήμερον ὁ Χριστὸς παραγίνεται. καὶ νῦν. Ἦχος ὁ αὐτός. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ, Φῶς ἱλαρόν. Προκείμενον τῆς Προφητείας. Τὰ Ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς τὰ γ'. τὸ Κατευθυνθήτω, καὶ μετανοίας τρεῖς. Εὐαγγέλιον, καὶ ἡ Θεία Λειτουργία τῶν Προηγιασμένων. Μετὰ τὸ, Νῦν αἱ δυνάμεις τῶν Οὐρανῶν, μετανοίας γ'. Ὡσαύτως, καὶ εἰς τὸ, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. Εἰς τὴν τράπεζαν καταλύομεν ἔλαιον. Περὶ δὲ ὥραν α'. τῆς νυκτὸς, σημαίνει τὰς βαρέας, τὸ μέγα, καὶ τὸ σιδηροῦν, καὶ ψάλλονται τὰ ἀπόδειπνα, ὁ δὲ Ἱερεὺς θυμιᾷ ὡς συνήθως. καὶ μετὰ τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ, γίνεται Λιτή. καὶ ψάλλομεν στιχηρὰ τῆς Ἑορτῆς, τοὺς α'. α'. Δόξα. καὶ νῦν. Ἦχος β'. Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. Εἰς τὸν στίχον στιχηρὰ προσόμοια τῆς Ἑορτῆς. Ἦχος Πλ. β'. Βουλὴν προαιώνιον, μετὰ τῶν στίχων τῆς Ἑορτῆς. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. Ἦχος δ'. Σήμερον χαρᾶς εὐαγγέλια. τὸ, Τρισάγιον. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, Τροπάριον τῆς Ἑορτῆς, ἐκ τρίτου, καὶ ἀνάγνωσις τῆς Ἑορτῆς. Ἐν τῷ ὄρθρῳ, εἰς τὸ, Θεὸς Κύριος, Τροπάριον τῆς Ἑορτῆς, Δόξα, καὶ νῦν. Ἦχος Πλ. δ'. Ὅτε οἱ ἔνδοξοι μαθηταὶ ἐν τῷ Νιπτῆρι τοῦ Δείπνου. ὁ Πολυέλεος, κάθισμα, καὶ ἀνάγνωσις τῆς Ἑορτῆς. Οἱ ἀναβαθμοὶ, τὸ α'. Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον. Πᾶσα πνοή. Εὐαγγέλιον τῆς Ἑορτῆς. οἱ Κανόνες τῆς Ἑορτῆς. τῶν εἱρμῶν, μετὰ τῶν εἱρμῶν, εἰς ς'. καὶ τῆς ἡμέρας, μετὰ εἰς η'. Καταβασία, τὸν εἱρμὸν τοῦ Κανόνος τῆς ἡμέρας, ὁμοῦ οἱ δύω Χοροί. Ἀπὸ γ'. ᾠδῆς Κοντάκιον τῆς ἡμέρας, καὶ κάθισμα. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. Ἡ ἀνάγνωσις τῆς Ἑορτῆς. Πάλιν χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἀφ' ἕκτης, τὸ Κοντάκιον τῆς Ἑορτῆς. Ἐν τῇ θ'. ᾠδῇ, οὐ στιχολογεῖται ἡ Τιμιωτέρα. Ἐξαποστειλάριον τῆς Ἑορτῆς, δίς. Εἰς τοὺς Αἴνους, στιχηρὰ προσόμοια τῆς Ἑορτῆς. Ἦχος α'. εἰς δ'. Δόξα. τῆς Ἑορτῆς. Ἦχος β'. Τὸ ἀπ' αἰῶνος μυστήριον. ἀνακαλύπτεται σήμερον. καὶ νῦν. τῆς ἡμέρας, ὁ αὐτός. Ὃν ἐκήρυξεν ἀμνὸν Ἡσαΐας, ἔρχεται ἐπὶ σφαγὴν ἑκούσιον. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῆς ἡμέρας, τὰς δ'. Πλ. δ'. μετὰ τῶν στίχων αὐτῶν. Δόξα. Ἦχος ὁ αὐτός. Ὁ τρόπος σου δολιότητος γέμει παράνομε. καὶ νῦν. τῆς Ἑορτῆς. Ἦχος ὁ αὐτός. Εὐφραινέσθωσαν οἱ Οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. Τροπάριον τῆς ἡμέρας. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. Ἐκτενής. Δεῦτε προσκυνήσωμεν. καὶ ἡ πρώτη ὥρα. Ἐν ᾗ λέγομεν Τροπάριον τῆς Προφητείας, καὶ τὴν Προφητείαν τῆς ἡμέρας. ἡ Κατήχησις τῆς Ἑορτῆς. καὶ ἀπόλυσις. Περὶ δὲ ὥραν πέμπτην σημαίνει τὸ μικρὸν, καὶ γίνεται ἡ Λιτὴ ἔξω τῆς μονῆς. Ὑποστρεψάσης δὲ ταύτης, Ψάλλομεν τὰς τρεῖς ὥρας τριψάλμους ἐν τῷ Νάρθηκι. Ἐν αἷς λέγεται Τροπάριον τῆς Ἑορτῆς. Δόξα. τῆς ἡμέρας. καὶ νῦν. τῶν ὡρῶν, Θεοτοκίον. Κοντάκιον τῆς Ἑορτῆς. Ἐν πάσαις οὕτω γίνεται, ὡσαύτως τῶν Τροπαρίων πάντων οὕτω λεγομένων, τῶν δὲ Κοντακίων ἐναλλασσομένων, μετὰ δὲ τὸ τέλος τούτων, τὰ Τυπικὰ χύμα, ἤγουν τὸ, Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. καὶ οἱ Μακαρισμοὶ, ἄνευ μέλους. Χορὸς ὁ ἐπουράνιος ὕμνει σε καὶ λέγει, Ἅγιος. τὸ Πάτερ ἡμῶν. Κοντάκιον τῆς Ἑορτῆς. Κύριε ἐλέησον, μ'. καὶ ἀπόλυσις. τὸ Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, οὐ λέγομεν. Ἑσπέρας δὲ, περὶ ὥραν, η'. σημαίνει, καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ, Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα. τὰ ς'. β'. β'. Συντρέχει λοιπὸν τὸ συνέδριον τῶν Ἰουδαίων, καὶ τὰ λοιπά. καὶ τοὺς δ'. δ'. δ'. τῆς Ἑορτῆς. Δευτεροῦντες τὸ πρῶτον. Δόξα. τῆς ἡμέρας. Γέννημα ἐχιδνῶν ἀληθῶς ὁ Ἰούδας. καὶ νῦν. τῆς Ἑορτῆς. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. τὸ, Φῶς ἱλαρόν. τὰ ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς. Προκείμενον ὁ Ἀπόστολος τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς. Ἀλληλουϊάριον τῆς Ἑορτῆς, καὶ τῆς ἡμέρας. Εὐαγγέλιον τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς. καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ μεγάλου Βασιλείου. Ἀντὶ δὲ τοῦ Χερουβικοῦ, Τροπάριον, Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, ἐκ τρίτου. Τὸ αὐτὸ καὶ Κοινωνικόν. καὶ ἀντὶ τοῦ Πληρωθήτω τὸ στόμα μου. Μετὰ δὲ τὴν ὀπισθάμβωνον Εὐχὴν, γίνεται ὁ Νιπτὴρ, κατὰ τὴν τάξιν αὐτοῦ. καὶ μετὰ ταῦτα, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἐκ τρίτου, καὶ Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, καὶ δίδοται τὸ ἀντίδωρον τοῖς ἀδελφοῖς, καὶ γίνεται τελεία ἀπόλυσις, καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, καταλύοντες ἔλαιον καὶ οἶνον.

Πε-

Digitized by Google

### Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῇ Ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ.

Χρὴ εἰδέναι, ὅτι ἐὰν γένηται ὁ Εὐαγγελισμὸς τῇ Ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ, Εἰς τὴν Παραμονὴν, ἤτοι τῇ Ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ί. καὶ ψάλλομεν τὰ στιχηρὰ τῆς ἡμέρας ἰδιόμελα. τὰς ε. β'. β'. καὶ τῆς Ἑορτῆς προσόμοια. Ἦχος Πλ. β'. Βουλὴν προαιώνιον, εἰς ε. Δόξα. τῆς ἡμέρας. Ἦχος Πλ. β'. Γέννημα ἐχιδνῶν, καὶ νῦν. τῆς Ἑορτῆς. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ, Φῶς ἱλαρόν. Προκείμενον, καὶ ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς τρία. ἡ Συναπτὴ, τὸ, Τρισάγιον, Προκείμενον, ὁ Ἀπόστολος, Ἀλληλουϊάριον, καὶ Εὐαγγέλιον τῆς ἡμέρας, καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ μεγάλου Βασιλείου. Ἀντὶ δὲ τοῦ Χερουβικοῦ. Τοῦ Δείπνου σου τοῦ μυστικοῦ σήμερον, ἐκ τρίτου. Τὸ αὐτὸ καὶ Κοινωνικόν. Καὶ ἀντὶ τοῦ Πληρωθήτω τὸ στόμα μου. Μετὰ δὲ τὴν Ὀπισθάμβωνον Εὐχὴν, γίνεται ὁ Νιπτὴρ, κατὰ τὴν τάξιν αὐτοῦ, καὶ μετὰ ταῦτα, Εἴη τὸ, ὄνομα Κυρίου εὐλογημένον, ἐκ τρίτου, καὶ ὁ Ψαλμὸς, Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, καὶ δίδοται τὸ ἀντίδωρον τοῖς ἀδελφοῖς, καὶ γίνεται τελεία ἀπόλυσις, καὶ εἰσερχόμεθα εἰς τὴν Τράπεζαν, καταλύοντες οἶνον μόνον. Περὶ δὲ ὥραν β'. τῆς νυκτὸς, Σημαίνει τὰς βαρέας, τὸ μέγα, καὶ τὸ σιδηροῦν, καὶ ἀρχόμεθα τὸν ὄρθρον. Εἰς τὸ, Θεὸς Κύριος. Τροπάριον τῆς Ἑορτῆς, δίς. Δόξα, καὶ νῦν. Ὅτι οἱ ἔνδοξοι μαθηταὶ ἐν τῷ Νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο. εἶτα Συναπτὴ μικρὰ, καὶ Ἐκφωνεῖ ὁ Ἱερεὺς. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ Ἁγίου Εὐαγγελίου, καὶ τὰ Εὐαγγέλια τῶν Ἁγίων Παθῶν, κατὰ τὴν τάξιν αὐτῶν. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν Ἀντιφώνων, εὐθὺς Κοντάκιον τῶν Ἁγίων Παθῶν. Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν. εἶτα τὸ ἐνορδίνου Εὐαγγέλιον. Οἱ Μακαρισμοὶ τῶν Ἁγίων Παθῶν. Ἦχος δ'. Ἀρχόμεθα δὲ, Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν Κύριε. Ἀπὸ τοῦ Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. εἰς στίχους δέκα. Προκείμενον τῶν Ἁγίων Παθῶν. Ἦχος δ'. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου. στίχος. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, καὶ Εὐαγγέλιον τοῦ ἐνορδίνου, καὶ ἀνάγνωσις τῆς ἡμέρας. Οἱ Ἀναβαθμοὶ, τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον, Πᾶσα πνοὴ, καὶ Εὐαγγέλιον τῆς Ἑορτῆς. Ἀναστᾶσα Μαριὰμ ἐπορεύθη εἰς τὴν ὀρεινὴν, καὶ αὖθις Εὐαγγέλιον τῶν Ἁγίων Παθῶν, τὸ μετὰ τὸν Πεντηκοστὸν λεγόμενον. εἶτα ὁ Πεντηκοστός. Τὸ στιχηρὸν τῆς Ἑορτῆς. Ὁ Ἱερεὺς, Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. ὁ Λαὸς, τὸ, Κύριε ἐλέησον, ιβ'. ὁ Ἱερεὺς Ἐκφωνεῖ. Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ. ὁ Κανὼν τῆς Ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς ιδ'. Καταβασία τῆς Ἑορτῆς, ὁμοῦ οἱ δύω Χοροί. Ἔνθα δὲ τύχῃ ἡ ᾠδὴ τοῦ Τριῳδίου, ὁ Κανὼν τῆς Ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς ϛ'. καὶ τοῦ Τριῳδίου, μὲ τοῦ Τριῳδίου, τὰ τῶν εἱρμῶν, εἰς ή. Καταβασία τὸν εἱρμὸν, ὁμοῦ οἱ δύω Χοροί. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς Ἑορτῆς, καὶ ἀνάγνωσις. Πάλιν χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἐφεξῆς, Κοντάκιον τῆς Ἑορτῆς, καὶ ἀνάγνωσις τῆς ἡμέρας. Ἐν τῇ θ'. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. Ἐξαποστειλάριον τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς. καὶ εὐθὺς Εὐαγγέλιον, θ'. Ἐκ τοῦ κατὰ Ἰωάννην. Τῷ καιρῷ ἐκείνῳ, εἱστήκεισαν παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ Μήτηρ αὐτοῦ. Εἰς τοὺς Αἴνους στιχηρὰ τῆς ἡμέρας. ἦχ. ά. Πᾶσα ἡ κτίσις. καὶ τοὺς β'. β'. β'. Δόξα. Ἦχος Πλ. δ'. Ἤδη βάπτεται κάλαμος ἀποφάσεως. καὶ νῦν. τῆς Ἑορτῆς, ὁ αὐτός. Εὐφραινέσθωσαν οἱ Οὐρανοί. εἶτα, Εὐαγγέλιον κατὰ Μάρκον, δέκατον. Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας. Εἶθ' οὕτω, Δόξα ἐν ὑψίστοις Θεῷ. ὁ Ἱερεὺς τὴν συναπτὴν. Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. καὶ μετὰ τὴν Ἐκφώνησιν, Εὐαγγέλιον, ιά. κατὰ Ἰωάννην. Τῷ καιρῷ ἐκείνῳ ἠρώτησαν τὸν Πιλάτον. Εἰς τὸν στίχον στιχηρὰ προσόμοια τῆς Ἑορτῆς. Ἦχος ά. Δόξα. Ἦχος Πλ. β'. Ἐξέδυσάν με τὰ ἱμάτιά μου, καὶ ἐνέδυσάν με χλαμύδα. καὶ νῦν. Ἦχος δ'. Γλῶσσαν ἣν οὐκ ἔγνω, ἤκουσεν ἡ Θεοτόκος, καὶ Εὐαγγέλιον, ιβ'. Τῇ ἐπαύριον ἥτις ἐστὶ μετὰ τὴν Παρασκευήν. εἶτα, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν, τὸ Τρισάγιον. Ἦχος ά. Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ Νόμου. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. ἡ Ἐκτενής. Σοφία, καὶ Ἀπόλυσις. Ἡ πρώτη ὥρα ψάλλεται καθὼς διατέτακται ἐν τῇ μεγάλῃ Παρασκευῇ. Ἐν δὲ τῇ πρώτῃ ὥρᾳ, Τροπάριον τῆς Ἑορτῆς, καὶ τῆς ἡμέρας. Περὶ δὲ ὥραν πέμπτην, Σημαίνει τὸ μικρὸν, καὶ ποιοῦμεν τὴν Λιτὴν, ἔξω τῆς μονῆς. καὶ ὑποστρεφόντων ψάλλομεν τὰς τρεῖς ὥρας, Τριψάλμους, μετὰ τῶν Τροπαρίων, τῶν Ἀναγνωσμάτων, τῶν Ἀποστόλων, τῶν Εὐαγγελίων, καὶ τῆς ἄλλης Ἀκολουθίας αὐτῶν. Λέγεται δὲ καὶ ἐν αὐταῖς, Τροπάριον τῶν ὡρῶν, ἤγουν τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς. Κοντάκιον δὲ τῆς ἡμέρας. Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν. ἐν τῇ θ'. ὥρᾳ, μετὰ τὸ Εὐαγγέλιον,



Digitized by Google

τίθεται Ἀνάγνωσις τῆς ἡμέρας. Εἶθ' οὕτω. Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος. τὸ Τρισάγιον. Κοντάκιον τῆς ἡμέρας. τὸ, Κύριε ἐλέησον, μ'. ἡ Εὐχή. τὰ Τυπικὰ χύμα, ἤγουν, τὸ, Μνήσθητι ἡμῶν Κύριε ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. καὶ οἱ Μακαρισμοὶ, ἄνευ μέλους. Πιστεύω εἰς ἕνα Θεόν. τὸ, Ἄνες ἄφες. τὸ, Πάτερ ἡμῶν ὁ ἐν τοῖς Οὐρανοῖς. Κοντάκιον τῆς ἡμέρας. τὸ, Κύριε ἐλέησον, μ'. καὶ Ἀπόλυσις. τὸ, Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, ἐνταῦθα οὐ λέγεται, διὰ τὸ λέγεσθαι αὐτὸ ἐν τῇ Λειτουργίᾳ. Περὶ δὲ ὥραν, ἡ. σημαίνει τὸ μέγα, καὶ ἀπερχόμεθα τοῦ λυχνικοῦ. καὶ ποιεῖ ὁ Ἱερεὺς τὴν προσκομιδήν. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ί. καὶ ψάλλομεν στιχηρὰ τῆς ἡμέρας, ἤτοι. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν, εἰς ς'. καὶ τῆς Ἑορτῆς ἰδιόμελ. τοὺς δ'. δ'. δ'. Δόξα. Ἦχος Πλ. β'. Ὢ πῶς ἡ παράνομος συναγωγή. καὶ νῦν, ὁ αὐτός. Ἀπεστάλη ἐξ Οὐρανοῦ, Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ, Φῶς ἱλαρόν. Προκείμενον, καὶ Ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς, τὰ β'. ἡ Συναπτὴ, τὸ Τρισάγιον. Προκείμενον, ὁ Ἀπόστολος. Ἀλληλουϊάριον, καὶ Εὐαγγέλιον ά. τῆς Ἑορτῆς εἶτα τῆς ἡμέρας. Κοινωνικὸν τῆς Ἑορτῆς. Ἡ Λειτουργία τελεῖται τοῦ Χρυσοστόμου. Εἰς τὴν τράπεζαν ἐσθίομεν ξηροφαγίαν, καὶ πίνομεν καὶ οἶνον.

### Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῷ Ἁγίῳ, καὶ μεγάλῳ Σαββάτῳ.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ὁ Εὐαγγελισμὸς, τῷ Ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ. Ἑσπέρας τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ, Περὶ ὥραν ί. Σημαίνει τὸ μέγα, καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ί. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἡμέρας, τὸν πρῶτον ἦχον. Δευτεροῦντες αὐτὸν, καὶ τοὺς γ'. β'. β'. πρὸς μίαν. καὶ τὸν Πλ. β'. Σήμερον ὁ δεσπότης τῆς κτίσεως. καὶ τῆς Ἑορτῆς προσόμοια. Ἦχος Πλ. β'. Βουλὴν προαιώνιον, ἀποκαλύπτων σοι κόρη, εἰς δ'. Δόξα. Ἦχος ὁ αὐτός. Ὢ πῶς ἡ παράνομος συναγωγὴ τὴν προδοσίαν ἐμελέτα κατὰ σοῦ. καὶ νῦν, ὁ αὐτός. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. τὸ, Φῶς ἱλαρὸν ἁγίας δόξης. τὸ Προκείμενον. καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς, τὰ έ. Εἶτα Προκείμενον, Ἀπόστολον, Ἀλληλουϊάριον, καὶ Εὐαγγέλιον τῆς ἡμέρας. Εἶθ' οὕτως. Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν. τὸ Καταξίωσον Κύριε ἐν τῇ Ἑσπέρᾳ ταύτῃ. Εἶθ' οὕτως ὁ Ἱερεύς. Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. καὶ μετὰ τὴν Ἐκφώνησιν, στιχηρὰ τῆς ἡμέρας, Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σου νεκρόν. καὶ τὰ ἕτερα δύω, μετὰ τῶν στίχων. Δόξα, Ἦχος β'. Τὸ ἀπ' αἰῶνος μυστήριον ἀνακαλύπτεται σήμερον. καὶ νῦν. Ἦχος Πλ. ά. Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς ὥσπερ ἱμάτιον. τὸ Τρισάγιον, καὶ Τροπάριον τῆς ἑορτῆς. Δόξα, καὶ νῦν. τῆς ἡμέρας. Ἦχος β'. Ὁ Εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελών. Σοφία, καὶ ἀπόλυσις. Τὰ δὲ ἀπόδειπνα ψάλλομεν ἐν τοῖς κελλίοις. Περὶ δὲ ὥραν δευτέραν τῆς νυκτὸς, Σημαίνει τὰς βαρέας, τὸ μέγα, καὶ τὸ σιδηροῦν, καὶ ἀρχόμεθα τὸν ὄρθρον. Εἰς τὸ, Θεὸς Κύριος, Τροπάριον τῆς ἡμέρας. Ἦχος β'. Ὁ Εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελών. ἅπαξ. Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος. Δόξα. Ταῖς μυροφόροις γυναιξὶ παρὰ τὸ μνῆμα ἐπιστάς. καὶ νῦν, τῆς Ἑορτῆς, καὶ εὐθὺς στιχολογοῦμεν τὸν Ἄμωμον, εἰς Ἦχον Πλ. ά. Ἐν ᾧ θυμιᾷ ὁ Ἱερεὺς εἰς τὴν πρώτην στάσιν. Ὁ δὲ κανδηλάπτης θυμιᾷ, κατὰ στάσιν. εἶτα τὰ Ἀναστάσιμα τροπάρια. Ἦχος Πλ. ά. Τῶν Ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε. καὶ τὰ λοιπὰ καθίσματα. Τὸν τάφον σου Σωτήρ. καὶ Ἀνάγνωσις τῆς ἡμέρας. ὁ Πολυέλεος, κάθισμα, καὶ ἀνάγνωσις τῆς Ἑορτῆς. Οἱ Ἀναβαθμοί. τὸ ά. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον. Πᾶσα πνοή. Εὐαγγέλιον τῆς Ἑορτῆς. Ὁ Πεντηκοστός. Τὸ στιχηρὸν τῆς Ἑορτῆς. οἱ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς ή. καὶ τῆς ἡμέρας, μετὰ τῶν εἱρμῶν, εἰς ς'. Καταβασία, τὸν εἱρμὸν τῆς ἡμέρας, ὁμοῦ οἱ δύω Χοροί. Ἀπὸ γ'. ᾠδῆς, Κοντάκιον τῆς ἡμέρας, καὶ ἀνάγνωσις τῆς Ἑορτῆς. Πάλιν χαρᾶς εὐαγγέλια. Ἀφ' ἕκτης, Κοντάκιον τῆς Ἑορτῆς, καὶ ἀνάγνωσις εἰ ἔχει ἡ ὥρα. Ἐν τῇ θ'. ᾠδῇ. ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. τὸ, Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. Ἦχος β'. Ἐξαποστειλάριον τῆς Ἑορτῆς, δίς. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἡμέρας τοὺς γ'. β'. β'. καὶ τῆς Ἑορτῆς, προσόμοια. Ἦχος ά. καὶ ἰδιόμελα. Ἦχος Πλ. δ'. Εὐφραινέσθωσαν οἱ Οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. Στίχ. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας. Δόξα. Ἦχος Πλ. β'. Ἠτήσατο Ἰωσὴφ τὸ σῶμα τοῦ Ἰησοῦ. καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε Παρθένε. Δοξολογία μεγάλη. Ὁ δὲ Ἱερεὺς ἀλλάσσει ὅλην τὴν στολὴν αὐτοῦ, καὶ εἰσοδεύει μετὰ τοῦ Εὐαγγελίου. μετὰ δὲ τὸ Τρισάγιον λέγει, Σοφία ὀρθοί. Εἰσοδικὸν Τροπάριον. Ἦχος β'. Ὁ Εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελών. ὁ Ἱερεὺς Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία. Τροπάριον τῆς Προφητείας. Ὁ συνέχων τὰ πέρατα. Προκείμενον, Ἀπόστολος, Ἀλληλουϊά-

ριον,

Digitized by Google

σιον, καὶ Εὐαγγέλιον, τῆς ἡμέρας, ἡ Ἐκτενής, καὶ Ἀπόλυσις. Ἡ δὲ πρώτη ὥρα ψάλλεται ἐν ταῖς κελλίοις. Αἱ λοιπαὶ ψάλλονται ὁμοῦ λιτῶς ἐν τῷ Νάρθηκι, καὶ τὰ Τυπικά, χύμα ἤγουν, τό, Μνήσθητι ἡμῶν Κύριε ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. καὶ οἱ Μακαρισμοί, ἄνευ μέλους. Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε. καὶ λέγει, καὶ τὸ Ἄνες, ἄφες, συγχώρησον. τό, Πάτερ ἡμῶν. Κοντάκιον τῆς ἡμέρας. τό, Κύριε ἐλέησον, μ΄. καὶ ἀπόλυσις. Ἐν αὐταῖς λέγονται τὰ Τροπάρια τῆς ἑορτῆς πάντα. Τὰ δὲ Κοντάκια ἐναλλάσσονται. Ἐν δὲ τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ ἑσπέρας, Περὶ ὥραν ιβ΄. Σημαίνει τὸ μέγα. καὶ ἀλλάσσοντος τοῦ Ἱερέως στολὴν λαμπρὰν, καὶ εὐλογοῦντος, ἀρχόμεθα τοῦ Λυχνικοῦ. Δεῦτε προσκυνήσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ, ἐκ τρίτου. Μετὰ δὲ τὸν Ψαλμόν, συναπτή. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι΄. καὶ ψάλλομεν στιχηρὰ γ΄. Ἦχος α΄. Τὰς ἑσπερινὰς ἡμῶν Εὐχάς. καὶ τοῦ μεγάλου Σαββάτου, ἰδιόμελ. γ΄. Ἦχος Πλ. δ΄. Σήμερον ὁ ᾅδης στένων βοᾷ. καὶ τῆς Ἑορτῆς. τὰς δ΄. δ΄. δ΄. Δόξα. Ἦχος Πλ. β΄. τὴν σήμερον μυστικῶς ὁ μέγας Μωσῆς. καὶ νῦν. ὁ αὐτός. Ἀπεστάλη ἐξ Οὐρανοῦ, Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. τό, Φῶς ἱλαρόν. Προκείμενον οὐ λέγεται. Ἀλλ᾽ εὐθέως ὁ Ἱερεὺς, Σοφία. καὶ ἄρχονται τὰ Ἀναγνώσματα τῆς ἡμέρας κατὰ τὴν τάξιν αὐτῶν. Μετὰ δὲ τὴν τούτων συμπλήρωσιν, ἡ συναπτὴ τοῦ Τρισαγίου. ἀντὶ δὲ τοῦ Τρισαγίου. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον, ὁ Ἀπόστολος, πρῶτον τῆς ἡμέρας, εἶτα τῆς Ἑορτῆς. Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ μεγάλου Βασιλείου. Κοινωνικόν, τῆς Ἑορτῆς, καὶ τῆς ἡμέρας.

### Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῇ Ἁγίᾳ, καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ὁ Εὐαγγελισμός, τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα. Ἑσπέρας τῷ μεγάλῳ Σαββάτῳ, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι΄. καὶ ψάλλομεν τὰ στιχηρὰ Ἀναστάσιμα τρία. Ἦχος α΄. καὶ τοῦ μεγάλου Σαββάτου τὰ γ΄. Ἦχος Πλ. δ΄. Σήμερον ὁ ᾅδης στένων βοᾷ. καὶ τῆς Ἑορτῆς, ἰδιόμ. τὰς δ΄. δ΄. δ΄. Δόξα. Ἦχος Πλ. β΄. Τὴν σήμερον μυστικῶς ὁ μέγας Μωσῆς. καὶ νῦν. Ἦχος ὁ αὐτός. Ἀπεστάλη ἐξ Οὐρανοῦ, Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. τό, Φῶς ἱλαρόν. Προκείμενον δὲ οὐ λέγεται. Ἀλλ᾽ εὐθὺς ὁ Ἱερεὺς, Σοφία. καὶ ἀναγινώσκεται τὸ πρῶτον Ἀνάγνωσμα τῆς ἡμέρας. τό, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανόν, καὶ τὴν γῆν. εἶτα τὰ ε΄. Ἀναγνώσματα τοῦ Εὐαγγελισμοῦ. καὶ τὰ ἐπίλοιπα Ἀναγνώσματα τοῦ Πάσχα, κατὰ τὴν τάξιν αὐτῶν. καὶ ἡ λοιπὴ Ἀκολουθία τοῦ μεγάλου Βασιλείου. Εἰς τὴν παννυχίδα τοῦ μεγάλου Σαββάτου. ὁ Κανὼν τῆς Ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς η΄. Καταβασία, τὸν εἱρμὸν τῆς ἡμέρας, ὁμοῦ οἱ δύο Χοροί. Ἀπὸ τρίτης ᾠδῆς, Κοντάκιον τῆς Ἑορτῆς. ὁ Οἶκος. εἶτα κάθισμα τῆς ἡμέρας. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. καὶ Ἀνάγνωσις, Πάλιν χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἀφ᾽ ἕκτης. Κοντάκιον τῆς ἡμέρας. Ἐν τῇ θ΄. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. Μετὰ τὴν συναπτήν. Τρισάγιον. Τροπάριον. Ὅτε κατῆλθες πρὸς τὸν θάνατον. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. ἡ Ἐκτενής, καὶ ἀπόλυσις τῆς ἡμέρας. Ἐν ᾗ ὁ Ἐκκλησιάρχης διανέμει τὰ κηρία. Ὁ δὲ κανδηλάπτης, Σημαίνει τὸ μέγα, καὶ τὸ σιδηροῦν. καὶ μετὰ τὴν ἀνάγνωσιν ἐξερχόμεθα πάντες ἐν τῷ Νάρθηκι. προπορευομένου τοῦ Ἱερέως, μετὰ λαμπάδων. καὶ κλεισθεισῶν τῶν πυλῶν, Θυμιᾷ ὁ Ἱερεὺς ἐν τῷ Νάρθηκι ἅπαντας, ὡς ἔθος ἐστίν. Εἶτα ἵσταται ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν, καὶ θυμιᾷ σταυροειδῶς κατὰ ἀνατολάς, ἐκ τρίτου, λέγων. Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν. Ἄρχεται ὁ Ἱερεὺς, Τροπάριον. Ἦχος Πλ. α΄. Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. Ὁμοίως καὶ οἱ ἀδελφοὶ ψάλλουσι τὸ αὐτό. Λέγεται δὲ τρεῖς παρὰ τοῦ Ἱερέως, καὶ τρεῖς παρὰ τῶν ἀδελφῶν. εἶτα ὁ Ἱερεύς. στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός. στίχ. β΄. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος. στίχ. γ΄. Συστήσασθε Ἑορτὴν ἐν τοῖς πυκάζουσι. Λέγουσι δὲ οἱ ἀδελφοὶ καθ᾽ ἕκαστον στίχον τό, Χριστὸς ἀνέστη ἐκ νεκρῶν. καὶ αὖθις ὁ Ἱερεὺς λέγει μεγάλῃ τῇ φωνῇ, Χριστὸς ἀνέστη ἐκ νεκρῶν. καὶ ἀνοιγομένων τῶν πυλῶν, Εἰσοδεύει, προπορευομένων λαμπάδων, καὶ τοῦ προεστῶτος συνεφεπομένου, καὶ τῶν ἀδελφῶν ψαλλόντων τό, Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος. μετὰ δὲ τὸ εἰσελθεῖν τὸν Ἱερέα εἰς τὸ ἱερατεῖον. Δόξα. Ἦχος δ΄. καὶ λέγομεν, Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. καὶ νῦν. τὸ αὐτό. Εἶθ᾽ οὕτως ἡ συναπτή. καὶ μετὰ τὴν Ἐκφώνησιν, ἄρχεται ὁ προεστώς. Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί. Ἦχος α΄. καὶ ψάλλομεν τὸν Κανόνα τοῦ Πάσχα, μετὰ τῶν εἱρμῶν, εἰς η΄. καὶ τῆς Ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς ς΄. Καταβασία τοὺς εἱρμοὺς τῶν δύο Κανόνων ἀνὰ μέρος, οἱ δύο Χοροί. Ἀπὸ τρίτης ᾠδῆς, Κοντάκιον τοῦ Πάσχα, καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον, ἐπὶ τῆς φυλακῆς μου στήσομαι. Ἀφ᾽ ἕκτης Κοντάκιον τῆς Ἑορτῆς, καὶ ἀνάγνωσις. Ἀναστάσεως ἡμέρα. καὶ ἡ ἀρχὴ δεξιά. εἶτα Προκείμενον τῆς Ἑορτῆς. Ἦχος δ΄. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας. στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Πᾶσα πνοή. Εὐαγγέλιον τῆς Θεοτόκου. ἐκ τοῦ κατὰ Λουκᾶν. Ἀναστᾶσα Μαριάμ. εἶτα τὸ Ἀνάστασιν

Χρι-

Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον, ἐκ τρίτου, αὐτὸ τῆς Πεντηκοστῆς. Εἶθ' οὕτως, ἡ ζ΄. Ἐν τῇ θ΄. ᾠδῇ ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. Ἐξαποστειλάριον. Σαρκὶ ὑπνώσας ὡς θνητὸς, ἅπαξ. ϗ τῆς Ἑορτῆς, δίς. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στίχ. ς΄. στιχηρὰ ἀναστάσιμα δ΄. Ἦχος α΄. καὶ τῆς Ἑορτῆς, εἰς τὸν αὐτὸν Ἦχον, προσόμοια, ϗ δευτεροῦμεν τὸ πρῶτον μετὰ τὸν στίχ. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ Σωτήριον τοῦ Θεοῦ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. ἔπειτα, Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, ϗ εὐθὺς τὰ στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν στίχ. αὐτῶν. Δόξα. τῆς Ἑορτῆς. Ἦχος Πλ. δ΄. Εὐφραινέσθωσαν οἱ Οὐρανοί. ϗ νῦν. Ἦχος Πλ. α΄. Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει. τὸ, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ ἀσπασμὸς, ἡ Κατήχησις τοῦ Χρυσοστόμου, ἡ Ἐκτενὴς παρὰ τοῦ Ἱερέως, καὶ ἀπόλυσις. ἡ Λιτὴ δὲ οὐ γίνεται. Αἱ ὧραι ψάλλονται ὡς εἰσὶ τεταγμέναι ἐν τῇ μεγάλῃ Κυριακῇ. Εἰς τὴν Λειτουργίαν Ἀντίφωνα τοῦ Πάσχα. Μετὰ δὲ τὴν Εἴσοδον, καὶ τὸ Εἰσοδικὸν τοῦ Πάσχα τὸ πρῶτον, Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. Χριστὸς ἀνέστη ἐκ νεκρῶν. εἶτα Δόξα. τῆς Ἑορτῆς. Ἦχος δ΄. Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. καὶ νῦν Εἰ ϗ ἐν τάφῳ κατῆλθες ἀθάνατε. Ἀντὶ δὲ τοῦ Τρισαγίου. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Προκείμενον, Ἀπόστολον, Ἀλληλουϊάριον, ϗ Εὐαγγέλιον, πρῶτον τοῦ Πάσχα, εἶτα τῆς Ἑορτῆς. Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Χρυσοστόμου. Κοινωνικὸν τῆς Ἑορτῆς, καὶ τοῦ Πάσχα.

### Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῇ δευτέρᾳ, ἢ τῇ τρίτῃ, τῆς Διακαινησίμου.

Χρὴ εἰδέναι, ὅτι ἐὰν φθάσῃ ὁ Εὐαγγελισμὸς τῇ β΄. τῆς Διακαινησίμου, Ἑσπέρας τῇ Ἁγίᾳ ϗ μεγάλῃ Κυριακῇ, ἐν τῷ μικρῷ Ἑσπερινῷ, μετὰ τὸ εἰπεῖν τὸν ἱερέα, τὸ, Χριστὸς ἀνέστη, γ΄. καὶ γ΄. στίχ. Δόξα, καὶ νῦν, τὸ, Χριστὸς ἀνέστη, καὶ τὴν συναπτήν. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, δ΄. ϗ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα, δ΄. Ἦχος β΄. Δόξα, καὶ νῦν. Ἦχος β΄. Τὸ ἀπ' αἰῶνος μυστήριον ἀνακαλύπτεται σήμερον. εἶτα τὸ, Φῶς ἱλαρόν. ἄνευ Εἰσόδου. Προκείμενον. Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ ποιῶν θαυμάσια, ϗ στίχ. α΄. Τὸ Καταξίωσον Κύριε. Εἰς τὸν στίχον στιχηρὰ τοῦ στίχ. Ἦχος β΄. Ἡ Ἀνάστασίς σου Χριστὲ σωτήρ. ϗ τῆς Ἑορτῆς. ἰδιόμελ. μετὰ τῶν στίχ. αὐτῶν. Δόξα. Ἦχος β΄. Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. ϗ νῦν. Ἦχος Πλ. α΄. Ἀναστάσεως ἡμέρα, ϗ λαμπρυνθῶμεν τῇ πανηγύρει. τὸ, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, γ΄. Δόξα, ϗ νῦν. Ἦχος δ΄. Τροπάριον τῆς Ἑορτῆς. ἡ Ἐκτενὴς, ϗ ἀπόλυσις. Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ, μετὰ τὸ θυμιάσαι τὸν ἱερέα, ϗ εἰπεῖν τὸ, Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ ϗ ἀδιαιρέτῳ Τριάδι, λέγει τὸ, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, τρίς. ϗ τοὺς γ΄. στίχ. Δόξα. τὸ, Χριστὸς ἀνέστη. εἶτα τὴν συναπτήν. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι΄. ϗ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα γ΄. Ἦχος β΄. καὶ ἀνατολικὸν, ἕν, ϗ τῆς Ἑορτῆς, προσόμοια γ΄. Ἦχος Πλ. β΄. Βουλὴν προαιώνιον, εἰς ς΄. Δόξα, καὶ νῦν. Ἦχος Πλ. β΄. Ἀπεστάλη ἐξ Οὐρανοῦ, Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος, τὸ, Φῶς ἱλαρόν. Προκείμενον. Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ἡμῶν. ϗ τὰ ἐ΄. Ἀναγνώσματα τῆς Ἑορτῆς. εἶτα ὁ Ἱερεὺς, Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως, ϗ Εὐαγγέλιον κατὰ Ἰωάννην. Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ. Τέλος, οὐ μὴ πιστεύσω. Ἡ Ἐκτενής. τὸ, Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. Εἰς τὴν Λιτὴν ἰδιόμ. τοὺς γ΄. α΄. α΄. τῆς Ἑορτῆς. Δόξα, ϗ νῦν. Ἦχος β΄. Εὐαγγελίζεται ὁ Γαβριήλ. Εἰς τὸν στίχ. τὸ Ἀναστάσιμον στιχηρὸν τοῦ στίχ. Ἦχος β΄. Ἡ Ἀνάστασίς σου Χριστὲ σωτήρ. εἶτα στίχ. Ἀναστήτω ὁ Θεὸς, ϗ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ. Καὶ εὐθὺς τὰ τρία στιχηρ. τοῦ Πάσχα. Ἦχος Πλ. α΄. μετὰ τῶν στίχων αὐτῶν. Δόξα. Ἦχος δ΄. Σήμερον χαρᾶς εὐαγγέλια. ϗ νῦν. Ἦχος Πλ. α΄. Ἀναστάσεως ἡμέρα, ϗ λαμπρυνθῶμεν τῇ πανηγύρει. τὸ, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, τρίς. Τροπάριον τῆς Ἑορτῆς ἐκ γ΄. ἡ εὐλόγησις τῶν ἄρτων, καὶ ἡ διάδοσις. καὶ ἀνάγνωσις τῆς Ἑορτῆς. Εἰς τὸν Ὄρθρον, μετὰ τὸ εἰπεῖν τὸν ἱερέα τὸν εὐλογητὸν, καὶ τὸ, Χριστὸς ἀνέστη ἐκ γ΄. ϗ τοὺς τρεῖς στίχ. Δόξα. Ἦχος δ΄. Τροπάριον τῆς Ἑορτῆς. ϗ νῦν. τὸ αὐτό. εἶτα ἡ συναπτή. οἱ Ἀναβαθμοὶ, τὸ πρῶτον Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, Πᾶσα πνοή. ϗ Εὐαγγέλιον τῆς Ἑορτῆς. τὸ, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ τρίτου, αὐτὸ τῆς Πεντηκοστῆς. Δόξα. Ταῖς τῆς Θεοτόκου πρεσβείαις. ϗ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις. εἶτα λέγε στίχ. Ἦχος Πλ. β΄. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας. ϗ τὸ στιχηρ. ἰδιόμ. τῆς Ἑορτῆς. Ἦχος Πλ. β΄. Ἀπεστάλη ἐξ Οὐρανοῦ. ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Ὁ Λαὸς τὸ, Κύριε ἐλέησον, ιβ΄. ϗ Ἐκφώνησις. Ἐλέει ϗ οἰκτιρμοῖς ϗ φιλανθρωπίᾳ. Οἱ Κανόνες. Ὁ Ἀναστάσιμος μετὰ τῶν εἱρμῶν. εἰς ς΄. ϗ τῆς Ἑορτῆς μετὰ τῶν εἱρμῶν, εἰς η΄. Καταβασία τῆς Ἑορτῆς, ὁμοῦ οἱ δύο Χοροί. Ἀπὸ γ΄. ᾠδῆς, Κοντάκιον τοῦ Πάσχα. ϗ Κάθισμα τῆς Ἑορτῆς. ϗ ἀνάγνωσις, τὸ, Πάλιν χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἀφ' ἕκτης, Κοντάκιον τῆς Ἑορτῆς. ϗ ἀνάγνωσις τῆς ἡμέρας, εἰς τὸ κατὰ Ἰωάννην. Ἐν τῇ θ΄. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. Ἐξαποστειλάριον τοῦ Πάσχα, ϗ τῆς Ἑορ-



Digitized by Google

της, β΄. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα, γ΄. Ἦχος β΄. τῆς Ἑορτῆς προσόμοια, γ΄. Ἦχος α΄. πρὸς, Τῶν οὐρανίων ταγμάτων. εἶτα τὸ Ἀναστήτω ὁ Θεὸς, τὰ στιχηρὰ τοῦ Πάσχα. Ἦχος Πλ. α΄. τὰ γ΄. μετὰ τῶν στίχ. αὐτῶν. Δόξα. Ἦχος Πλ. δ΄. Εὐφραινέσθωσαν οἱ Οὐρανοί. καὶ νῦν. Ἦχος Πλ. α΄. Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν. τὸ, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, τρίς. Δόξα, καὶ νῦν. Τροπάριον τῆς Ἑορτῆς. ἡ Ἐκτενής. ἡ Κατήχησις τῆς Ἑορτῆς, καὶ ἀπόλυσις. εἶτα δίδοται ἅγιον ἔλαιον, καὶ ἡ Λιτὴ ἔξω τοῦ μοναστηρίου. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τοῦ Πάσχα. Χριστὸς ἀνέστη ἐκ νεκρῶν. καὶ τῆς Ἑορτῆς τὸ Τροπάριον. Δόξα. τὸ Κοντάκιον τοῦ Πάσχα. καὶ νῦν. τῆς Ἑορτῆς. Ἀντὶ δὲ τοῦ Τρισαγίου. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον, Ἀπόστολον, Ἀλληλουϊάριον, καὶ Εὐαγγέλιον, πρῶτον τῆς Ἑορτῆς, εἶτα τῆς ἡμέρας. Κοινωνικὸν, τῆς ἡμέρας καὶ τῆς Ἑορτῆς.

## Τῷ αὐτῷ Μηνὶ ΚΕ΄.

### Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας.

Ἑσπέρας ἀρχόμεθα τοῦ Ἑσπερινοῦ ἄνευ τοῦ μετανοιῶν.

Εἰς τὸ, **Κύριε ἐκέκραξα**, ἱστῶμεν Στίχους ι΄. καὶ ψάλλομεν τὸ Ἰδιόμελον τῆς ἡμέρας, δὶς, Μαρτυρικὸν δὲ οὐ λέγομεν, καὶ τὰ γ΄. προσόμοια τοῦ Τριῳδίου, καὶ τῆς Ἑορτῆς, γ΄. ποιοῦντες αὐτὰ ε΄. ἢ ς΄. προσόμοια. Ἦχος Πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Βουλὴν προαιώνιον, ἀποκαλύπτων σοι Κόρη, Γαβριὴλ ἐφέστηκε, σὲ κατασπαζόμενος καὶ φθεγγόμενος. Χαῖρε γῆ ἄσπορε. Χαῖρε βάτε ἄφλεκτε. Χαῖρε βάθος δυσθεώρητον. Χαῖρε ἡ γέφυρα, πρὸς τοὺς Οὐρανοὺς ἡ μετάγουσα, καὶ κλίμαξ ἡ μετάρσιος, ἣν ὁ Ἰακὼβ ἐθεάσατο. Χαῖρε θεία στάμνε, τοῦ Μάννα Χαῖρε λύσις τῆς ἀρᾶς. Χαῖρε Ἀδὰμ ἡ ἀνάκλησις, μετὰ σοῦ ὁ Κύριος.

Ὅμοιον.

Φαίνῃ μοι ὡς ἄνθρωπος, φησὶν ἡ ἄφθορος Κόρη, πρὸς τὸν Ἀρχιστράτηγον, καὶ πῶς φθέγγῃ ῥήματα ὑπὲρ ἄνθρωπον; μετ᾽ ἐμοῦ ἔφησας, τὸν Θεὸν ἔσεσθαι, καὶ σκηνώσαι ἐν τῇ μήτρᾳ μου. καὶ πῶς γενήσομαι, λέγε μοι χωρίον εὐρύχωρον; καὶ τόπος ἁγιάσματος, τοῦ τοῖς Χερουβὶμ ἐπιβαίνοντος; μή με δελεάσῃς, ἀπάτῃ. οὐ γὰρ ἔγνων ἡδονὴν. γάμου ὑπάρχω ἀμύητος, πῶς οὖν παῖδα τέξομαι;

Ὅμοιον.

Θεὸς ὅπου βούλεται, νικᾶται φύσεως τάξις, φησὶν ὁ ἀσώματος, καὶ τὰ ὑπὲρ ἄνθρωπον διαπράττεται. τοῖς ἐμοῖς πίστευε, ἀληθέσι ῥήμασι, Παναγία ὑπεράμωμε. ἡ δὲ ἐβόησε· γένοιτό μοι νῦν ὡς τὸ ῥῆμά σου, καὶ τέξομαι τὸν ἄσαρκον, σάρκα ἐξ ἐμοῦ δανεισάμενον, ὅπως ἀναγάγῃ τὸν ἄνθρωπον ὡς μόνος δυνατὸς, εἰς τὸ ἀρχαῖον ἀξίωμα, διὰ τῆς συγκράσεως.

Δόξα, καὶ νῦν.

Ἦχος Πλ. β΄.

Ἰωάννου Μοναχοῦ.

Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος, εὐαγγελίσασθαι τῇ Παρθένῳ τὴν σύλληψιν· καὶ ἐλθὼν εἰς Ναζαρὲτ, ἐλογίζετο ἐν ἑαυτῷ, τὸ θαῦμα ἐκπληττόμενος, ὅτι πῶς ὁ ἐν ὑψίστοις ἀκατάληπτος ὢν, ἐκ Παρθένου τίκτεται. ὁ ἔχων θρόνον Οὐρανὸν, καὶ ὑποπόδιον τὴν γῆν, ἐν μήτρᾳ χωρεῖται γυναικός. ᾧ τὰ Ἑξαπτέρυγα καὶ Πολυόμματα, ἀτενίσαι οὐ δύνανται, λόγῳ μόνῳ ἐκ ταύτης σαρκω-

θῆναι

σθῶσαι ηὐδόκησε. Θεοῦ ἐστὶ Λόγος ὁ παρών. τί οὖν ἵσταμαι, καὶ οὐ λέγω τῇ Κόρῃ; Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. Χαῖρε Ἁγνὴ Παρθένε. Χαῖρε Νύμφη ἀνύμφευτε. Χαῖρε Μήτηρ τῆς ζωῆς, εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου.

Εἴσοδος, τό, Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς Γενέσεως, ἡ Γένεσις καὶ ἡ Παροιμία, καὶ τὰ παρόντα τῆς Ἑορτῆς. Εἰ δὲ τύχῃ ἐν Σαββάτῳ Ἑσπέρας, λέγε. Εἰσῆλθε Μωσῆς, καὶ Κύριος ἔκτισέ με, καὶ ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Κεφ. κη΄. 10. Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαῤῥάν. Καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ Ἥλιος, καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν Οὐρανόν. καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον, καὶ κατέβαινον ἐπ᾽ αὐτήν. Ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ᾽ αὐτῆς, καὶ εἶπεν· ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ Πατρός σου, καὶ ὁ Θεὸς Ἰσαὰκ, μὴ φοβοῦ. ἡ γῆ, ἐφ᾽ ἧς σὺ καθεύδεις ἐπ᾽ αὐτῆς, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡσεὶ ἄμμος τῆς Γῆς, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν, καὶ λίβα καὶ Βοῤῥᾶν, καὶ ἐπὶ ἀνατολάς. καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγώ εἰμι μετὰ σοῦ διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς. καὶ ἐπιστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλείπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη καὶ εἶπεν· ὡς φοβερὸς ὁ τόπος οὗτος. οὐκ ἔστι τοῦτο, ἀλλ᾽ ἢ οἶκος Θεοῦ. καὶ αὕτη ἡ πύλη τοῦ Οὐρανοῦ.

Προφητείας Ἰεζεκιήλ.

Κεφ. μγ΄. 17. Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης, καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ Θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν, καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ Ἀνατολὰς, καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι᾽ αὐτῆς. Ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι᾽ αὐτῆς, καὶ ἔσται κεκλεισμένη, διότι ὁ Ἡγούμενος οὗτος καθήσεται ἐπ᾽ αὐτῇ τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου. κατὰ τὴν ὁδὸν τοῦ Ἐλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς πρὸς Βοῤῥᾶν, κατέναντι τοῦ οἴκου, καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κεφ. θ΄. 9. Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασσεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος, ὡς ἐπὶ κρατῆρα λέγουσα· ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με. καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν. Ἔλθετε φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν· ἀπολίπετε ἀφροσύνην, καὶ ζήσεσθε. καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει. Ὁ παιδεύων κακοὺς, λήψεται ἑαυτῷ ἀτιμίαν. ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν. (οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ.) Μὴ ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε. ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας, φόβος Κυρίου, καὶ βουλὴ Ἁγίων, σύνεσις. (τὸ δὲ γνῶναι Νόμον, διανοίας ἐστὶν ἀγαθῆς.) Τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς. Καὶ ἡ Θεία Λειτουργία τῶν Προγιασμένων.

Εἰς

Digitized by Google

Εἰς δὲ τὴν τράπεζαν καταλύομεν ἔλαιον, καὶ πίνομεν οἶνον, οἷα ἡμέρα τύχῃ, διὰ τὴν δόξαν καὶ ἀντίληψιν τῆς Ὑπεραγίας Θεοτόκου.

Δεῖ εἰδέναι, ὡς εἰ τύχῃ ἡ σεβασμία αὕτη ἑορτὴ τῇ ε΄. τοῦ μεγάλου Κανόνος, ψάλλεται ὁ μέγας Κανὼν τῇ γ΄. τῆς αὐτῆς Ἑβδομάδος. Περὶ δὲ ὥραν α΄. τῆς νυκτὸς, σημαίνει, καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ, καὶ ψάλλομεν τὰ Ἀπόδειπνα. μετὰ δὲ τὸ, **Δόξα ἐν ὑψίστοις Θεῷ**, ποιοῦμεν τὴν συνήθη λιτὴν, καὶ ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Τῆς Ἑορτῆς. Ἦχος α΄. Βυζαντος.

**Τῷ ἕκτῳ Μηνὶ, ὁ Ἀρχιστράτηγος ἀπεστάλη πρὸς σὲ τὴν Παρθένον καὶ Ἁγνὴν, μηνῦσαι σοι τὸν λόγον τῆς σωτηρίας, ἅμα δὲ καὶ καλέσαι σε. Χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ. τέξεις Υἱὸν, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς, καὶ σώσει τὸν λαὸν αὐτοῦ, ἐκ τῶν πταισμάτων αὐτῶν.**

Ὁ αὐτός. Ἀνατολίου.

**Ἐν τῷ Μηνὶ τῷ ἕκτῳ, ἀπεστάλη οὐρανόθεν Γαβριὴλ ὁ Ἀρχάγγελος, ἐν Πόλει τῆς Γαλιλαίας Ναζαρὲτ, κομίσαι τῇ Κόρῃ χαρᾶς εὐαγγέλια. καὶ προσελθὼν πρὸς αὐτὴν, ἐβόησε λέγων· Χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ· Χαῖρε δοχεῖον τῆς ἀχωρήτου φύσεως· ὃν γὰρ Οὐρανοὶ οὐκ ἐχώρησαν, ἡ νηδύς σου κεχώρηκεν εὐλογημένη. Χαῖρε σεμνὴ τοῦ Ἀδὰμ ἡ ἀνάκλησις, καὶ τῆς Εὔας ἡ λύτρωσις, καὶ χαρὰ τοῦ Κόσμου, ἀγαλλίασις τοῦ γένους ἡμῶν.**

Ὁ αὐτός.

**Ἀπεστάλη Ἄγγελος Γαβριὴλ, οὐρανόθεν ἐκ Θεοῦ πρὸς Παρθένον ἀμόλυντον, εἰς Πόλιν τῆς Γαλιλαίας Ναζαρὲτ, εὐαγγελίσασθαι αὐτῇ τοῦ ξένου τόπου τὴν σύλληψιν. ἀπεστάλη δοῦλος ἀσώματος, πρὸς ἔμψυχον Πόλιν καὶ πύλην νοερὰν, μηνῦσαι Δεσποτικῆς παρουσίας τὴν συγκατάβασιν. ἀπεστάλη στρατιώτης οὐράνιος, πρὸς τὸ ἔμψυχον τῆς δόξης Παλάτιον, προετοιμάσαι τῷ Κτίστῃ κατοικίαν ἄληκτον· καὶ προσελθὼν πρὸς αὐτὴν ἐκραύγαζε· Χαῖρε θρόνε πυρίμορφε, τῶν τετραμόρφων ὑπερενδοξοτέρα. Χαῖρε καθέδρα Βασιλικὴ οὐράνιε. Χαῖρε ὄρος ἀλατόμητον, δοχεῖον πανέντιμον. ἐν σοὶ γὰρ πᾶν τὸ πλήρωμα κατῴκησε, τῆς Θεότητος σωματικῶς, εὐδοκίᾳ Πατρὸς ἀϊδίου, καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.**

Δόξα, καὶ νῦν. Ἦχος β΄. Κοσμᾶ Μοναχοῦ

**Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. χαῖρε ἀνύμφευτε Κόρη καὶ ἀπειρόγαμε. μὴ καταπλαγῇς τὴν ξένην μου μορφὴν. μηδὲ δειλιάσῃς, Ἀρχάγγελος εἰμί. ὄφις ἐξηπάτησεν Εὔαν ποτέ. νῦν εὐαγγελίζομαί σοι τὴν χαρὰν, καὶ μενεῖς ἄφθορος, καὶ τέξεις τὸν Κύριον ἄχραντε.**

Καὶ αἱ συνήθεις εὐχαὶ παρὰ τοῦ Ἱερέως. Εἶτα εἰσερχόμεθα ἐν τῷ Ναῷ ψάλλοντες τὰ Ἰδιόμελα. Ἦχος δ΄.

**Τῷ ἕκτῳ Μηνὶ, ἀπεστάλη ὁ Ἀρχάγγελος πρὸς Παρθένον Ἁγνὴν. καὶ χαίρειν αὐτῇ προσειπὼν, εὐηγγελίσατο ἐξ αὐτῆς τὸν Λυτρωτὴν προελθεῖν. ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον Θεὸν, τὸν ἀφράστως εὐδοκήσαντα ἐνανθρωπῆσαι, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.**

Στ. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας.

**Γλῶσσαν ἣν οὐκ ἔγνω, ἤκουσεν ἡ Θεοτόκος. ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος, τοῦ Εὐαγγελισμοῦ τὰ ῥήματα. ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν. διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι· ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεὸς, εἰρήνην τῷ Κόσμῳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.**

Στ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

**Ἰδοὺ ἡ ἀνάκλησις νῦν ἐπέφανεν ἡμῖν, ὑπὲρ λόγον ὁ Θεὸς τοῖς ἀνθρώποις ἑνοῦται. Ἀρχαγγέλου τῇ φωνῇ ἡ πλάνη ἐκμειοῦται, ἡ Παρθένος γὰρ δέχεται τὴν χαρὰν. τὰ ἐπίγεια γέγονεν Οὐρανός. ὁ Κόσμος λέλυται τῆς ἀρχαίας ἀρᾶς. ἀγαλλιάσθω**



Digitized by Google

θω ἡ Κτίσις, καὶ φωναῖς ἀσυμμέτρως. ὁ ποιητὴς καὶ λυτρωτὴς ἡμῶν, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Ἦχος δ'.

Ἀνδρέου Ἱεροσολυμίτου.

Σήμερον χαρᾶς Εὐαγγέλια· παρθενικὴ πανήγυρις. τὰ κάτω τοῖς ἄνω συνάπτεται. ὁ Ἀδὰμ καινουργεῖται, ἡ Εὔα τῆς πρώτης λύπης ἐλευθεροῦται, καὶ ἡ σκηνὴ τῆς καθ' ἡμᾶς οὐσίας, τῇ θεώσει τοῦ προσληφθέντος φυράματος, Ναὸς Θεοῦ κεχρημάτικεν. ὢ Μυστήριον. ὁ τρόπος τῆς κενώσεως ἄγνωστος, ὁ τρόπος τῆς συλλήψεως ἄφραστος. Ἄγγελος λειτουργεῖ τῷ θαύματι, παρθενικὴ γαστὴρ τὸν υἱὸν ὑποδέχεται. Πνεῦμα Ἅγιον καταπέμπεται. Πατὴρ ἄνωθεν εὐδοκεῖ, καὶ τὸ συνάλλαγμα κατὰ κοινὴν πραγματεύεται βούλησιν. ἐν ᾧ καὶ δι' οὗ σωθέντες, συνῳδὰ τῷ Γαβριὴλ, πρὸς τὴν Παρθένον βοήσωμεν. Χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ· ἐξ ἧς ἡ σωτηρία Χριστὸς ὁ Θεὸς ἡμῶν, τὴν καθ' ἡμᾶς προσλαβόμενος φύσιν, πρὸς ἑαυτὸν ἐπανήγαγεν. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα τὸ Τρισάγιον, καὶ εὐθὺς τὸ Ἀπολυτίκιον. Ἦχος δ'.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις. ὁ Υἱὸς τοῦ Θεοῦ Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Καὶ ἡ εὐλόγησις τῶν ἄρτων, καὶ ἡ διάδοσις κατὰ τὸν τύπον.

Εἰς δὲ τὸν Ὄρθρον, εἰς τὸ, Θεὸς Κύριος, Τὸ προγραφὲν Τροπάριον, ἐκ γ'. καὶ ἡ συνήθης στιχολογία. τῶν γ'. Καθισμάτων. εἰς τὴν α'. στιχολ. κάθισμα. τὰ β'. τοῦ Τριῳδίου.

Αἰτήσεις δὲ οὐ λέγομεν. εἰς δὲ τὴν δευτέραν στιχολ. κάθισμα. Ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Ὁ μέγας Στρατηγὸς, τῶν αὔλων ταγμάτων, εἰς Πόλιν Ναζαρὲτ, ἐπιστὰς Βασιλέα, μηνύει σοι Ἄχραντε, τῶν αἰώνων καὶ Κύριον. Χαῖρε λέγων σοι, εὐλογημένη Μαρία, ἀκατάληπτον, καὶ ἀνερμήνευτον θαῦμα, βροτῶν ἡ ἀνάκλησις.

Ἕτερον. Ἦχος γ'. Τὴν ὡραιότητα.

Σήμερον ἅπασα Κτίσις ἀγάλλεται, ὅτι τὸ χαῖρέ σοι φωνεῖ Ἀρχάγγελος. εὐλογημένη σὺ Σεμνὴ, καὶ Ἄχραντε παναμώμητε. σήμερον τοῦ ὄφεως ἀμαυροῦται τὸ φρύαγμα. ἀρᾶς γὰρ διαλέλυται τοῦ Προπάτορος σύνδεσμος. διὸ καὶ κατὰ πάντα βοῶμέν σοι· Χαῖρε ἡ κεχαριτωμένη.

Μετὰ δὲ τὸν Πολυέλεον, ποιοῦμεν τὰς αἰτήσεις, καὶ ψάλλομεν.

Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Γαβριὴλ ἐξ Οὐρανοῦ, τὸ χαῖρε κράζει τῇ Σεμνῇ, ὅτι συλλήψῃ ἐν γαστρὶ, τὸν προαιώνιον Θεὸν, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον, ὅθεν Μαριὰμ ἀπεφθέγγετο, ἄνανδρος εἰμὶ, καὶ πῶς τέξω Υἱόν; ἄσπορον γονὴν τίς ἑώρακε; καὶ ἑρμηνεύων ἔλεγεν, ὁ Ἄγγελος τῇ Θεοτόκῳ καὶ Παρθένῳ· ἐλεύσεταί σοι, Ἅγιον Πνεῦμα, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Δόξα. τὸ αὐτό. καὶ νῦν. θεοτ. Ὅμοιον.

Ἀπεστάλη Γαβριὴλ πρὸς τὴν Παρθένον καὶ ἁγνὴν, καὶ ἐμήνυσεν αὐτῇ τὴν ἀνεκλάλητον χαρὰν, ὅτι ἀσπόρως συλλήψῃ, καὶ οὐ φθαρήσῃ. τέξῃ γὰρ Υἱὸν τὸν πρὸ αἰώνων Θεὸν, καὶ σώσει τὸν λαὸν ἐκ τῶν πταισμάτων αὐτῶν, καὶ μαρτυρεῖ ὁ πέμψας με, εἰπεῖν σοι εὐλογημένη τὸ χαῖρε. Παρθένος τίκτεις, καὶ μετὰ τόκον, πάλιν μένεις Παρθένος.

Οἱ Ἀναβαθμοὶ, τὸ α'. Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον. Ἦχος δ'.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας.

στ. Ἄσατε τῷ Κυρίῳ. τὸ, Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἀναστᾶσα Μαριὰμ ἐπορεύθη.

Δόξα. Ταῖς τῆς Θεοτόκου πρεσβείαις.

Καὶ νῦν. τὸ αὐτό. Εἶτα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Ἦχος β. Εὐαγγελίζεται ὁ Γαβριήλ.

Ζήτει εἰς τὴν Λιτήν.

Εἰ τύχῃ ἐν Κυριακῇ ἡ Ἑορτὴ, λέγε τὰ ... αὐτῆς

αὐτὸ Εὐαγγέλιον, καὶ τὰ λοιπά. καθὼς εἰσὶ γεγραμμένα. Ὁ Κανὼν, Οὗ ἡ ἀκροστιχίς.

Κατὰ Ἀλφάβητον.

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμὸς, ἐκ β'. καὶ τὰ Τροπάρια, εἰς ιβ'.

Ἰωάννου Μοναχοῦ. Ἀνοίξω τὸ στόμα μου.

Ἀδέτω σοι Δέσποινα, κινῶν τὴν λύραν τοῦ Πνεύματος, Δαβὶδ ὁ Προπάτωρ σου· ἄκουσον Θύγατερ, τὴν χαρμόσυνον, φωνὴν τὴν τοῦ Ἀγγέλου. χαρὰν γὰρ μηνύει σοι, τὴν ἀνεκλάλητον.

Ὁ Ἄγγελος.

Βοῶ σοι γηθόμενος, κλῖνον τὸ οὖς σου καὶ πρόσχες μοι, Θεοῦ καταγγέλλοντι σύλληψιν ἄσπορον. εὗρες χάριν γὰρ, ἐνώπιον Κυρίου. ἣν εὗρεν οὐδέ ποτε, ἄλλη τις Πάναγνε.

Ἡ Θεοτόκος.

Γνωσθήτω μοι Ἄγγελε, τῶν σῶν ῥημάτων ἡ δύναμις. πῶς ἔσται ὃ εἴρηκας, λέγε σαφέστατα; πῶς συλλήψομαι, Παρθένος οὖσα Κόρη; πῶς δὲ καὶ γενήσομαι, Μήτηρ τοῦ Κτίστου μου;

Ὁ Ἄγγελος.

Δολίως με φθέγγεσθαι, διαλογίζῃ ὡς ἔοικε, καὶ χαίρω θεώμενος, τὴν σὴν ἀσφάλειαν. θάρσει Δέσποινα, Θεοῦ γὰρ βουλομένου, ῥαδίως περαίνεται, καὶ τὰ παράδοξα.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ἡ Θεοτόκος.

Ἐξέλιπεν Ἄρχων ἐξ Ἰούδα, ὁ χρόνος ἐπέστη δὲ λοιπὸν, καθ' ὃν ἀναφανήσεται, ἡ τῶν Ἐθνῶν ἐλπὶς ὁ Χριστός. σὺ δὲ πῶς τοῦτον τέξομαι, Παρθένος οὖσα σαφήνισον.

Ὁ Ἄγγελος.

Ζητεῖς παρ' ἐμοῦ γνῶναι Παρθένε, τὸν τρόπον συλλήψεως τῆς σῆς, ἀλλ' οὗτος ἀνερμήνευτος, τὸ Πνεῦμα δὲ τὸ Ἅγιον, δημιουργῷ δυνάμει σοι, ἐπισκιάσαν ἐργάσεται.

Ἡ Θεοτόκος.

Ἡ ἐμὴ Προμήτωρ δεξαμένη, τὴν γνώμην τοῦ ὄφεως τρυφῆς, τῆς θείας ἐξωστράκισται. διόπερ κἀγὼ δέδοικα, τὸν ἀσπασμὸν τὸν ξένον σου, εὐλαβουμένη τὸν ὄλισθον.

Ὁ Ἄγγελος.

Θεοῦ παραστάτης ἀπεστάλην, τὴν θείαν μηνύσαι σοι βουλήν. τί με φοβῇ Πανάμωμε, τὸν μᾶλλόν σε φοβούμενον; τί εὐλαβῇ με Δέσποινα, τὸν σὲ σεπτῶς εὐλαβούμενον;

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. Ἦχος Πλ. δ'. Αὐλῶν Ποιμενικῶν.

Ὁ Λόγος τοῦ Θεοῦ ἐπὶ γῆς νῦν κατῆλθεν. ὁ Ἄγγελος βοῶν τῇ Παρθένῳ ἐπέστη. Χαῖρε εὐλογημένη, ἡ τὴν σφραγῖδα μόνη φυλάξασα, ἐν μήτρᾳ δεξαμένη τὸν πρὸ αἰώνων Λόγον καὶ Κύριον, ἵνα ἐκ πλάνης σώσῃ ὡς Θεὸς, τὸ γένος τῶν ἀνθρώπων.

Δόξα. τὸ αὐτό. Καὶ νῦν. Ἦχος δ'. Πρὸς τὸ, Κατεπλάγη Ἰωσήφ. Ἀπεστάλη Γαβριήλ. Ζήτει ὄπισθεν.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ἡ Θεοτόκος.

Τεράστιον Παρθένον, τεξομένην ἀκήκοα, τοῦ Προφήτου πάλαι, τὸν Ἐμμανουὴλ προθεσπίσαντος. ἐπιποθῶ δὲ τοῦ γνῶναι, πῶς Θεότητος, τὴν ἀνάκρασιν, φύσις βροτῶν ὑποστήσεται;

Ὁ Ἄγγελος.

Κατεμήνυσεν ἡ Βάτος, ἀκατάφλεκτος μείνασα, δεξαμένη φλόγα, κεχαριτωμένη ἀνύμφευτε, τοῦ κατὰ σὲ Μυστηρίου τὸ ἀπόρρητον. μετὰ τόκον γὰρ, μενεῖς Ἁγνὴ Ἀειπάρθενος.

Ἡ Θεοτόκος.

Λαμπρυνόμενος τῷ φέγγει, τοῦ Θεοῦ παντοκράτορος, ἀληθείας κῆρυξ, λέγε Γαβριὴλ ἀληθέστατα. πῶς ἀκηράτου μενούσης τῆς ἁγνείας μου, Λόγον τέξομαι, μετὰ σαρκὸς τὸν ἀσώματον.

Ὁ Ἄγγελος.

Μετὰ δέους σοι ὡς δοῦλος, τῇ Κυρίᾳ παρέσταμαι, μετὰ φόβου Κόρη, νῦν κατανοεῖν εὐλαβοῦμαί σε. ὡς ὑετὸς ἐπὶ πόκον καταβήσεται, ἐπὶ σὲ Λόγος, ὁ τοῦ Πατρὸς ὡς ηὐδόκησε.

Καταβασία. Ὁ καθήμενος ἐν δόξῃ.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.



Digitized by Google

Ἡ Θεοτόκος.

Νοεῖν σου οὐ δύναμαι, τῶν λόγων τὴν ἀκρίβειαν. θαύματα γὰρ γέγονε πολλάκις, θείᾳ δυνάμει τερατουργούμενα, σύμβολα καὶ τύποι νομικοί, τέτοκε παρθένος δὲ, ἀπειράνδρως οὐδέ ποτε.

Ὁ Ἄγγελος.

Ξενίζῃ πανάμωμε, καὶ ξένον γὰρ τὸ θαῦμά σου. μόνη γὰρ τῶν πάντων Βασιλέα, τέξῃ ἐν μήτρᾳ σαρκωθησόμενον. καὶ σὲ προτυποῦσι Προφητῶν, ῥήσεις καὶ αἰνίγματα, καὶ τοῦ Νόμου τὰ σύμβολα.

Ἡ Θεοτόκος.

Ὁ πᾶσιν ἀχώρητος, καὶ πᾶσιν ἀθεώρητος, πῶς οὗτος δυνήσεται Παρθένου, μήτραν οἰκῆσαι ἣν αὐτὸς ἔπλασε; πῶς δὲ καὶ συλλήψομαι Θεόν, Λόγον τὸν συνάναρχον, τῷ Πατρὶ, καὶ τῷ Πνεύματι.

Ὁ Ἄγγελος.

Πρὸς τὸν σὸν Προπάτορα, Δαβὶδ ἐπαγγειλάμενος, θήσειν ἐκ καρποῦ τῆς σῆς κοιλίας, ἐπὶ τοῦ θρόνου τῆς Βασιλείας αὐτοῦ, τὴν τοῦ Ἰακὼβ σε καλλονὴν, μόνην ἐξελέξατο, λογικὸν ἐνδιαίτημα.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν „τριήμερον, ὁ Προφήτης, Ἰωνᾶς ἐν „τῷ κήτει δεόμενος, ἐκ φθορᾶς με ῥῦσαι, „Ἰησοῦ Βασιλεῦ τῶν δυνάμεων.

Ἡ Θεοτόκος.

Ῥημάτων σου, τὴν φωνὴν Γαβριὴλ, τὴν χαρμόσυνον, δεξαμένη, εὐφροσύνης ἐνθέου πεπλήρωμαι. χαρὰν γὰρ μηνύεις, καὶ χαρὰν καταγγέλλεις τὴν ἄληκτον.

Ὁ Ἄγγελος.

Σοὶ δέδοται, ἡ χαρὰ Θεομῆτορ ἡ ἔνθεος, σοὶ τὸ χαῖρε, πᾶσα Κτίσις κραυγάζει Θεόνυμφε. σὺ γὰρ μόνη Μήτηρ, τοῦ Υἱοῦ τοῦ Θεοῦ προωρίσθης Ἁγνή.

Ἡ Θεοτόκος.

Τῆς Εὔας μου, δι' ἐμοῦ καταργείσθω κατάκριμα, ἀποδότω, δι' ἐμοῦ τὸ ὀφείλημα σήμερον, δι' ἐμοῦ τὸ χρέος, τὸ ἀρχαῖον δοθήτω πληρέστατον.

Ὁ Ἄγγελος.

Ὑπέσχετο, ὁ Θεὸς Ἀβραὰμ τῷ Προπάτορι, εὐλογεῖσθαι, ἐν τῷ σπέρματι τούτου τὰ Ἔθνη Ἁγνή, διὰ σοῦ δὲ πέρας, ἡ ὑπόσχεσις δέχεται σήμερον.

Καταβασία. Ἐβόησε, προτυπῶν.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε. ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι· Χαῖρε Νύμφη ἀνύμφευτε.

Ὁ Οἶκος.

Ἄγγελος πρωτοστάτης, Οὐρανόθεν ἐπέμφθη εἰπεῖν τῇ Θεοτόκῳ τὸ χαῖρε, καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ. σωματούμενόν σε θεωρῶν, Κύριε, ἐξίστατο, καὶ ἵστατο κραυγάζων, πρὸς αὐτὴν τοιαῦτα.

Χαῖρε δι' ἧς ἡ χαρὰ ἐκλάμψει,
Χαῖρε δι' ἧς ἡ ἀρὰ ἐκλείψει.
Χαῖρε τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις,
Χαῖρε τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.
Χαῖρε ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς.
Χαῖρε βάθος δυσθεώρητον καὶ Ἀγγέλων ὀφθαλμοῖς.
Χαῖρε ὅτι ὑπάρχεις Βασιλέως καθέδρα,
Χαῖρε ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα.
Χαῖρε Ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον,
Χαῖρε Γαστὴρ ἐνθέου Σαρκώσεως.
Χαῖρε δι' ἧς νεουργεῖται ἡ Κτίσις.
Χαῖρε δι' ἧς βρεφουργεῖται ὁ Κτίστης.
Χαῖρε Νύμφη ἀνύμφευτε.

Τῷ αὐτῷ Μηνὶ ΚΕ΄. Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας.

Στ. Ἤγγειλεν Υἱὸν Ἄγγελος τῇ Παρθένῳ, Πατρὸς, μεγίστης Ἄγγελον βουλῆς μέγαν.
Γήθεο τῇ Μαρίῃ ἔφατ' Ἄγγελος εἰκάδι πέμπτῃ.

Ὁ φιλάνθρωπος καὶ ἐλεήμων Θεὸς, ὁ πάντοτε φροντίζων τοῦ γένους τῶν ἀνθρώπων, ὡς Πατὴρ φιλόστοργος, θεωρῶν τῶν χειρῶν αὐτοῦ τὸ πλαστούργημα καταδυ-

λυ-

Digitized by Google

λυμένον, καὶ τυραννούμενον ὑπὸ τοῦ Διαβόλου, καὶ πρὸς τὰ πάθη τῆς ἀτιμίας ὑπαγόμενον, καὶ τῇ Εἰδωλολατρείᾳ ὑποκείμενον, ἠβουλήθη ἐξαποστεῖλαι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τοῦ λυτρώσασθαι αὐτὸ ἐκ τῶν τοῦ διαβόλου χειρῶν. Ἐπεὶ δὲ ἠθέλησε λαθεῖν, οὐ μόνον τὸν Σατανᾶν, ἀλλὰ καὶ αὐτὰς τὰς οὐρανίους Δυνάμεις, σὺν τῷ Ἀρχαγγέλῳ, Γαβριὴλ τῷ ἐνδόξῳ, θαῤῥεῖ τὸ Μυστήριον. προοικονομεῖ δὲ γεννηθῆναι, καὶ τὴν Ἁγίαν Παρθένον καθαρὰν, ὡς ἀξίαν οὖσαν τοιούτου καλοῦ. καὶ ἐλθὼν ὁ Ἄγγελος εἰς Πόλιν Ναζαρὲτ, λέγει αὐτῇ. ΧΑΙΡΕ ΚΕΧΑΡΙΤΩΜΕΝΗ Ο ΚΥΡΙΟΣ ΜΕΤΑ ΣΟΥ. Ἡ δὲ εἶπε· καὶ πῶς ἔσται μοι τοῦτο; Ὁ δὲ ἔφη· Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Καὶ εἶπεν. ΙΔΟΥ Η ΔΟΥΛΗ ΚΥΡΙΟΥ ΓΕΝΟΙΤΟ ΜΟΙ ΚΑΤΑ ΤΟ ΡΗΜΑ ΣΟΥ. Καὶ ἅμα τῷ λόγῳ τοῦ Ἀρχαγγέλου καὶ αὐτῆς, συνέλαβεν ὑπερφυῶς ἐν τῇ ἀχράντῳ γαστρὶ, τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, Σοφίαν αὐτοῦ ἐνυπόστατον καὶ δύναμιν οὖσαν, αὐτοῦ τῇ ἐπισκιάσει, καὶ τῇ τοῦ Ἁγίου Πνεύματος ἐπελεύσει. Ἔκτοτε δὲ ἐτελέσθη τὰ Μυστήρια τοῦ Θεοῦ Λόγου οἰκονομικῶς διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ ἀπολύτρωσιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἐν τῷ Κυρίῳ Πάσχα Ἀνάστασις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

Στίχ. Χριστὸς κατελθὼν πρὸς πάλην ᾅδου μόνος,

Πολλὰ λαβὼν ἀνῆλθε τῆς νίκης σκῦλα.

Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ Κτίσει.

Ἡ Θεοτόκος.

Φῶς τὸ ἄϋλον μηνύων ὕλῃ σώματος, ἐνωθησόμενον, δι' εὐσπλαγχνίαν πολλὴν, φαιδρὸν Εὐαγγέλιον, θεῖα κηρύγματα, νῦν κραυγάζεις μοι. εὐλογημένος Πανάγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὁ Ἄγγελος.

Χαῖρε Δέσποινα Παρθένε χαῖρε Πανάγνε, χαῖρε δοχεῖον Θεοῦ, χαῖρε λυχνία φωτός· Ἀδὰμ ἡ ἀνάκλησις, Εὔας ἡ λύτρωσις· ὄρος ἅγιον, περιφανὲς ἁγίασμα, καὶ νυμφὼν ἀθανασίας.

Ἡ Θεοτόκος.

Ψυχὴν ἥγνισε καὶ σῶμα καθηγίασε, Ναὸν εἰργάσατο, χωρητικόν με Θεοῦ, σκηνὴν Θεοκόσμητον, ἔμψυχον τέμενος, ἡ ἐπέλευσις, τοῦ Παναγίου Πνεύματος, καὶ ζωῆς ἁγνὴν Μητέρα.

Ὁ Ἄγγελος.

Ὡς πολύφωτον λαμπάδα καὶ Θεότευκτον, παστάδα βλέπω σε, νῦν ὡς χρυσῆν κιβωτὸν, τοῦ Νόμου τὸν πάροχον δέχου παναμωμε, εὐδοκήσαντα, τὴν τῶν ἀνθρώπων ῥύσασθαι, διὰ σοῦ φθαρτὴν οὐσίαν.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ἴστεον ὅτι αὗται αἱ β΄. ᾠδαὶ περιέχουσιν ἀκροστιχίδα τὴν κατὰ Ἀλφάβητον, ἡ μὲν ὀγδόη, ὀρθῶς, ἡ δὲ θ΄. ἀντιστρόφως.

Ὠδὴ η΄. Ὁ Εἱρμός. Ὁ Ἄγγελος.

„Ἄκουε Κόρη Παρθένε Ἁγνή. εἰπάτω δὴ ὁ Γαβριήλ. Βουλὴν ὑψίστου „ἀρχαίαν ἀληθινήν. Γενοῦ πρὸς ὑπο„δοχὴν ἑτοίμη Θεοῦ. Διὰ σοῦ γὰρ ὁ „ἀχώρητος βροτοῖς ἀναστραφήσεται. διὸ „καὶ χαίρων βοῶ· εὐλογεῖτε, πάντα τὰ „ἔργα Κυρίου τὸν Κύριον.

Ἡ Θεοτόκος.

Ἔννοια πᾶσα ἡττᾶται βροτῶν. ἀντέφησον ἡ Παρθένος. Ζητοῦσα ἅπερ μοι φθέγγῃ παράδοξα. Ἤθελον σου τοῖς λόγοις ἀλλὰ δέδοικα. Θαμβηθεῖσα μὴ ἀπάτῃ με, ὡς Εὔαν πόῤῥω πέμψῃς Θεοῦ· ἀλλ' ὅμως ἴδε βοᾷς, εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ Ἄγγελος.

Ἴδε σοι τὸ ἄπορον λέλυται, φησὶ πρὸς ταῦτα ὁ Γαβριήλ. Καλῶς γὰρ ἔφης τὸ πρᾶγμα δυσέκφραστον. Λόγοις σῶν χειλέων πειθαρχοῦσα λοιπόν. Μὴ ἀμφίβαλλε ὡς πλάσματι, ὡς πράγματι δὲ πίστευε. ἐγὼ γὰρ χαίρων βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἡ Θεοτόκος.

Νόμος οὗτος Θεόθεν βροτοῖς, ἡ ἄνω-



Digitized by Google

πτος αὖθις φησί. Ξενὸν ἐξ ἔρωτος τόκον προέρχεσθαι. Οὐκ οἶδα συζύγε παντελῶς ἡδονῆς. Πῶς οὖν λέγεις ὅτι τέξομαι; φοβοῦμαι μὴ ἀπάτη λαλῇς, ἀλλ' ὅμως ἴδε βοᾷς. εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίε τὸν Κύριον.

Ὁ Ἄγγελος.

Ῥήματα ἅπερ μοι φθέγγῃ σεμνή, ὁ Ἄγγελος πάλιν βοᾷ. Συνήθεις πέλει λοχείας ἀνθρώπων θνητῶν. Τὸν ὄντως Θεόν σοι ἐπαγγέλλομαι, Ὑπὲρ λόγον τε καὶ ἔννοιαν, σαρκούμενον ὡς οἶδεν ἐκ σοῦ· διὸ καὶ χαίρων βοῶ. εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίε τὸν Κύριον.

Ἡ Θεοτόκος.

Φαίνῃ μοι ἀληθείας ῥήτωρ, κατέθετο ἡ Παρθένος. Χαρᾶς κοινῆς γὰρ ἐλήλυθας Ἄγγελος. Ψυχὴν οὖν ἐπεὶ καθήγνισμαι Πνεύματι. Ὡς τὸ ῥῆμά σε γενέσθω μοι, σκηνέτω ἐν ἐμοὶ ὁ Θεός, πρὸς ὃν βοῶ μετὰ σοῦ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίε τὸν Κύριον.

Καταβασία. Ἄκουε Κόρη.

Ὠδὴ θ'. Εὐαγγελίζε γῆ χαρὰν μεγάλην, αἰνεῖτε Οὐρανοὶ Θεοῦ τὴν δόξαν.

Ἀλφάβητος ἀντιστρόφως. Ὁ Εἱρμός.

„ Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ, Ψαυέτω „ μηδαμῶς χεὶρ ἀμυήτων, Χείλη δὲ „ πιστῶν τῇ Θεοτόκῳ ἀσιγήτως, Φωνὴν „ τοῦ Ἀγγέλου ἀναμέλποντα, ἐν ἀγαλ„ λιάσει βοάτω· χαῖρε κεχαριτωμένη ὁ „ Κύριος μετὰ σοῦ.

Εὐαγγελίζε γῆ χαρὰν μεγάλην.

Ὑπὲρ ἔννοιαν συλλαβοῦσα Θεόν, Τῆς φύσεως θεσμοὺς ἔλαθες Κόρη. Σὺ γὰρ ἐν τῷ τίκτειν τὰ μητέρων διέδρας, Ῥάστη φύσις περ καθεστηκυῖα, ὅθεν ἐπαξίως ἀκούεις· χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Εὐαγγελίζε γῆ χαρὰν μεγάλην.

Πῶς πηγάζεις γάλα Παρθένε Ἁγνή, Οὐ φέρει ἐξειπεῖν γλῶσσα βροτεία. Ξένον γὰρ φύσεως ἐπιδείκνυσαι πρᾶγμα, Νομίμε γονῆς ὅρες ὑπερβαίνον· ὅθεν ἐπαξίως ἀκούεις· χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Εὐαγγελίζε γῆ χαρὰν μεγάλην.

Μυστικῶς ταῖς ἱεροτεύκτοις γραφαῖς, Λαλεῖται περὶ σοῦ Μήτηρ ὑψίστε. Κλίμακα γὰρ πάλαι Ἰακὼβ σε προτυποῦσαν, Ἰδὼν ἔφη βάσις Θεοῦ αὕτη· ὅθεν ἐπαξίως ἀκούεις· χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Εὐαγγελίζε γῆ χαρὰν μεγάλην.

Θαυμαστῶς τῷ ἱεροφάντῃ Μωσεῖ, ἡ βάτος καὶ τὸ πῦρ ἔδειξε τέρας. Ζητῶν δὲ τὸ πέρας εἰς διάβασιν χρόνε, Ἐν Κόρῃ Ἁγνῇ ἔφη κατοπτεύσω, ἣ ὡς Θεοτόκῳ λεχθείη· χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Εὐαγγελίζε γῆ χαρὰν μεγάλην.

Δανιὴλ σε ὄρος καλεῖ νοητόν, Γεννήτριαν Θεοῦ ὁ Ἡσαΐας, Βλέπει δὲ ὡς πόκον Γεδεὼν ὁ Δαβὶδ δέ, Ἁγίασμα φάσκει, πύλην δέ σε ἄλλος· ὁ δὲ Γαβριὴλ σοι κραυγάζει· χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Καταβασία. Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ.

Ἐξαποστειλάριον.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀγγελικῶν Δυνάμεων, στρατηγὸς ἀπεστάλη, ἐκ Θεοῦ παντοκράτορος, πρὸς Ἁγνὴν καὶ Παρθένον, εὐαγγελίσασθαι ξένον, καὶ ἀπόρρητον θαῦμα· ὅτι Θεὸς ὡς ἄνθρωπος, ἐξ αὐτῆς βρεφουργεῖται, ἄνευ σπορᾶς, ἀναπλάττων βρότειον ἅπαν γένος. Λαοὶ εὐαγγελίζεσθε, τὴν ἀνάπλασιν Κόσμε. Ὅμοιον.

Χαῖρε κατάρας λύτρωσις, τοῦ Ἀδὰμ Θεοτόκε, Χαῖρε σεμνὴ Μητρόθεε, Χαῖρε ἔμψυχε βάτε, Χαῖρε λαμπάς, Χαῖρε θρόνε, Χαῖρε κλίμαξ καὶ πύλη, Χαῖρε τὸ θεῖον ὄχημα. Χαῖρε κούφη νεφέλη, Χαῖρε Ναέ. Χαῖρε στάμνε πάγχρυσε, Χαῖρε ὄρος, Χαῖρε σκηνὴ καὶ τράπεζα, Χαῖρε Εὔας ἡ λύσις.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στ. δ'. καὶ ψάλλομεν γ'. προσόμοια. Ἦχος ά.

Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων ἀψίδων, ὁ Γαβριὴλ καταπτὰς, εἰς Ναζαρὲτ ἐπέστη, πρὸς

Παρ-

Digitized by Google

Παρθένον Μαρίαν, βοῶν αὐτῇ τὸ Χαῖρε, συλλήψῃ Υἱὸν τοῦ Ἀδὰμ ἀρχαιότερον, καὶ ποιητὴν τῶν ἁπάντων καὶ λυτρωτήν, τῶν βοώντων σοι τὸ Χαῖρε Ἁγνή.

Ὅμοιον.

Ὁ Γαβριὴλ τῇ Παρθένῳ τὸ Εὐαγγέλιον, ἐξ Οὐρανοῦ κομίσας, ἀνεβόα τὸ Χαῖρε· συλλήψῃ ἐν γαστρί σου τὸν σοὶ χωρητόν, καὶ τῷ Κόσμῳ ἀχώρητον, καὶ ποιητὴν τῶν αἰώνων καὶ λυτρωτήν, τῶν βοώντων σοι τὸ Χαῖρε σεμνή. Ὅμοιον.

Ὁ συναΐδιος Λόγος τοῦ προανάρχου Πατρός, μὴ χωρισθεὶς τῶν ἄνω, νῦν ἐπέστη τοῖς κάτω, δι᾿ ἄκραν εὐσπλαγχνίαν οἶκτον λαβών, τοῦ καθ᾿ ἡμᾶς ὀλισθήματος, καὶ τοῦ Ἀδὰμ τὴν πτωχείαν ἀναλαβών, ἐμορφώθη τὸ ἀλλότριον.

Δευτεροῦντες τὸ α΄.

Δόξα, καὶ νῦν. Ἦχος β΄. Θεοφάνους.

Τὸ ἀπ᾿ αἰῶνος μυστήριον, ἀνακαλύπτεται σήμερον, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ Υἱὸς ἀνθρώπου γίνεται, ἵνα τοῦ χείρονος μεταλαβών, μεταδῷ μοι τοῦ βελτίονος· ἐψεύσθη πάλαι Ἀδάμ, καὶ Θεὸς ἐπιθυμήσας οὐ γέγονεν· ἄνθρωπος γίνεται Θεός, ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται· εὐφραινέσθω ἡ κτίσις, χορευέτω ἡ φύσις, ὅτι Ἀρχάγγελος Παρθένῳ, μετὰ δέους παρίσταται, καὶ τὸ Χαῖρε κομίζει, τῆς λύπης ἀντίθετον· ὁ διὰ σπλάγχνα ἐλέους, ἐνανθρωπήσας Θεὸς ἡμῶν δόξα σοι.

Εἰς τὸν Στίχον τὸ Ἰδιόμελον τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν.

Δόξα, καὶ νῦν. Ἦχος Πλ. δ΄.

ιωάννου Μοναχοῦ.

Εὐφραινέσθωσαν οἱ Οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ· ὁ γὰρ τοῦ Πατρὸς συναΐδιος, καὶ συνάναρχος καὶ σύνθρονος, οἶκτον λαβὼν καὶ φιλάνθρωπον ἔλεον, ἑαυτὸν καθῆκεν εἰς κένωσιν, κατ᾿ εὐδοκίαν καὶ βούλησιν Πατρικήν, καὶ μήτραν ᾤκησε Παρθενικήν, προαγνισθεῖσαν τῷ Πνεύματι· ὢ τοῦ θαύματος, ὁ Θεὸς ἐν ἀνθρώποις, ὁ ἀχώρητος ἐν μήτρᾳ, ὁ ἄχρονος ἐν χρόνῳ· καὶ τὸ παράδοξον, ὅτι καὶ ἡ σύλληψις ἄσπορος, καὶ ἡ κένωσις ἄφραστος, καὶ τὸ μυστήριον ὅσον· ὁ Θεὸς γὰρ κενοῦται, καὶ σαρκοῦται, καὶ πλάττεται, Ἀγγέλου πρὸς τὴν Ἁγνήν, τὴν σύλληψιν λέξαντος· Χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Τὸ Τρισάγιον. Τροπάριον τῆς Ἑορτῆς, αἱ γ΄. μεγάλαι μετάνοιαι· εἶθ᾿ οὕτω καὶ ἡ α΄. Ὥρα μετὰ τῆς ἀκολ. Τροπάριον τῆς Ἑορτῆς· καὶ ἐν τῷ τέλει ὡς προείρηται, αἱ γ΄. μεγάλαι μετάνοιαι. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς· ψάλλομεν δὲ καὶ τὰ ἰδιόμ. τῆς Ἑορτῆς, ἐκ τῶν προγραφέντων, καὶ ἀπόλυσις. Καὶ ὑποστρεφούσης τῆς λιτῆς, γίνεται ἡ Ἀκολουθία τῆς Τριθέκτης.

Περὶ δὲ Ὥραν θ΄. στιχολογοῦμεν, καὶ ἀναγινώσκεται ἡ Κατήχησις τοῦ Στουδίτου, ἐν ᾗ κάθηνται οἱ ἀδελφοί· οἱ Μακαρισμοί, ἄνευ μέλους, καὶ τό, Μνήσθητι ἡμῶν Κύριε. Χορὸς ὁ ἐπουράνιος. Ἄνες ἄφες. Πάτερ ἡμῶν. τὸ Κοντάκιον τῆς Ἑορτῆς· τό, Κύριε ἐλέησον, μ΄. καὶ αἱ γ΄. μεγάλαι μετάνοιαι· καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ, ἄνευ στιχολογίας.

## Τῷ αὐτῷ Μηνὶ ΚϚ΄.

Ἡ σύναξις τοῦ Ἀρχιστρατήγου Γαβριήλ.

Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στ. ι΄. καὶ ψάλλομεν τὸ ἰδιόμ. τῆς ἡμέρας, δίς, ἀνὰ Μαρτ. τὰ γ΄. προσόμοια τοῦ Τριῳδίου. εἶτα τῆς Ἑορτῆς, τοὺς τρεῖς τετάρτους· καὶ τοῦ Ἀρχαγγέλου προσόμοια, γ΄. λέγοντες καὶ Στ. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα· τὸ ἰδιόμ. τῆς Ἑορτῆς. Ἦχος δ΄. Τῷ ἕκτῳ Μηνί, ἀπεστάλη Ἄγγελος. Γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν ἡ Θεοτόκος. Ἰδοὺ ἡ ἀνάκλησις, νῦν ἐπέφανεν ἡμῖν. Εἶτα τὰ προσόμ. τοῦ Ἀρχαγγέλου. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Γαβριὴλ ὁ μέγιστος ὁ νοῦς, ὁ θεοειδέστατος, ὁ φωταυγὴς καὶ οὐράνιος, φῶς τὸ τρισήλιον, καθορᾷ καὶ βλέπει, σὺν ταῖς ἄνω τάξεσι, τὸ θεῖον καὶ φρικῶδες μυστήριον, εὐηγγελίσατο, τῇ Παρθένῳ ἀφικόμε-



Digitized by Google

πτος αὖθις φησί. Ξένε ἐξ ἔρωτος τόκον προέρχεσθαι. Οὐκ οἶδα συζύγε παντελῶς ἡδονήν. Πῶς οὖν λέγεις ὅτι τέξομαι; φοβοῦμαι μὴ ἀπάτη λαλῇς, ἀλλ᾽ ὅμως ἴδε βοᾷς. Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ Ἄγγελος.

Ῥήματα ἅπερ μοι φθέγγῃ σεμνή, ὁ Ἄγγελος πάλιν βοᾷ. Σωνήθυς πέλει λοχείας ἀνθρώπων θνητῶν. Τὸν ὄντως Θεόν σοι ἐπαγγέλλομαι, Ὑπὲρ λόγον τε καὶ ἔννοιαν, σαρκούμενον ὡς οἶδεν ἐκ σοῦ· διὸ καὶ χαίρων βοῶ. Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἡ Θεοτόκος.

Φαίνῃ μοι ἀληθείας ῥήτωρ, κατέθετο ἡ Παρθένος. Χαρᾶς κοινῆς γὰρ ἐλήλυθας Ἄγγελος. Ψυχὴν οὖν ἐπεὶ καθήγνισμαι Πράγματι. Ὡς τὸ ῥῆμά σου γενέσθω μοι, σκηνούτω ἐν ἐμοὶ ὁ Θεός, πρὸς ὃν βοῶ μετὰ σοῦ· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Καταβασία. Ἄκουε Κόρη.

Ὠδὴ θ΄. Εὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε Οὐρανοὶ Θεοῦ τὴν δόξαν.

Ἀλφάβητος ἀντιστρόφως. Ὁ Εἱρμός.

„Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ, Ψαυέτω „μηδαμῶς χεὶρ ἀμυήτων, Χείλη δὲ „πιστῶν τῇ Θεοτόκῳ ἀσιγήτως, φωνὴν „τοῦ Ἀγγέλου ἀναμέλποντα, ἐν ἀγαλ„λιάσει βοάτω· χαῖρε κεχαριτωμένη ὁ „Κύριος μετὰ σοῦ.

Εὐαγγελίζου γῆ χαρὰν μεγάλην.

Ὑπὲρ ἔννοιαν συλλαβοῦσα Θεόν, Τῆς φύσεως θεσμοὺς ἔλαθες Κόρη. Σὺ γὰρ ἐν τῷ τίκτειν τὰ μητέρων διέδρας, Ῥαῖσι φύσις περ καθεστηκυῖα, ὅθεν ἐπαξίως ἀκούεις· χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Εὐαγγελίζου γῆ χαρὰν μεγάλην.

Πῶς πηγάζεις γάλα Παρθένε Ἁγνή, Οὐ φέρει ἐξειπεῖν γλῶσσα βροτεία. Ξένον γὰρ φύσεως ἐπιδείκνυσαι πρᾶγμα, Νομίμου γονῆς ὅρους ὑπερβαῖνον· ὅθεν ἐπαξίως ἀκούεις· χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Εὐαγγελίζου γῆ χαρὰν μεγάλην.

Μυστικῶς ταῖς ἱεροτάκτοις γραφαῖς, Λαλεῖται περὶ σοῦ Μήτηρ ὑψίστου. Κλίμακα γὰρ πάλαι Ἰακὼβ σε προτυπώσαν, Ἰδὼν ἔφη βάσις Θεοῦ αὕτη· ὅθεν ἐπαξίως ἀκούεις· χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Εὐαγγελίζου γῆ χαρὰν μεγάλην.

Θαυμαστῶς τῷ ἱεροφάντῃ Μωσεῖ, ἡ βάτος καὶ τὸ πῦρ ἔδειξε τέρας. Ζητῶν δὲ τὸ πέρας εἰς διάβασιν χρόνου, Ἐν Κόρῃ Ἁγνῇ ἔφη κατοπτεύσω, ἣ ὡς Θεοτόκῳ λεχθείη· χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Εὐαγγελίζου γῆ χαρὰν μεγάλην.

Δανιήλ σε ὄρος καλεῖ νοητόν, Γεννήτριαν Θεοῦ ὁ Ἡσαΐας, Βλέπει δὲ ὡς πόκον Γεδεὼν ὁ Δαβὶδ δέ, Ἁγίασμα φάσκει, πύλην δέ σε ἄλλος· ὁ δὲ Γαβριὴλ σοι κραυγάζει· χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Καταβασία. Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ.

Ἐξαποστειλάριον.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀγγελικῶν Δυνάμεων, στρατηγὸς ἀπεστάλη, ἐκ Θεοῦ παντοκράτορος, πρὸς Ἁγνὴν καὶ Παρθένον, εὐαγγελίσασθαι ξένον, καὶ ἀπόρρητον θαῦμα· ὅτι Θεὸς ὡς ἄνθρωπος, ἐξ αὐτῆς βρεφουργεῖται, ἄνευ σπορᾶς, ἀναπλάττων βρότειον ἅπαν γένος. Λαοὶ εὐαγγελίζεσθε, τὴν ἀνάπλασιν Κόσμου. Ὅμοιον.

Χαῖρε κατάρας λύτρωσις, τοῦ Ἀδὰμ Θεοτόκε, Χαῖρε σεμνὴ Μητρόθεε, Χαῖρε ἔμψυχε βάτε, Χαῖρε λαμπάς, Χαῖρε θρόνε, Χαῖρε κλίμαξ καὶ πύλη, Χαῖρε τὸ θεῖον ὄχημα. Χαῖρε κούφη νεφέλη, Χαῖρε Ναέ. Χαῖρε στάμνε πάγχρυσε, Χαῖρε ὄρος, Χαῖρε σκηνὴ καὶ τράπεζα, Χαῖρε Εὔας ἡ λύσις.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, στῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχ. προσόμοια. Ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων ἀψίδων, ὁ Γαβριὴλ καταπτάς, εἰς Ναζαρὲτ ἐπέστη, πρὸς Παρ-

Digitized by Google

Παρθένον Μαρίαν, βοῶν αὐτῇ τὸ Χαῖρε, συλλήψῃ Υἱὸν τοῦ Ἀδὰμ ἀρχαιότερον, καὶ ποιητὴν τῶν ἁπάντων καὶ λυτρωτήν, τῶν βοώντων σοι τὸ Χαῖρε Ἁγνή.

Ὅμοιον.

Ὁ Γαβριὴλ τῇ Παρθένῳ τὸ Εὐαγγέλιον, ἐξ Οὐρανοῦ κομίσας, ἀνεβόα τὸ Χαῖρε· συλλήψῃ ἐν γαστρί σου τὸν σοὶ χωρητόν, καὶ τῷ Κόσμῳ ἀχώρητον, καὶ ποιητὴν τῶν αἰώνων καὶ λυτρωτήν, τῶν βοώντων σοι τὸ Χαῖρε σεμνή. Ὅμοιον.

Ὁ συναΐδιος Λόγος τοῦ προανάρχου Πατρός, μὴ χωρισθεὶς τῶν ἄνω, νῦν ἐπέστη τοῖς κάτω, δι' ἄκραν εὐσπλαγχνίαν οἶκτον λαβών, τοῦ καθ' ἡμᾶς ὀλισθήματος, καὶ τοῦ Ἀδὰμ τὴν πτωχείαν ἀναλαβών, ἐμορφώθη τὸ ἀλλότριον.

Δευτεροῦντες τὸ ά.

Δόξα, καὶ νῦν. Ἦχος β'. Θεοφάνους.

Τὸ ἀπ' αἰῶνος μυστήριον, ἀνακαλύπτεται σήμερον, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ Υἱὸς ἀνθρώπου γίνεται, ἵνα τοῦ χείρονος μεταλαβών, μεταδῷ μοι τοῦ βελτίονος· ἐψεύσθη πάλαι Ἀδάμ, καὶ Θεὸς ἐπιθυμήσας οὐ γέγονεν· ἄνθρωπος γίνεται Θεός, ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται· εὐφραινέσθω ἡ κτίσις, χορευέτω ἡ φύσις, ὅτι Ἀρχάγγελος Παρθένῳ, μετὰ δέους παρίσταται, καὶ τὸ Χαῖρε κομίζει, τῆς λύπης ἀντίθετον· ὁ διὰ σπλάγχνα ἐλέους, ἐνανθρωπήσας Θεὸς ἡμῶν δόξα σοι.

Εἰς τὸν Στίχον τὸ Ἰδιόμελον τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν.

Δόξα, καὶ νῦν. Ἦχος Πλ. δ'.

Ἰωάννου Μοναχοῦ.

Εὐφραινέσθωσαν οἱ Οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ· ὁ γὰρ τοῦ Πατρὸς συναΐδιος, καὶ συνάναρχος καὶ σύνθρονος, οἶκτον λαβὼν καὶ φιλάνθρωπον ἔλεον, ἑαυτὸν κατῆκεν εἰς κένωσιν, κατ' εὐδοκίαν καὶ βούλησιν Πατρικήν, καὶ μήτραν ᾤκησε Παρθενικήν, προαγνισθεῖσαν τῷ Πνεύματι· ὢ τοῦ θαύματος, ὁ Θεὸς ἐν ἀνθρώποις, ὁ ἀχώρητος ἐν μήτρᾳ, ὁ ἄχρονος ἐν χρόνῳ· καὶ τὸ παράδοξον, ὅτι καὶ ἡ σύλληψις ἄσπορος, καὶ ἡ κένωσις ἄφραστος, καὶ τὸ μυστήριον ὅσον· ὁ Θεὸς γὰρ κενοῦται, καὶ σαρκοῦται, καὶ πλάττεται, Ἀγγέλου πρὸς τὴν Ἁγνήν, τὴν σύλληψιν λέξαντος· Χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Τὸ Τρισάγιον. Τροπάριον τῆς Ἑορτῆς, αἱ γ'. μεγάλαι μετάνοιαι· εἶθ' οὕτω καὶ ἡ ά. Ὥρα μετὰ τῆς κλ'. Τροπάριον τῆς Ἑορτῆς· καὶ ἐν τῷ τέλει ὡς προείρηται, αἱ γ'. μεγάλαι μετάνοιαι. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς· ψάλλομεν δὲ καὶ τὰ ἰδιόμ. τῆς Ἑορτῆς, ἐκ τῶν προγραφέντων, καὶ ἀπόλυσις. Καὶ ὑποστρεφούσης τῆς λιτῆς, γίνεται ἡ Ἀκολουθία τῆς Τριθέκτης. Περὶ δὲ Ὥραν θ'. στιχολογοῦμεν, καὶ ἀναγινώσκεται ἡ Κατήχησις τοῦ Στουδίτου, ἐν ᾗ κάθηνται οἱ ἀδελφοί· οἱ Μακαρισμοί, ἄνευ μέλους, καὶ τό, Μνήσθητι ἡμῶν Κύριε. Χορὸς ὁ ἐπουράνιος. Ἄνες ἄφες. Πάτερ ἡμῶν. τὸ Κοντάκιον τῆς Ἑορτῆς· τό, Κύριε ἐλέησον, μ'. καὶ αἱ γ'. μεγάλαι μετάνοιαι· καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ, ἄνευ στιχολογίας.

Τῷ αὐτῷ Μηνὶ ΚϚ'.

Ἡ σύναξις τοῦ Ἀρχιστρατήγου Γαβριήλ.

Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στ. ί. καὶ ψάλλομεν τὸ ἰδιόμ. τῆς ἡμέρας, δίς, ἄνευ Μαρτ. τὰ γ'. προσόμοια τοῦ Τριῳδίου. εἶτα τῆς Ἑορτῆς, τοὺς τρεῖς τετάρτους· καὶ τοῦ Ἀρχαγγέλου προσόμοια, γ'. λέγοντες καὶ Στ. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα· τὸ ἰδιόμ. τῆς Ἑορτῆς. Ἦχος δ'. Τῷ ἕκτῳ Μηνί, ἀπεστάλη Ἄγγελος. Γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν ἡ Θεοτόκος. Ἰδοὺ ἡ ἀνάκλησις, νῦν ἐπέφανεν ἡμῖν. Εἶτα τὰ προσόμ. τοῦ Ἀρχαγγέλου. Ἦχος ά.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Γαβριὴλ ὁ μέγιστος ὁ νοῦς, ὁ θεοειδέστατος, ὁ φωταυγὴς καὶ οὐράνιος, φῶς τὸ τρισήλιον, καθορᾷ καὶ βλέπει, σὺν ταῖς ἄνω τάξεσι, τὸ θεῖον καὶ φρικῶδες μυστήριον, εὐηγγελίσατο, τῇ παρθένῳ ἀφικόμενος,



Digitized by Google

μος, καὶ πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Στ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Τὸ μέγα μυστήριον τὸ πρὶν, τοῖς Ἀγγέλοις ἄγνωστον, καὶ πρὸ αἰώνων ἀπόκρυφον, μόνος πεπίστευσαι, Γαβριὴλ καὶ τοῦτο, τῇ μόνῃ τεθάῤῥηκας, Ἁγνῇ εἰς Ναζαρὲτ ἀφικόμενος· μεθ᾽ ἧς ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Ὅμοιον.

Στ. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα.

Φωτὸς ὢν ἀναπλέως ἀεὶ, καὶ ποιῶν τὸ θέλημα, καὶ ἐκτελῶν τὰ προστάγματα, τοῦ παντοκράτορος, ἀρχηγὲ Ἀγγέλων, Γαβριὴλ παμάριστε, τοὺς πόθῳ σε τιμῶντας περίσωζε, ἀεὶ αἰτούμενος, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Δόξα, καὶ νῦν. Ἦχος Πλ. β.

Ἰωάννου Μοναχοῦ.

Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος, εὐαγγελίσασθαι τῇ Παρθένῳ τὴν σύλληψιν· καὶ ἐλθὼν εἰς Ναζαρὲτ, ἐλογίζετο ἐν ἑαυτῷ, τὸ θαῦμα ἐκπληττόμενος, ὅτι πῶς ὁ ἐν ὑψίστοις ἀκατάληπτος ὢν, ἐκ Παρθένου τίκτεται· ὁ ἔχων θρόνον οὐρανὸν, καὶ ὑποπόδιον τὴν γῆν, ἐν μήτρᾳ χωρεῖται Γυναικός· ᾧ τὰ ἑξαπτέρυγα καὶ πολυόμματα, ἀτενίσαι οὐ δύνανται, λόγῳ μόνῳ ἐκ ταύτης σαρκωθῆναι ηὐδόκησε. Θεοῦ ἐστι Λόγος ὁ παρών· τί οὖν ἵσταμαι, καὶ οὐ λέγω τῇ Κόρῃ; Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. Χαῖρε Ἁγνὴ Παρθένε. Χαῖρε Νύμφη ἀνύμφευτε. Χαῖρε Μήτηρ τῆς ζωῆς· εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου.

Τὸ, Φῶς ἱλαρὸν, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας. Εἶτα τῆς Ἑορτῆς.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

Κεφ. γ΄. 2. Εἰσῆλθε Μωσῆς εἰς τὸ ὄρος τοῦ Θεοῦ Χωρήβ· ὤφθη δὲ αὐτῷ Ἄγγελος Κυρίου, ἐν φλογὶ πυρὸς ἐκ τῆς βάτου, καὶ ὁρᾷ ὅτι ἡ βάτος καίεται πυρὶ, ἡ δὲ βάτος οὐ κατεκαίετο. Εἶπε δὲ Μωσῆς· παρελθὼν ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο, τί ὅτι οὐ κατακαίεται ἡ βάτος; Ὡς δὲ εἶδε Κύριος ὅτι προάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν Κύριος ἐκ τῆς βάτου, λέγων· Μωσῆ, Μωσῆ· ὁ δὲ εἶπε· τί ἐστι Κύριε; Ὁ δὲ εἶπε· μὴ ἐγγίσῃς ὧδε· λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστί. Καὶ εἶπεν αὐτῷ· Ἐγώ εἰμι ὁ Θεὸς τοῦ Πατρός σου, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ· ἀπέστρεψε δὲ Μωσῆς τὸ πρόσωπον αὐτοῦ, ηὐλαβεῖτο γὰρ καταβλέψαι ἐνώπιον τοῦ Θεοῦ. Εἶπε δὲ Κύριος πρὸς Μωσῆν· ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου, τοῦ ἐν Αἰγύπτῳ, καὶ τῆς κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν. Οἶδα γὰρ τὴν ὀδύνην αὐτῶν, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτοὺς, ἐκ χειρὸς τῶν Αἰγυπτίων, καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης, καὶ εἰσαγαγεῖν αὐτοὺς εἰς γῆν ἀγαθὴν καὶ πολλὴν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κεφ. η΄. 22. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ· πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς Ἀβύσσους ποιῆσαι· πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων· πρὸ τοῦ ὄρη ἑδρασθῆναι· πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με. Κύριος ἐποίησε χώρας καὶ ἀοικήτους, καὶ ἄκρα οἰκούμενα τῆς ὑπ᾽ οὐρανόν. Ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ, καὶ ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἀπ᾽ ἀνέμων. Ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίθη πηγὰς ὑδάτων τῆς ὑπ᾽ Οὐρανόν. Ἐν τῷ τιθέναι τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ, καὶ ὕδατα, ἃ οὐ παρελεύσεται στόματος αὐτοῦ, καὶ ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ᾽ αὐτῷ ἁρμόζουσα. Ἐγὼ ἤμην ᾗ προσέχαιρε· καθ᾽ ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ, ἐν παντὶ καιρῷ. Ἰωάννου τοῦ Νηστευτοῦ. ὅρα.

Εὕρομεν ἔν τισι τῶν τυπικῶν, τοῦ ψάλλεσθαι ἐν ταύτῃ τῇ ἡμέρᾳ τῆς σεβασμίας ταύτης ἑορτῆς τὸ, Κατευθυνθήτω. Καὶ τοῦτο οὐκ οἶδα ποίῳ τρόπῳ ὥρισται· τινὲς γὰρ ἐξ αἱρέσεως καὶ ἀμαθείας πολλὰ προσίε-

Digitized by Google

σίεσαν· εγὼ δὲ ὡς οἶμαι, τοῦτο οὐ χωρεῖ ἐν τῇ τοῦ Χρυσοςόμου τελεία λειτουργία, καὶ ἐν ἕκτη ὥρα, καὶ προσκομιδῆς γενομένης. Φησὶ γὰρ, οἵαν ἡμέραν τύχῃ ἡ ἑορτὴ τοῦ Θείου Εὐαγγελισμοῦ, λειτουργεῖται Χρυσόςομος, καὶ ἐν τῇ τραπέζῃ καταλύειν ὀψάριον, οἵα ἂν ἡμέρα τύχῃ· τοῦτο γὰρ παρελάβομεν ὑπὸ τῶν θείων Πατέρων, τοῦ ἐσθίειν ἰχθύας ἐν τῇ ἡμέρα τοῦ Θείου Εὐαγγελισμοῦ. Τὸ δὲ, Κατευθυνθήτω, ἐν τῇ τῶν προηγιασμένων λειτουργία ἐτάχθη ψάλλεσθαι, καὶ ἐν τῇ ἐνάτη· οὐ γὰρ χρὴ τὶ πένθους σύμβολον ἐν ταύτῃ τῇ ἡμέρα ψάλλεσθαι· τιμῶμεν γὰρ αὐτὴν ὡς κεφάλαιον τῆς ἡμῶν σωτηρίας.

Εἶτα συναπτὴ τοῦ Τρισαγίου, τὸ Τρισάγιον, τὸ Προκείμενον. Ἦχος δ'.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας.

Στ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Ὁ Ἀπόςολος. Πρὸς Ἑβραίους.

Ἀδελφοὶ, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι.

Ἀλληλούϊα. Ἦχος α'.

Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον.

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ Ζαχαρίου. Τέλος.

Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ Ἄγγελος.

Καὶ καθ' ἑξῆς ἡ Θεία Λειτουργία τοῦ Χρυσοςόμου.

Κοινωνικ. Ἐξελέξατο Κύριος τὴν Σιών. Ἡρετίσατο αὐτὴν, εἰς κατοικίαν ἑαυτῷ. Ἀλληλούϊα.

Εἰς τὴν Τράπεζαν, Παράκλησις Μεγάλη τοῖς Ἀδελφοῖς, ἐσθίοντες ἰχθύας, εἰς δόξαν Θεοῦ.

Τὰ δὲ Ἀπόδειπνα ψάλλομεν ἐν τῷ Νάρθηκι, ἄνευ μετανοιῶν καὶ Κανόνων, χύμα. πλὴν, μετὰ τὸ, Δόξα ἐν ὑψίςοις Θεῷ, εἰς τὸ Τρισάγιον, ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας· καὶ ἐν τῷ τέλει τὰς ιε'. καὶ ἐν τῷ τελευταίῳ Τρισαγίῳ τὰς γ'. καὶ Ἀπόλυσις.

Χρὴ γινώσκειν, ὅτι εἰ τύχῃ ἡ σεβασμία αὕτη Ἑορτὴ ἐν τῇ Παραμονῇ τοῦ Μεγάλου Κανόνος, ψάλλονται τὰ κδ'. οἴκ. τοῦ Μεγάλου Κανόνος, ἤγουν τὰ κατὰ Ἀλφάβητον τοῦ Μεταφραςοῦ, τῇ πέμπτῃ πρωῒ εἰς τοὺς Αἴνους. Ἐὰν δὲ τύχῃ ὁ Εὐαγγελισμὸς ἐν Παρασκευῇ, ψάλλεται τῇ Παρασκευῇ, καὶ τῷ Σαββάτῳ καὶ τῇ Κυριακῇ, καὶ ἀποδίδοται.

Χρὴ γινώσκειν, ὅτι, ἐὰν γένηται ὁ Εὐαγγελισμὸς ἐν Σαββάτῳ, εἰς τὸ Λυχνικὸν τῆς Παρασκευῆς ἀναγινώσκεται πρῶτον τὰ Ἀναγνώσματα τῆς ἡμέρας, εἶτα τῆς Ἑορτῆς τὰ ε'. καὶ ἡ Ἀκολουθία ὡς προδεδήλωται. Ὁμοίως καὶ εἰς τὸν Ὄρθρον, πᾶσα ἡ Ἀκολουθία τῆς Ἑορτῆς γίνεται· οὔτε γὰρ Τετραώδιον ψάλλομεν, οὔτε ἄλλο τι τοῦ Σαββάτου, ἀλλὰ πάντα τῆς Ἑορτῆς. Ὡσαύτως εἰς τὴν Λειτουργίαν ἅπαντα τῆς Ἑορτῆς· ψάλλομεν δὲ τὰ Τυπικὰ, καὶ ἐν τοῖς Μακαρισμοῖς ἐκ τοῦ Κανόνος, Ὠδὴ τρίτη, καὶ ἕκτη.

Ὁμοίως, εἰ τύχῃ ἐν Κυριακῇ, μετὰ τὴν συνήθη ςιχολ. εἰς τὸ, Κύριε ἐκέκραξα, Ἀναςάσιμα, δ'. καὶ τῆς Ἑορτῆς, ϛ'. Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς· τὰ Ἀναγνώσμ. τὰ β'. τῆς Ἑορτῆς, καὶ ἀπὸ τῶν συνήθων, λέγομεν τὸ, Προφητείας Ἰεζεκιὴλ· εἰς τὴν λιτὴν, Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς· εἰς τὸν ςίχ. τὰ Ἀναςάσιμα. Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς, Ἦχος δ'. Σήμερον χαρᾶς Εὐαγγέλια. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, Τροπάριον τῆς Ἑορτῆς, ἐκ τρίτου. εἰς τὸ, Θεὸς Κύριος, Τροπάριον Ἀναςάσιμον, δὶς, καὶ τῆς Ἑορτῆς, ἅπαξ, καθ. Ἀναςάσιμα, μετὰ τῶν ςιχ. αὐτῶν. ὁ Ἄμωμος, ἡ Ὑπακοὴ τοῦ ἤχου, ὁ Πολυέλεος, καὶ καθ. τῆς Ἑορτῆς· οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Εὐαγγέλιον τῆς Ἑορτῆς· ἀφ' ἕκτης τὸ Κοντάκ. τῆς Ἑορτῆς, καὶ τὸν Οἶκον· ἐν τῇ θ'. ςιχολογεῖται ἡ Τιμιωτέρα. Ἐξαποςειλάριον Ἀναςάσιμον, καὶ τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους Ἀναςάσιμα, δ'. καὶ τῆς Ἑορτῆς προσόμοια, γ'. εἶτα, Ἀνάςηθι Κύριε ὁ Θεός μου· τὸ Ἰδιόμ. τῆς ἡμέρας. Δόξα. Ἦχος Πλ. δ'. Εὐφραινέσθωσαν οἱ Οὐρανοί· καὶ νῦν, Ὑπερευλογημένη. Δοξολογία μεγάλη. Δίδοται δὲ καὶ ἅγιον ἔλαιον τοῖς Ἀδελφοῖς, καὶ ψάλλομεν τὰ ἰδιόμ. τὸ

Ἑω-

Digitized by Google

Ἑωθινὸν, καὶ τῆς Ἑορτῆς, καὶ καθ' ἑξῆς ἡ Ἀκολουθία τῆς Ἑορτῆς. Μετὰ δὲ τὴν ἀπόλυσιν, περὶ Ὥραν β'. σημαίνει, καὶ ἐξέρχεται ἡ Λιτή· καὶ μετὰ τὸ ὑποστρέψαι ἄρχεται ἡ Λειτουργία. Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, ψάλλομεν δὲ τὰ Τυπικὰ, τοὺς Μακαρισμοὺς, καὶ τῆς Ἑορτῆς ἡ ς'. Ὠδή. Εἰσοδικὸν, ἦχος δ'. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ Σωτήριον τοῦ Θεοῦ ἡμῶν. Τροπ. Ἀναστάσιμ. καὶ τῆς Ἑορτῆς. Δόξα, καὶ νῦν, τὸ Κοντάκ. τῆς Ἑορτῆς· εἶτα συναπτὴ τοῦ Τρισαγίου· ὁ Ἀπόστολος, πρῶτον τῆς Ἑορτῆς, εἶτα τῆς ἡμέρας· ὁμοίως καὶ Εὐαγγέλιον. Προκείμ. καὶ Ἀλληλουϊάριον, καὶ Κοινωνικ. τῆς Ἑορτῆς. Ἐξελέξατο Κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ· ἡ Λειτουργία τοῦ Χρυσοστόμου. Δεῖ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ σύναξις τοῦ Ἀρχιστρατήγου Γαβριὴλ ἐν Σαββάτῳ, ἢ Κυριακῇ, συμψάλλεται καὶ ἡ Ἀκολουθία τῆς Ἑορτῆς, καὶ τοῦ Ἀρχαγγέλου.

Εἰς τὸν Ὄρθρον, ὁ Κανὼν τοῦ Ἀρχαγγέλου. Οὗ ἡ ἀκροστιχίς.

Ὡς παμμέγιστον τὸν Γαβριὴλ αἰνέσω. Ἰωσήφ. Ὠδὴ α'. Ἦχος δ'.

Ἀνοίξω τὸ στόμα μου.

Ὡς φῶς σχηματίζοντα, ταῖς πρὸς τὸ φῶς τὸ ἀκρότατον, αὔλοις μεθέξεσι θεῖον καὶ ἄϋλον· ἱκετεύω σε, Ἀρχάγγελε Κυρίου, φώτισον πρεσβείαις σου, ὅπως ὑμνήσω σε.

Στησώμεθα σήμερον, χοροὺς ἐνθέους γηθόμενοι, τὸν πρῶτον γεραίροντες τῶν Ἀσωμάτων Νοῶν, τὸν τὴν ἄρρητον χαρὰν μεμηνυκότα, ἐν Κόσμῳ φωτίσασαν δι' ἀγαθότητα.

Προστάτην σε μέγιστον, καὶ πρὸς Θεὸν ἀντιλήπτορα, καὶ τεῖχος καὶ στήριγμα Γαβριὴλ ἔχοντες, οἱ ποθοῦντές σε, ῥυόμεθα κινδύνων, καὶ βλάβης τοῦ ὄφεως ἀνευφημοῦντές σε. Θεοτοκίον.

Ἁγνήν σε πανάμωμον, ὁ Γαβριὴλ ὡς ἑώρακε, τὸ χαῖρέ σοι Δέσποινα λαμπρῶς ἐβόησεν, Ἀπειρόγαμε, βροτῶν ἡ σωτηρία, Ἀγγέλων τὸ καύχημα καὶ σεμνολόγημα.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Μεθέξει φωτὸς αὐλοτάτου, ὡς ἄϋλος ὄντως Γαβριὴλ, αὔλως φωτιζόμενος, φῶς καθοράσαι δεύτερον, τοὺς ὑλικοὺς ἑκάστοτε, βροτοὺς φωτίζων ὑμνοῦντάς σε.

Μεγίστης εὐκλείας ἠξιώθης, τὸ μέγα μυστήριον ἡμῖν, ἀνακαλύψας μέγιστε, Ἀγγέλων δι' οὗ ἤρθημεν, οἱ ἀπὸ γῆς πρὸς μέγιστον, ὕψος μεγάλως τιμῶντές σε.

Ἐπίφανον πᾶσιν Οὐρανόθεν, τοῖς πόθῳ ζητοῦσί σε ἀεὶ, καὶ παῦσον τὸν κλυδώνιον, τὸν καθ' ἡμῶν κινούμενον, τῶν πειρασμῶν καὶ θλίψεων, ὦ Γαβριὴλ Ἀρχιστράτηγε. Θεοτοκίον.

Γνωρίζων τὸ πάλαι κεκρυμμένον, Μυστήριον Κόρη σοι ποτὲ, ὁ Γαβριὴλ ἐκραύγαζε. Χαῖρε Θεοῦ παλάτιον, ἐν ᾧ οἰκήσας ἅπαντας, βροτοὺς θεώσει ὡς εὔσπλαγχνος.

Καθι. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὁ μέγας Γαβριὴλ Ἀρχηγὸς τῶν Ἀγγέλων, δεικνύμενος ἀεὶ σὺν αὐτοῖς ἀνακράζει, τὸ θεῖον μελῴδημα τῇ Τριάδι γηθόμενος· τοῦτον ἅπαντες, μεγαλοφώνως ἐν πίστει, ἀνυμνήσωμεν, καὶ καθαρᾷ διανοίᾳ, αὐτὸν δοξάσωμεν.

Ἕτερον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῶν ἀσωμάτων Λειτουργῶν σὺ πρωτεύων, τὸ πρὸ αἰώνων ὁρισθὲν φρικτὸν Μυστήριον, Γαβριὴλ μόνος ἔνδοξε πεπίστευσαι, τόκον τὸν ἀπόρρητον τῆς Ἁγίας Παρθένου, Χαῖρε προσφωνῶν αὐτῇ ἡ κεχαριτωμένη· χρεωστικῶς σε ὅθεν οἱ πιστοὶ, ἐν εὐφροσύνῃ ἀεὶ μακαρίζομεν.

Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Ἵστασο μεθέξεσι Θεαρχικαῖς, πάλαι Γαβριὴλ ἀξιάγαστε, καταφαιδρύνων, τὸν Προφήτην Δανιὴλ, καὶ ἐντιθεὶς τὴν δήλωσιν τῶν ἀγνοουμένων ἐν πράγματι.

Στόμασι πηλίνοις σε χαρμονικῶς, πύρινον τῇ φύσει ὑπάρχοντα, ἀνευφημοῦμεν, ἐξελοῦ ἡμᾶς πυρὸς, διηνεκῶς φλογίζοντος, θείαις Γαβριὴλ μεσιτείαις σου.

Τὴν

Digitized by Google

Τὴν ὑπὲρ τὸν Ἥλιον θείαν στολὴν, δόξῃ ἀπορρήτῳ ἀστράπτουσαν, ἠμφιεσμένος, Στρατηγὲ τῶν Λειτουργῶν, τῷ Βασιλεῖ παρίστασαι, τῷ ἐπουρανίῳ γηθόμενος.

Θεοτοκίον.

Ὅλην σε τῷ Πνεύματι ὁ Γαβριὴλ, περιηγνισμένην Παναμώμε, καταυγάσας, ἐκβοᾷ σοι ἐμφανῶς· Χαῖρε ἀρᾶς ἡ λύτρωσις, καὶ τῶν Προπατόρων ἀνάκλησις.

Ὠδὴ έ. Ἐξέστη τὰ σύμπαντα.

Νόος κατὰ μέθεξιν, τοῦ πρώτου φωτιζόμενος, δεύτερον ὡράθης φῶς κραυγάζων, σὺν ταῖς ἀπείροις Ἀγγέλων τάξεσιν· Ἅγιος Θεὸς ὁ παντουργὸς, Υἱὸς ὁ συνάναρχος, καὶ τὸ Πνεῦμα τὸ σύνθρονον.

Τὸ εἶδός σου πύρινον, τὸ κάλλος ὑπερθαύμαστον, ἅπασαν διάνοιαν ἐκπλήττον· μέγα τὸ κλέος Γαβριὴλ μέγιστε, θείων Ἀσωμάτων λειτουργὲ, πάντων ἐγκαλλώπισμα, τῶν πιστῶς ἀνυμνούντων σε.

Ὁ θεῖος ὡς εἶδέ σε, καιρῷ τοῦ θυμιάματος, πάλαι συνεστῶτα Ζαχαρίας, μένει κωφεύων, οὐ γὰρ ἐπίστευσε, σοῦ τῇ ἀγγελίᾳ τῇ φρικτῇ, ἣν περ διεφώνησας, Γαβριὴλ Ἀρχιστράτηγε.

Θεοτοκίον.

Ναὸς ἁγιάσματος, ὑπάρχουσα Παναμώμε, φωνῇ Γαβριὴλ τοῦ Ἀρχαγγέλου, τὸν ἐν Ἁγίοις ἀναπαυόμενον, τέτοκας πανάγιον Θεὸν, πάντας ἁγιάζοντα, καὶ δεινῶν διαιρούμενον.

Ὠδὴ ϛ'. Τὴν θείαν ταύτην.

Γεώδεις γλῶσσαι γεραίρειν σε, τὸν νοῦν τὸν φωταυγῆ καὶ οὐράνιον, οὐκ ἐξισχύουσι, περιφανῶς λαμπρυνόμενον, ταῖς ὑπὲρ νοῦν ἀρρήτως θείαις λαμπρότησιν.

Ἀκτὶς Ἡλίου πολύφωτε, πυρίνων λειτουργῶν Ἀρχιστράτηγε, ταῖς σελασφόροις σου, πρὸς τὸν Δεσπότην δεήσεσι, τοὺς ὑμνητάς σου σκότους παθῶν ἐξάρπασον.

Φυλὰς ἐθνῶν διασκέδασον, τὴν Πίστιν τὴν ὀρθόδοξον κράτυνον, παῦσον τὰ σχίσματα, τῆς Ἐκκλησίας Ἀρχάγγελε, ταῖς πρὸς τὸν Κτίστην πάντων σου παρακλήσεσιν.

Θεοτοκίον.

Ῥημάτων θείων ὑπήκοος, Ἁγνὴ τοῦ Γαβριὴλ ἐχρημάτισας, καὶ τὸν προάναρχον, Λόγον σαρκὶ ἀπεκύησας, τῆς ἀλογίας Κόσμον ἀπολυτρούμενον.

Τὸ Κοντάκιον τῆς Ἑορτῆς εἰ βούλει, ἢ τὸ Μαρτυρικόν. Εἰδὲ τύχῃ ἐν Σαββάτῳ, ἢ Κυριακῇ, λέγε τὸ Κοντάκιον.

Τῷ αὐτῷ Μηνὶ ΚϚ'. Τὴν Σύναξιν ἐπιτελοῦμεν τοῦ Ἀρχαγγέλου Γαβριὴλ, ἐξ ἀρχῆς καὶ ἄνωθεν παραδεδομένην, ὡς τῷ θείῳ καὶ ὑπερφυεῖ Μυστηρίῳ καὶ ἀπορρήτῳ καθυπουργήσαντος.

Στ. Τὸν σὴν ἀπαγγείλαντα σάρκωσιν Νόα, Τιμῇ πρεπούσῃ πᾶσα σὰρξ τιμᾷ, Λόγε. Εἰκάδι ἀμφ' ὕμνους Γαβριὴλ Κτίσιν ἕκτῃ ἐγείρει.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων κϛ'. Μαρτύρων, τῶν ἐν Γοτθίᾳ μαρτυρησάντων· ἐξ ὧν εἰσὶ Πρεσβύτεροι δύω, Βαθοῦσις, καὶ Οὐίρκας μετὰ δύω Υἱῶν αὐτοῦ καὶ Θυγατέρων, καὶ Ἀρπύλλα μονάζοντες. λαϊκοὶ δὲ Ἀβήπας, Ἁγνὰς, Ῥύας, Ἠγάθραξ, Ἡσκόος, Σύλας, Σίγητζας, Σωηρίλλας, Σέμβλαι, Θέρμαι, Φίλγας. καὶ ἐκ τῶν Γυναικῶν, Ἄννα, Ἀλλὰς, Βάρκς, Μωϊκὼ, Μαμύκα, Οὐίρκω, καὶ Ἀνιμαῖς.

Στίχ. Τόσην πυρὶ φλέγουσι πληθὺν Μαρτύρων.

Ὅσας ἄγει Μὴν σήμερον τὰς ἡμέρας.

Οὗτοι ὑπῆρχον ἐπὶ Ἰουγγουρίχου, βασιλέως τῶν Γότθων, καὶ Γρατιανοῦ Βασιλέως Ῥωμαίων, διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν ὑπὸ Ἰουγγουρίχου διὰ πυρὸς τὸν τοῦ Μαρτυρίου Στέφανον ἔλαβον, ἐμπρήσαντος τὴν τῶν Χριστιανῶν Ἐκκλησίαν, ἐν ᾗ καὶ συγκατεφλέχθησαν οἱ Ἅγιοι Μάρτυρες· ὅτε καὶ συνέβη, καὶ ἄνθρωπόν τινα ἐν τῇ Ἐκκλησίᾳ κομίζοντα προσφορὰν ὁλοκαυτωθῆναι.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Κοδράτου, Θεοδοσίου, Ἐμμανουὴλ, καὶ ἑτέρων Μ'. τῶν ἐν τῇ Ἀνατολῇ.

Στ. Κοδράτε θαυμάζω σε τῆς ἀνδρείας,

Πῶς

Digitized by Google

Πῶς ὑπτιάζων ἀνδρικῶς σφάττῃ μάλα.
Θεοδόσιος τῷ Θεῷ ζῶν καὶ μόνῳ,
Ζωὴν δι' αὐτὸν ἐκ ξίφους καταστρέφει.
Ξίφει χεθήτω κἂν κοτύλη φησί μοι,
Ἐμμανουὴλ πέφυκεν αἵματος μία.

Οὗτοι ὑπῆρχον ἐκ τῆς Χώρας τῶν Ἀνατολικῶν· ὁρῶντες δὲ καθ' ἑκάστην τοὺς Χριστιανοὺς ἀναιρουμένους ὑπὸ τῶν Εἰδωλολατρῶν, συνέθεντο ἀλλήλοις παρρησιάσασθαι τὴν εὐσέβειαν, ἵνα κληρονόμοι γένωνται τῆς Βασιλείας τῶν Οὐρανῶν. Καὶ δὴ ἀπελθόντες, καὶ ἑκουσίως ἑαυτοὺς ἐκδόντες τῷ τῆς Χώρας Ἄρχοντι, ἐξετάζοντο· τότε πολλοὺς τῶν Χριστιανῶν ἔστησαν ἔμπροσθεν αὐτοῦ, καὶ ἑαυτοὺς Χριστιανοὺς ὁμολογήσαντες, καὶ κατακριθέντες, ἐνεβλήθησαν εἰς φυλακήν. Καὶ μετά τινας ἡμέρας ἐκβληθέντες, γυμνοὶ ἐξέσθησαν τὰς πλευράς, καὶ ἐκ τῶν ξύλων καταβιβασθέντες, καὶ ἐπὶ τριβόλων συρέντες, τέλος τὰς κεφαλὰς ἀπετμήθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Στεφάνου τοῦ ὁμολογητοῦ, τοῦ Τριγλίας Ἡγουμένου.

Στ. Θείου Στέφανος ἀμπελῶνος ἐργάτης,
Θεῷ παραστὰς καμάτου μισθὸν λάβοι.

Οὗτος ὑπῆρχεν ἐπὶ τῆς Βασιλείας Λέοντος τοῦ Ἀρμενίου, ἐκ βρέφους τὸν ἀσκητικὸν ἑλόμενος βίον· διὰ δὲ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν, ἱκεσίᾳ καὶ παρακλήσει τῶν Μοναχῶν, Ἡγούμενος καταστὰς τῆς Μονῆς Τριγλίας, καὶ πολλοὺς τῇ ἀσκητικῇ πολιτείᾳ τελειώσας, ὕστερον ὑπὸ τοῦ ῥηθέντος δυσσεβοῦς Λέοντος, διωγμὸν κινήσαντος κατὰ τῶν προσκυνούντων τὰς Ἁγίας καὶ σεπτὰς Εἰκόνας, καὶ αὐτὸς προσκληθείς, καὶ ἀναγκασθεὶς ἀρνήσασθαι τὴν προσκύνησιν τῶν Ἁγίων καὶ σεπτῶν Εἰκόνων, καὶ κατὰ τῆς ὀρθοδόξου Πίστεως ὑπογράψαι· καὶ μὴ πεισθείς, ἀλλὰ μᾶλλον δυσσεβεῖς ἀποκαλέσας τοὺς εἰς τοῦτο αὐτὸν ἀναγκάζοντας, πλεῖστα τιμωρηθείς, καὶ φυλακαῖς προσομιλήσας, καὶ ἐξορίαις ταλαιπωρηθείς, πρὸς Κύριον, δι' ὃν τοὺς πολλοὺς ἀγῶνας ὑπέστη, ἐξεδήμησε.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ Κτίσει.

Ἰωάννου τόκον ἔνδοξε ἐμήνυσας, τῷ Ζαχαρίᾳ ποτέ, ἔνδον τοῦ θείου Ναοῦ, ἑστῶτι καὶ ψάλλοντι τῷ λυτρωτῇ καὶ Θεῷ· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἡ περίδοξος τοῦ οἴκου σου εὐπρέπεια, περιφανῶς Γαβριήλ, καθαγιάζει ψυχάς, πιστῶν καὶ προτρέπεται μεγαλοφώνως βοᾶν, ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Λαμπρυνόμενος μεθέξει Ἀρχιστράτηγε, πρώτου φωτὸς μυστικῶς, δεύτερον φῶς ἀληθῶς, ὤφθης τοὺς μέλποντας φωτίζων πάντοτε· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἀπεστάλη Γαβριὴλ ὁ Ἀρχιστράτηγος, χαρὰν μηνύων σοι, Παρθενομῆτορ Ἁγνή· δι' ἧς λύπη πέπαυται, καὶ ἡ ἀρὰ ἀληθῶς, ἀπεστείρωται, καὶ εὐλογία ἐξήνθησε, τοῖς πιστοῖς εἰς τοὺς αἰῶνας.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ἱερολογίαις ἱεραῖς σε, λαὸς ἱερὸς ὑμνεῖ γηθόμενος· σὺ γὰρ τὸν παναίτιον, Λόγον σωματούμενον, τὸν καθ' ἡμᾶς Ἀρχάγγελε, τῇ ἐξ ἡμῶν προσφωνεῖς, Παρθένῳ ὑπὲρ νοῦν τε καὶ λόγον· ὅθεν σε τιμῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Νοΐ τῷ μεγάλῳ τε καὶ πρώτῳ, ἀΰλως Ἀρχάγγελε ἑνούμενος, στόματι πυρίνῳ σου, μέλπεις τὸ μελῴδημα, τὸ φοβερὸν ὃ μέλπουσι, πάντων Ἀγγέλων χοροί· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Εὐκλείαις σαφῶς πεποικιλμένος, ταῖς θείαις διέρχῃ τὰ οὐράνια, εἶτα τὰ ἐπίγεια, ἀποπεραιούμενος, τὰ ἱερὰ θελήματα Χριστοῦ τοῦ πάντων Θεοῦ. Ἀγγέλων Γαβριὴλ ἀρχηγέτα, κλέος τῶν ἐν πίστει, ἀεί σε εὐφημούντων.

Σαρκὶ καθ' ὑπόστασιν ὁ Λόγος, ἀνθρώποις προσομιλῆσαι προελόμενος, ἔσχε σε προτρέχοντα, καὶ προασπιζόμενον, τὸ ἱερὸν παλάτιον, ὦ ἱερὲ Γαβριήλ, καὶ Κύ-

ριον

Digitized by Google

ριον ὑμνεῖτε βοῶντα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Ὡς θρόνον τερπνὸν τοῦ Βασιλέως, ὡς πάντων τῶν ποιημάτων ὑπερέχουσαν, ὡς τὸν ὑπερούσιον μόνην οὐσιώσασαν, τὸν τοὺς βροτοὺς θεώσαντα ἑνώσει κρείττονι, γεννήσεως ἀῤῥήτου καὶ ξένης, τὴν ἀλογημένην ὑμνήσωμεν Παρθένον.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἵστασο φρικτῶς, τῷ θρόνῳ τῆς χάριτος διακονούμενος, καὶ καταστραπτόμενος, φωτοχυσίαις ταῖς ὑπὲρ ἔννοιαν. καὶ ἱερωθεούμενος καὶ φῶς ὁρώμενος, καὶ φωτίζων πίστει τοὺς τιμῶντάς σε, ἱερὲ Γαβριὴλ μεσιτείαις σου.

Ὥσπερ Οὐρανός, ὁρᾶσαι κατάστερος θείαις λαμπρότησιν, ὥσπερ στρατηγέτης δέ, χερσὶ κατέχεις σκῆπτρον ὑπέρλαμπρον, καὶ διαθέσεις ἅπασαν τὴν γῆν τὸ βούλημα, τοῦ Δεσπότου, πάντοτε ποιούμενος, καὶ δεινῶν τοὺς πιστοὺς ἐξαιρούμενος.

Ἔπισχον τὸ δεινόν, βαρβάρων κλυδώνιον ἐπεγειρόμενον, πάντοτε τοῖς δούλοις σου. τῆς Ἐκκλησίας παῦσον τὰ σχίσματα. τοῖς ὑμνηταῖς σου βράβευσον πταισμάτων λύτρωσιν. Βασιλεῖ τε, δώρησαι τὰ τρόπαια, Γαβριὴλ τῇ θερμῇ προστασίᾳ σου.

Ἡ περικαλλής, δυὰς καὶ περίδοξος Μιχαὴλ καὶ Γαβριήλ, θρόνῳ παριστάμενοι, τῆς θείας δόξης πᾶσιν αἰτήσασθε, ἁμαρτιῶν συγχώρησιν, ἀπαλλαγὴν τῶν δεινῶν, ὡς προστάται, ὡς τὴν ἀγαθότητα, τοῦ Δεσπότου ἐν πᾶσι μιμούμενοι.

Θεοτοκίον.

Φέγγος ἀστραπῆς, τοῦ τόκου σου ἔλαμψε καὶ κατεφαίδρυνε, πᾶσαν τὴν ὑφήλιον, καὶ τὸν προστάτην τοῦ σκότους ὤλεσε, Θεογεννῆτορ Πάναγνε, Ἀγγέλων καύχημα, καὶ ἀνθρώπων, πάντων τὸ διάσωσμα, τῶν ἀπαύστοις φωναῖς ἀνυμνούντων σε.

Εἰ τύχῃ ἐν Σαββάτῳ, ἢ Κυριακῇ, λέγε τὸ Ἐξαποστειλάριον τῆς Ἑορτῆς. καὶ εἰς τοὺς Αἴνους, ἐκ τῶν προσομοίων τῆς Ἑορτῆς. Καὶ ἡ λοιπὴ Ἀκολουθία, ἡ ά. Ὥρα καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΚΖ΄.

## Τῆς Ἁγίας Ματρώνης, τῆς ἐν Θεσαλονίκῃ.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστ. προσόμοια.

Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἰουδαίων φρυάγματα, καὶ θρασεῖα ὠμότητι, λογισμὸν ἀντέθηκας ἀνδρειόφρονα, τὴν τῶν μελλόντων προβλέπουσα, Θεόφρονα ἀπόλαυσιν, διαμένουσαν ἀεί, δι' αἰῶνος ἀσάλευτον. ἧς ἐπέτυχες, ἀπὸ γῆς μεταστᾶσα πρὸς νυμφῶνας, Οὐρανίους καὶ χορείαν, τὴν ἀκατάλυτον ἔνδοξε.

Ὅμοιον.

Βασιλείας εὐπρέπειαν, καὶ τερπνὴν ὡραιότητα, κατιδεῖν ἠξίωσαι τοῦ Νυμφίου σου, ὡραϊσμένη τοῖς στίγμασι, στεῤῥᾶς σου ἀθλήσεως, καὶ πηγῇ τῶν ἀγαθῶν, ἐπαξίως προσήγγισας, τῆς ἐπέκεινα, Θεϊκῆς εὐφροσύνης μετουσίαν, καρπουμένη μακαρία, καὶ τὴν ἀθάνατον εὔκλειαν.

Ὅμοιον.

Οὐ ζυγὸς τῆς δουλείας σε, οὐ τὸ χαῦνον τοῦ θήλεος, οὐ λιμὸς οὐ μάστιγες ἐνεπόδισαν, τὴν τῶν Μαρτύρων στεῤῥότητα, μιμεῖσθαι πανένδοξε. προθυμίᾳ γὰρ ψυχῆς, τὰς βασάνους ὑπέμεινας. ὅθεν ἔτυχες, οὐρανίων θαλάμων καὶ στεφάνῳ, τῶν χαρίτων ἐκοσμήθης, παρισταμένη τῷ Κτίστῃ σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Μετανοίας τὸ ἄριστον, καὶ σωτήριον φάρμακον, ἡ Θεὸν κυήσασα τὸν Σωτῆρά μου, καὶ τῶν δακρύων τὰ ῥάματα, καὶ ὥρας τὴν ἔννοιαν, τῆς φρικτῆς καὶ φοβερᾶς, καὶ Κριτοῦ τὸ ἀδέκαστον, σύ μοι δώρησαι, ἐκφυγεῖν ταῖς εὐχαῖς σου ὦ Παρθένε, τῶν κολάσεων τὸν τρόπον, καὶ θείας τεύξασθαι χάριτος. Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς ἑώρακε Κύριε, ἡ Παρθένος καὶ Μήτηρ σου, ἐν Σταυρῷ κρεμάμενον ἐξεπλήττετο, καὶ ἀνακράζουσα ἔλεγε· τί σοι ἀνταπέδωκαν, οἱ πολλῶν σου δωρεῶν, ἀπολαύσαντες Δέσποτα; ἀλλὰ δέομαι, μή με

μό-

Digitized by Google

μόνlω ἐάσῃς ἐν τῷ Κόσμῳ, ἀλλὰ σπεῦσον ἁρπάσαι, συναρισῶν τὰς Προπάτορας.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες ὡς σύνηθες, καὶ τῆς Ἁγίας, εἰς δ΄. Οὗ ἡ ἀκροστιχίς.

Τὸ τῆς Ματρώνης ἔνθεον μέλπω κλέος.

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης.

Ταῖς θείαις τῶν Ἀσωμάτων τάξεσι περιχορεύουσα, περὶ τὸν πάντων αἴτιον Θεὸν, καὶ τρανῶς ἀπολαύουσα, Θεαρχικῆς ἐλλάμψεως, τοὺς σὲ ὑμνοῦντας καταφαίδρυνον.

Ὁ δούλου καταξιώσας δέξασθαι μορφὴν Χριστὸς ὁ Θεὸς, ἐλευθερῶσαι ταύτην βουληθεὶς, ἐκ φθορᾶς καὶ θανάτου δεσμῶν, ἀπὸ ζυγοῦ δουλείας σε, Μάρτυρα Νύμφην ἐμνηστεύσατο.

Τὸ θῆλυ ἀρρενωθεῖσα τῇ χάριτι τὴν ἐπηρμένην ὀφρὺν, καὶ καυχωμένην ἄμετρον τὸ πρὶν, ἐξαλείφειν τὴν θάλασσαν, δι' ἀσθενείας σώματος, θείᾳ δυνάμει καταβέβληκε. Θεοτοκίον.

Ἡ Πύλη τῆς πρὸς ἡμᾶς σου Κύριε συγκαταβάσεως, ἀνατολὴν καὶ Ἥλιον καὶ φῶς, μυστικῶς σε καλούμενον, ὑπερφυῶς ἐξήστραψε, διπλοῦν τὴν φύσιν τὸν φιλάνθρωπον.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Στερρότητι λογισμοῦ, τῆς παρανόμου καὶ δεινῆς ἤνεγκας, τὴν χαλεπὴν βάσανον, φέρουσα Ματρώνα πανόλβιε.

Μαστίγων ὀδυνηρῶν, αἰσθανομένη καθαρῶς ἔφερες, ψηλαφητοῦ σκότους δὲ, θείαν λαμπηδόνα ἀπείληφας.

Αἱμάτων σου οἱ κρουνοὶ, τῆς ἀσεβείας τὴν πυρὰν ἔσβεσαν, τοὺς δὲ πιστοὺς ἤρδευσαν, τῆς θεοσεβείας τοῖς νάμασι.

Θεοτοκίον.

Σὲ τὴν πλάκα τὴν κιβωτὸν, τὴν δεξαμένην ἐν γαστρὶ Πάναγνε, Λόγον Θεοῦ τὸν ἄναρχον, θεηγορικῶς εὐφημοῦμέν σε.

Ὁ Εἱρμός. Εὐφραίνεται ἐπὶ σοί.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἐπέστη φιλέορτοι λαμπρὰ Πανήγυρις, ἡ μνήμη ἡ ἔνδοξος τῆς Ἀθλοφόρου Χριστοῦ, εὐφραίνουσα τὰ σύμπαντα, λάμπουσα ταῖς ἀκτῖσι τῶν θαυμάτων ἐν Κόσμῳ, φέρουσα τοῖς ἀνθρώποις τὴν ἀσύλον χάριν. Αὐτῆς ταῖς ἱκεσίαις Σωτὴρ, σῶσον τὸν Κόσμον σου. Θεοτοκίον. Ὅμοιον.

Ἐκαίνισας ἄχραντε τῷ θείῳ τόκῳ σου, φθαρεῖσαν τοῖς πάθεσι τῶν γηγενῶν τὴν θνητὴν, οὐσίαν καὶ ἤγειρας, πάντας ἐκ τοῦ θανάτου πρὸς ζωὴν ἀφθαρσίας. ὅθεν σε κατὰ χρέος, μακαρίζομεν πάντες. Παρθένε δεδοξασμένη ὡς προεφήτευσας.

Ἡ Σταυροθεοτοκίον.

Ταχὺ προκατάλαβε πρὶν δουλωθῆναι ἡμᾶς.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Ῥώμῃ τῇ θείᾳ Ματρώνα δυναμουμένη, νῦν τῆς πικρᾶς δεσποίνης ἔφυγες δουλείαν, γνώμην ἀταπείνωτον. ψυχὴν γὰρ ἐκέκτησο, μόνῳ τῷ Δεσπότῃ δουλεύσασαν.

Ὠρυομένη καὶ μέθῃ βεβακχευμένη, καὶ τῷ θυμῷ σφαδάζουσα ἡ δυσσεβεστάτη, μάστιξι κατέτεμνεν, Ἑβραίων ὠμότητι, Μάρτυς ἀθλοφόρε τὸ σῶμά σου. Θεοτοκ.

Ἡ χρυσήλατος λυχνία προδιετύπου, τὴν τὸν Θεὸν βαστάσασαν σεσωματωμένον, αἴγλῃ τῆς Θεότητος, τὰ πάντα φωτίζοντα, σὲ τὴν ἀληθῆ Θεομήτορα.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Στέφανον λαμπρὸν, ἡ Θεόφρων καυχήσεως, ἐκτήσατο ζωοδότα, καὶ ἐκ σκότους πρὸς φέγγος, τὸ θεῖον ἐξεδήμησεν.

Ἐστήριξε Χριστὸς, ἐπὶ Πέτραν τῆς Πίστεως, τοὺς πόδας σου μακαρία, πρὸς αὐτὸν κατευθύνων, τὰ σὰ νῦν διαβήματα.

Νοῦν θεῖον ἀληθῶς, καὶ σοφὸν καὶ Θεόφρονα, σὺ ἔχουσα διαλάμπεις, ἐν χορείᾳ Μαρτύρων, Ματρώνα παμμακάριστε. Θεοτοκίον.

Θεότητος μορφὴν, καὶ μορφὴν ἀνθρωπότητος, ἐγέννησας Θεομῆτορ, ἡνωμένας ἀφύρτως, καθ' ἕνωσιν ἀσύγχυτον.

Ὠδὴ ϛ΄. Θύσω σοι, μετὰ φωνῆς.

Ἔνας νῦν, Ἀθλοφόρε τὸν πόθον ἐτρύγησας, ἐπιτηδείως Ματρώνα, θευμένη μάσει τῇ ἀνενδότῳ, καὶ δικαίως, τῆς ἀϊδίου δόξης ἠξίωσαι.



Digitized by Google

Οὐ δοῦλος, ἐν Χριστῷ οὐκ ἐλεύθερος καυχᾶται, ἀλλ' ἀρετῆς εὐμορφία, εὐσεβείας τρόποις κεκοσμημένη. ἧς ἐδείχθης, πλαστουργὸς ἀθληφόρε ἀήττητος. Θεοτοκίον.

Ναόν σε, τοῦ Θεοῦ καὶ παστάδα γινώσκομεν, στάμνον λυχνίαν καὶ πλάκα, κεκτημένην ἔνδον ἐγγεγραμμένον, τὸν δι' οἶκτον, σωματωθέντα Λόγον Παμάμωμε.

Ὁ Εἱρμός. Θύσω σοι, μετὰ φωνῆς.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ, ΚΖ Τῆς Ἁγίας Ματρώνης, τῆς ἐν Θεσσαλονίκῃ.

Στιχ. Οὐκ ἄξιον λαθεῖν σε, Μάρτυς Ματρῶνα,

Κἂν ἔνδον εἱρκτῆς ἐκπνέεις κεκρυμμένη.

Εἰκάδι ἑβδομάτῃ θάψε Ματρῶνα ἐν εἱρκτῇ.

Αὕτη ὑπῆρχε θεράπαινα Ἰουδαίας τινὸς γυναικὸς, Παυτίλης καλουμένης. αὕτη δὲ ἐπακολουθοῦσα μέχρι τῆς συναγωγῆς τῇ κυρίᾳ αὐτῆς, ἔνδον οὐ προσῄει, ἀλλ' ὑπέστρεφεν ἐν τῇ τῶν Χριστιανῶν Ἐκκλησίᾳ. φωραθεῖσα οὖν τύπτεται ἀφειδῶς, καὶ φρουρᾷ κατακλείεται ἐπὶ ἡμέρας τέσσαρας, ἀπρόσιτος διαμείνασα. εἶτα ἐξάγεται, καὶ μάστιξι καταξαίνεται, καὶ πάλιν ἐγκλεισθεῖσα καὶ πολυημερεύσασα ἐν τῇ εἱρκτῇ, ἐν αὐτῇ παρέθετο τὴν ψυχὴν τῷ Θεῷ. ταύτης φασὶ τὸ Ἅγιον Λείψανον, τὴν Παυτίλαν ἀπὸ τοῦ τείχους ῥίψασαν κάτω, τὴν ἀξίαν δίκην ἀποτίσαι καταπεσοῦσαν εἰς τὸ ὑπολήνιον· ἐν ᾧ ἄνωθεν ἐκθλιβόμενον γλεῦκος ἐχεῖτο, κἀκεῖ τὸν βίον στρέψασαν, ἀποῤῥῆξαι τὴν ψυχήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Κύριακος, ὁ ἐν τῷ Ἄπρῳ, ἐν εἰρήνῃ τελειοῦται.

Στ. Ἐγὼ, Πάτερ Κύριακε, καὶ τεθνηκότα,

Καὶ ἐν καρδίᾳ φέρω σε, κἂν γλώττῃ θέλω.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Φιλητοῦ τοῦ Συγκλητικοῦ, καὶ Λυδίας τῆς αὐτοῦ γυναικὸς, καὶ τῶν τέκνων αὐτῶν, Μακεδόνος, Θεοπρεπίου, Κρονίδους, Κομενταρησίου, καὶ Ἀμφιλοχίου Δουκός.

Στ. Ὥσπερ Φιλητὸς, καὶ Λυδία σὰρξ μία,

Οὕτως ἐν αὐτοῖς καὶ μετ' εἰρήνης τέλος.

Θνήσκει Θεοπρέπιος σὺν Μακεδόνι,

Θεοπρεπῶς ᾄδοντες ὕμνους Κυρίῳ.

Δυοῖν συντελοῦντα τῷ Κομενταρησίῳ,

Ἐξισάζων οὖν ξυνυπηρετουμένῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Μάρτυρες, Ἰωνᾶς καὶ Βαραχήσιος, ξίφει τελειοῦνται.

Στ. Οὐ θάρσος ἧττον Ἰωνᾶ πρὸς τὸ ξίφος,

Ἔφη Βαραχήσιος ἀλλὰ καὶ πλέον.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Προφήτης Ἀνίνας ἐν εἰρήνῃ τελειοῦται.

Στ. Τριὰς τρίπους σὸς Ἀνίνα Θεοπρεπὲς,

Δι' ἧς τὸ μέλλον ἔλεγες πρὸ τοῦ τέλους.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παύλου Ἐπισκόπου Κορίνθου, ἀδελφοῦ Πέτρου τοῦ Ἁγιωτάτου Ἐπισκόπου Ἄργους τοῦ σημειοφόρου, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐτυχίου, καὶ τοῦ Ἁγίου Ἀποστόλου Ἡρωδίωνος, ἑνὸς τῶν ό. Ἀποστόλων.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ. Ἐν τῇ καμίνῳ.

Μετ' εὐμενείας, καὶ παῤῥησίας προσεχώρησας, οὕτως πρὸς τὸν σὸν ἐπιμάνθανε ἐραστὴν, ἀκαταπαύστως ἀνακράζουσα, εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Ἐν εὐφροσύνῃ, καὶ χαρμονῇ μεταβέβηκας, πλήρης ἀρετῶν τε παντοδαπῶν, ἀπὸ γῆς πρὸς ἐπουράνιον, χορείαν ἔνδοξε, κληρουχίαν λαχοῦσα ἀθάνατον.

Θεοτοκίον.

Τελαμπρυσμένη πεποικιλμένη ταῖς ἀρεταῖς, Λόγον ὑπὲρ λόγον τέτοκας τοῦ Πατρὸς, σαρκωθέντα Μητροπάρθενε. εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις Παμάμωμε Δέσποινα.

Ὠδὴ η. Χεῖρας ἐκπετάσας Δανιήλ.

Πλουσίου φωτὸς μαρμαρυγὰς, κατηξιώθης ἰδεῖν, ἀπαλλαγεῖσα σαρκὸς, καὶ ἐπουράνιον σκήνωμα, κατοικεῖν ἀντὶ σκηνώματος, τοῦ σκοτεινοῦ καὶ ζοφεροῦ, οὗ κατεκλείσθης σεμνὴ εὐλογεῖτε πάντα τὰ ἔργα βοῶσα τὸν Κύριον.

Ὡραῖος ὁ στέφανος ὃν νῦν, ἐστέφθης ἔνδοξε, ζωαρχικῇ δεξιᾷ τοῦ παντοκράτορος. Νύμφην γὰρ καθορῶν πεφοινιγμένην, ταῖς τῶν αἱμάτων σου ῥοαῖς, χαίρων

ἐλάμ-

Digitized by Google

ἐλάμπρυνεν οἳ βοῶμεν. πάντα τὰ ἔργα ὑμνοῦμέν σε Κύριε. Θεοτοκίον.

Κυρίως γεννήσασα Θεὸν, κυρίως πάναγνε, Μήτηρ ἐδείχθης Θεοῦ, ἐπαληθεύουσαν φέρουσα, καταλλήλως τῷ γεννήματι, Θεωνυμίαν οἱ πιστοί. ὅθεν δοξάζομεν Θεοτόκον, σὲ θεοφρόνως Πανάμωμε Δέσποινα.

ᾨδὴ θ΄. Λίθος ἀχειρότμητος.

Λάμπει νοηταῖς φωταυγίαις, ἡ φωτοφόρος σου ἡμέρα, ταῖς φαεινοτάταις ἀστραπαῖς, τῆς τρισηλίου Μάρτυς ἐλλάμψεως. ἐν ᾗ νῦν ἐκδυσώπησον, καταυγασθῆναι τοὺς ὑμνοῦντάς σε.

Εὗρες ἀμοιβὰς Ἀθλοφόρε, τῆς τῶν παγίδων ἀλγηδόνος, τὴν τῶν Οὐρανῶν κληρουχίαν, ἐν Ἐκκλησίᾳ τῶν πρωτοτόκων νῦν, ἐν ᾗ πανηγυρίζουσα, ταῖς σαῖς πρεσβείαις ἡμᾶς φρούρησον.

Ὄντως τῷ Χριστῷ νῦν συνήφθης, τῷ ἀθανάτῳ σου Νυμφίῳ, περιλωθισμένη τηλαυγῶς, τὰ θεῖα τούτου Πάνσεμνε δόγματα, καὶ τῷ τιμίῳ αἵματι, τοῦ Μαρτυρίου περιλάμπουσα. Θεοτοκίον.

Σειρὰς τῶν ἐμῶν νῦν πταισμάτων, λῦσον Παρθένε Θεοτόκε, ἡ τῆς εὐσπλαγχνίας τὴν πηγὴν, τεκοῦσα μόνη Θεομακάριστε. καὶ θυμηδίας ἔμπλησον, ὅπως ἀξίως μεγαλύνω σε.

Τὸ Φωταγωγικόν.

Καὶ τὰ λοιπὰ ὡς σύνηθες. ἡ α΄. Ὥρα, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ ΚΗ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ Νέου.

Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἵ. προσόμοια. Ἦχος δ΄.

Ἔδωκας σημείωσιν.

Βίον ἀκηλίδωτον, ὑπομονὴν καὶ πραότητα, καὶ ἀγάπην ἀνόθευτον, ἐγκράτειαν ἄμετρον, παννύχιον στάσιν, κατάνυξιν θείαν, πίστιν ἐλπίδα ἀσφαλῆ, ἐν συμπαθείᾳ Πάτερ κτησάμενος, ὡς Ἄγγελος ἐβίωσας ἐπὶ τῆς γῆς μετὰ σώματος, Ἱλαρίων μακάριε, πρέσβευε τῶν ψυχῶν ἡμῶν. Ὅμοιον.

Ἐπίγειος Ἄγγελος, καὶ ἐπουράνιος ἄνθρωπος, ἐχρημάτισας Ὅσιε, πηγὴ κατανύξεως, συμπαθείας ῥεῖθρον, πέλαγος θαυμάτων, ἁμαρτωλῶν ἐγγυητὴς, ἐλαία ὄντως Θεοῦ κατάκαρπος, ἐλαίῳ τῶν καμάτων σου, καθηλαρύνων τὰ πρόσωπα, τῶν πιστῶς εὐφημούντων σε, Ἱλαρίων μακάριε. Ὅμοιον.

Ὁ νοῦς σου λαμπόμενος, ταῖς θεϊκαῖς ἐπιγνώσεσι, τῶν τοῦ σώματος ὕπερθεν, παθῶν ἐχρημάτισεν, ἀμιγὴς τῶν κάτω, φέρων χαρακτῆρας, καὶ ἐκτυπῶν ἐν ἑαυτῷ, τὸ θεῖον κάλλος καὶ γνωριζόμενος, ὅλος Θεοειδέστατος, τῇ συνεργείᾳ τοῦ Πνεύματος, Ἱλαρίων Πατὴρ ἡμῶν, μοναζόντων ἀγλάϊσμα.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Πρὸ χαῦνον καὶ ἔκλυτον, Παρθενομῆτορ πανάμωμε, τῆς ψυχῆς μου μετάβαλε, εἰς ῥῶσιν καὶ δύναμιν, τοῦ φόβου καὶ πόθου, ποιεῖν τε καὶ πράττειν, τὰ δικαιώματα Χριστοῦ. ὅπως ἐκφύγω τὸ πῦρ τὸ ἄστεκτον, καὶ κλῆρον τὸν οὐράνιον, καὶ τὴν ζωὴν τὴν αἰώνιον, διὰ σοῦ ἀπολήψωμαι, εὐφραινόμενος πάντοτε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρούμενον βλέπουσα, καὶ τὴν πλευρὰν ὀρυττόμενον, ὑπὸ λόγχης ἡ Πάναγνος, Χριστὸν τὸν φιλάνθρωπον, ἔκλαιε βοῶσα, τί τοῦτο Υἱέ μου, τί σοι ἀχάριστος λαὸς, ἀποτιννύει ἀνθ' ὧν πεποίηκας, καλῶν αὐτοῖς καὶ σπεύδεις με, ἀτεκνωθῆναι πανφίλτατε; καταπλήττομαι εὔσπλαγχνε σὴν ἑκούσιον Σταύρωσιν.

Εἰς τὸν Ὄρθρον, οἱ συνήθεις Κανόνες, καὶ τοῦ Ἁγίου, εἰς δ΄. Ὁ Κανὼν τοῦ Ἁγίου.

Οὗ ἡ ἀκροστιχίς.

Σοῦ τοὺς ἱλαροὺς αἰνέσω τρόπους Πάτερ. Ἰωσήφ. ᾨδὴ α΄. Ἦχος β΄.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

Συμπαθὴς καὶ πρᾶος γεγονὼς, Πάτερ δι' ἀσκήσεως, καὶ ἱλαρὸς ὡς ἀληθῶς τῷ Πνεύματι, συμπαθείας με μεσιτείαις σου,

Ἱλα-

Digitized by Google

Ἱλαρίωνα ἀξίωσον· ὅπως σε ὑμνήσω, νῦν ἐν ἱλαρότητι καρδίας μου.

Ὁσιώθης Πάτερ ἐκ παιδὸς, καὶ ἀναλαβόμενος, σοῦ τὸν Σταυρὸν τῷ Χριστῷ ἠκολούθησας, πάθη τὰ τοῦ σώματος, ἐγκρατείᾳ τε, καὶ συντόνοις δεήσεσιν, ἐναπομαραίνων, καὶ τῇ ἀπαθείᾳ σεμνυνόμενος.

Ὑπελθὼν Κυρίου τὸν ζυγὸν, σὺ τὸν ἐλαφρότατον, καὶ τοῖς αὐτοῦ ὑπείκων δικαιώμασιν, Ἱλαρίων ὅσιε, τὸ βαρύτατον ἁμαρτίας ἀπέρριψας, πάνσοφε φορτίον, τὴν ἁγιωσύνην προσκτησάμενος.

Θεοτοκίον.

Τῶν ἐμῶν πταισμάτων τὰς σειρὰς, Πάναγνε διάρρηξον, τὸν σὸν Υἱὸν καὶ Θεὸν ἱκετεύουσα, καὶ τὴν τυραννοῦσάν με ἀειπάρθενε, ἁμαρτίαν κατάβαλε· ὅπως σε γεραίρω, πάντοτε Παναμώμε σωζόμενος.

Ὠδὴ γ΄. Ἐξηνθησεν ἡ ἔρημος.

Ὁ βίος σου ὡς Ἥλιος, ἀναλάμψας Ὅσιε, ταῖς διαυγέσι λάμψεσι, Μοναζόντων χορὸς ἐφώτισε, καὶ δαιμόνων τὸ σκότος ἀπεδίωξε.

Ὑπῆρξας ἱλαρώτατος, τῇ καρδίᾳ Ὅσιε, καὶ ταπεινὸς τῷ πνεύματι, καὶ ἀγάπης θείας ἀνάπλεως, εὐπροσήγορον ἦθος ἔχων πάντοτε.

Σταγόσιν ἐναπέσβεσας, τῶν δακρύων ἄνθρακας, τῆς ἁμαρτίας· βρύεις δὲ, ὡς πρὸ τέλους καὶ μετὰ θάνατον, ἰαμάτων πελάγη τοῖς προστρέχουσι.

Θεοτοκίον.

Ἰάτρευσον τὰ τραύματα, τῆς ψυχῆς μου δέομαι, καὶ τοῦ νοὸς κυβέρνησον, τὰς κινήσεις πρὸς τὰ θελήματα, τοῦ ἐκ σοῦ σαρκωθέντος Κόρη πάναγνε.

Κάθισμα. Ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Χριστῷ καθιέρωσας, τὴν σὴν παμμάκαρ ζωὴν, γενόμενος ἄριστος ἱερουργὸς ἀληθῶς, Χριστοῦ Ἱερώτατε· ὅθεν μετὰ μυρίους τοὺς ἱδρῶτας καὶ πόνους, χαίρων εἰς τὰς αὐλὰς μετετέθης σκηνώσεις· καὶ νῦν ἀναπηγάζεις ἡμῖν ῥεῖθρα ἰάσεων.

Θεοτοκίον. Ὅμοιον.

Ταχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία παναμώμε. λῦσον τὰς περιστάσεις τῶν εἰς σὲ προστρεχόντων, πράϋνον μηχανίας καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέως κατὰ τῶν δούλων σου.

Ἢ Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρῷ σε ὑψούμενον, ὡς ἐθεάσατο, ἡ ἄχραντος Μήτηρ σου, Λόγε Θεοῦ μητρικῶς, θρηνοῦσα ἐφθέγγετο· τί τὸ καινὸν καὶ ξένον, τοῦτο θαῦμα Υἱέ μου; πῶς ἡ ζωὴ τῶν ὅλων, ὁμιλεῖς τῷ θανάτῳ, ζωῶσαι τοὺς τεθνεῶτας θέλων ὡς εὔσπλαγχνος.

Ὠδὴ δ΄. Ἐλήλυθας, ἐκ Παρθένου.

Λαμπρύνας σου, τὴν καρδίαν σεπταῖς ἀναβάσεσι, τὸν νοῦν ἀνεπτέρωσας, μόνον Θεὸν ἐνοπτρίζεσθαι, κάλλος τὸ ἀμήχανον, καὶ ταῖς ἐκεῖθεν ἀκτῖσι καταυγάζεσθαι.

Ἀνάπτυξιν, τῶν λογίων τῶν θείων ποιούμενος, τὴν γνῶσιν τὴν ἔνθεον, Πάτερ ἐκεῖθεν ἐξήντλησας. πᾶσι δὲ μετέδωκας, τοῖς εὐσεβῶς Ἱλαρίων σοὶ προστρέχουσι.

Ῥημάτων σου, τῷ ἡδεῖ τὰς καρδίας ἱλάρυνον, τῶν προσερχομένων σοι· πράττων γὰρ ἅπερ ἐδίδασκες, λόγον εὐαπόδεκτον, ἐν συμπαθεῖ διαθέσει εἶχες Ὅσιε.

Θεοτοκίον.

Ὁ Κύριος, σὲ Κυρίαν ἁπάντων καὶ Δέσποιναν, εἰργάσατο Ἄχραντε· σοῦ γὰρ ἐκ μήτρας σεσάρκωται, κατακυριεύοντος, αὐτοῦ τὸ ἴδιον πλάσμα λυτρωσάμενος.

Ὠδὴ ε΄. Μεσίτης Θεοῦ.

Ὑφάνας σεαυτῷ, σωτήριον Ὅσιε ἱμάτιον, οἰκείων ἐκ πόνων σου, τοῦτο ἐνεδύσω καὶ τὸν ἄρχοντα, τὸν τοῦ σκότους αἰσχύνην αἰώνιον ἐνέδυσας.

Σαρκὸς ἡδονὰς, ἐγκρατείᾳ Ὅσιε ἐμάρανας, καὶ χάριν οὐράνιον, Πάτερ ὑπεδέξω ἱλαρώτατα, ἰατρεύσας παντοῖα ἀνθρώπων ἀρρωστήματα.



Digitized by Google

Αἱ σαὶ πρὸς Θεὸν, ἀφειδότως θεῖαι ἐπαιρόμεναι, χεῖρες τοῦ ἀλάστορος, Πάτερ ἀσεβείας νῦν κατέβαλον, ϗ παντὶ ἀσθενοῦντι ὑγείαν ἐχορήγησαν.

Θεοτοκίον.

Ἰσχὺς τῶν πιστῶν, ϗ Ὁσίων γέγονας κραταίωμα· διὰ σοῦ γὰρ Ἄχραντε, ἅπασιν ἐπήγασας τὰ κρείττονα, καὶ οἱ γῆν κατοικοῦντες πρὸς Οὐρανὸν βαδίζουσι.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Νεκρωθεὶς Ἱλαρίων τῷ Κόσμῳ παντὶ, νῦν μεταστάσας ζῇς πρὸς τὰ οὐράνια, ϗ ζωηφόρον πάντοτε, ἰαμάτων πηγάζεις ἐνέργειαν.

Εὐπροσήγορος πρᾶος ἀκέραιος, ἄμεμπτος καὶ ὅσιος καὶ εὐκατάνυκτος, καὶ ἱλαρὸς τῷ πνεύματι, ἐχρημάτισας Πάτερ πανόλβιε.

Συμπαθείᾳ ἀμέτρῳ κοσμούμενος, ϗ φιλοπτωχείας κάλλει σεμνυνόμενος, Θεοῦ θεράπων γνήσιος, Ἱλαρίων ἐδείχθης θαυμάσιε.

Ὡς σεπτός σου ὁ βίος ϗ ἄμεμπτος, ὡς περικαλλὴς ϗ ὡραῖος ὁ τρόπος σου, ὡς φοβερὰ τὰ θαύματα, ἃ τελεῖς καθ᾽ ἑκάστην Θαυμάσιε.

Θεοτοκίον.

Μίαν παστάδα Θεοῦ τὴν ἀμόλυντον, θρόνον τὸν πυρίμορφον τοῦ Παντοκράτορος τὴν Θεοτόκον ἅπασαι, αἱ γενεαὶ γενεῶν μακαρίσωμεν.

Ὁ Εἱρμός. Ἐν ἀβύσσῳ πταισμάτων.

Τὸ Μαρτυρικὸν τοῦ Ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΚΗ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ Νέου, Ἡγουμένου Μονῆς τῆς Πελεκητῆς.

Στ. Δοὺς Ἱλαρίων γῇ τὸ γῆθεν σαρκίον,
Γῆν Μακάρων ᾤκησε τὴν μακαρίαν.
Ὀγδοάτῃ Ἱλαρίωνα κιχήσατο εἰκάδι πότμος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τοῦ Ἁγίου Ἡρωδίωνος.

Οὗτος ἦν εἷς τῶν ἑβδομήκοντα Μαθητῶν, ϗ συνεπόμενος τοῖς Ἀποστόλοις, συνεργὸς ἐτύγχανε τοῦ κηρύγματος· εἶτα ϗ Ἐπίσκοπος τῶν νέων ἐχειροτονήθη Πατρῶν, ϗ διδάσκων πολλοὺς ϗ ἐπιστρέφων πρὸς Κύριον, παρὰ τῶν Ἰουδαίων συστάντων αὐτοῖς ϗ τῶν Εἰδωλολατρῶν συνελήφθη, ϗ ἐτύφθη σφοδρῶς· οἱ μὲν γὰρ ἔτυπτον αὐτὸν, οἱ δὲ λίθοις τὸ στόμα ἄλλοι κατὰ κεφαλῆς ἔπαιον· εἶτα μαχαίρᾳ οἱ θῆρες ἀπέσφαξαν, ϗ οὕτως ἐτελειώθη, τὴν ψυχὴν εἰς χεῖρας Θεοῦ παραθέμενος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Φιλητοῦ, ϗ τῶν σὺν αὐτῷ.

Ὁ Ἅγιος Φιλητὸς, ϗ οἱ σὺν αὐτῷ Χριστιανοὶ, ὑπῆρχον ἐπὶ Ἀδριανοῦ Βασιλέως, καθ᾽ ἑκάστην τῷ Θεῷ λατρεύοντες. Συλληφθεὶς οὖν ὁ μακάριος Φιλητὸς, παρέστη τῷ Βασιλεῖ· ὁ δὲ Βασιλεὺς μὴ δυνηθεὶς ἀντιστῆναι τῇ τοῦ Μάρτυρος σοφίᾳ, παρέδωκεν αὐτὸν, σὺν τοῖς περὶ αὐτὸν, Ἀμφιλοχίῳ τῷ Δουκί· ὃς αὐτοὺς αὐτίκα ξύλοις ἀναρτᾷ, ϗ ἀτόμως σπαθίζεσθαι τὰ σώματα αὐτῶν προστάττει, ϗ τῇ εἱρκτῇ ἐναποῤῥιφῆναι, ἅμα Κρονίδῃ Κομενταρησίῳ πιστεύσαντι. Τῇ δὲ νυκτὶ ἐκείνῃ ψαλλόντων αὐτῶν ϗ εὐχομένων, ἐγένετο αὐτοῖς Ἀγγέλων ἐπιστασία, παραθαῤῥύνουσα αὐτοὺς πρὸς τοὺς ἀγῶνας· τῇ δὲ ἕωθεν παραστάντων τῶν Ἁγίων, ἔφη ὁ Τύραννος· πολλαὶ ὑμῖν ἀπόκεινται βάσανοι ϗ τιμωρίαι. Καὶ εὐθέως ἐν λέβητι ἐκπυρωθέντι σφοδρῶς ἐλαίῳ καὶ ῥυτίνῃ μεμεστωμένῳ βάλλονται, ϗ αὐτίκα ἐψυχράνθη ὁ λέβης. Τότε θαυμάσας ὁ Δοὺξ, εἰσῆλθε ϗ αὐτὸς ἐν τῷ λέβητι. λέγων. Κύριε ὁ Θεὸς τῶν Χριστιανῶν βοήθει μοι· ϗ φωνὴ ἐγένετο πρὸς αὐτόν· εἰσηκούσθη ἡ δέησίς σου, ἀνάβαινε ὧδε. Ταῦτα ἀκούσας ὁ Βασιλεὺς, ἀναζεύξας ἀπὸ Ῥώμης, κατέλαβε τὸ Ἰλλυρικὸν, ἀπειλῆς γέμων καὶ θυμοῦ· ϗ ἐκέλευσεν ἑπτὰ ἡμέραις ἐκκαῆναι τὸν λέβητα μεμεστωμένον ἐλαίου, καὶ βληθῆναι ἅπαντας ἐν αὐτῷ· οὗ γενομένου, ἀβλαβεῖς οἱ Ἅγιοι ἐφυλάχθησαν. Ὁ δὲ αἰσχυνθεὶς. ὑπέστρεψε τὴν ὁδὸν αὐτοῦ· οἱ δὲ Ἅγιοι Μάρτυρες εὐξάμενοι ἐτελειώ-

θη-

Digitized by Google

θησαν. Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

Ῥομφαίᾳ κατέτρωσας τῶν σῶν ἀγώνων, τὸν ἄσαρκον δράκοντα, καὶ παντελῶς ἠφάνισας· βραβεῖον τὰ θαύματα, ὅθεν ἀπείληφας πάθη χαλεπώτατα, ψυχῶν καὶ τῶν σωμάτων ἰᾶσθαι Ὅσιε.

Ὁ λόγος σου πρόεισι καθάπερ δρόσος, ἐλαύνων τὸν καύσωνα τῆς ἀθυμίας Ὅσιε, τῶν προσερχομένων σοι πίστει Πατὴρ ἡμῶν, καὶ τοῖς ἐναρέτοις σου ἀεί, φωτιζομένων τρόποις μακάριε.

Παθῶν αὐτοκράτορα τὸν νοῦν ποιήσας, σαφῶς ἐβασίλευσας ὡς τροπαιοῦχος ἄριστος, καὶ Ἔθνη ἀλλόφυλα κατεξωλόθρευσας, καὶ κατατροπούμενος Σοφὲ τὰ τῶν δαιμόνων πάθη ὀλέθρια.

Οὐκ ἔσεισαν Ὅσιε τῆς σῆς καρδίας, τὸν πύργον τὸν ἄσειστον τῶν πειρασμῶν οἱ ἄνεμοι· τῇ πέτρᾳ γὰρ ἥδραστο τῆς τοῦ Κυρίου στοργῆς, ἥπερ ἐρειδόμενος πολλοῖς, ἐγένου θεῖον Πάτερ κραταίωμα.

Τριαδικόν.

Ὑμνῶ σε τρισάριθμον τοῖς χαρακτῆρσι, Τριὰς ὑπερούσιε, ἀσύγχυτον ἀμέριστον, Μονάδα ἐν φύσει δὲ ἀπεριόριστον, ἐν ᾗ Παντοκράτορα Θεόν, Πατέρα, Λόγον, καὶ Πνεῦμα Ἅγιον. Θεοτοκίον.

Συμβόλοις σε πόῤῥωθεν προδιετύπου, ἡ χάρις τοῦ Πνεύματος προφητικοῖς χαρίσμασιν, ὄρος ποῖον ἅγιον, πύλην σωτήριον, τόμον τε καινότατον Ἁγνή, καὶ κιβωτόν σε κατονομάζουσα.

Ὠδὴ η'. Κάμινος ποτέ, πυρός.

Πρόσκαιρον λιπών, τοῦ βίου Πάτερ δόξαν, καὶ διαῤῥέουσαν ἀπόλαυσιν, κλέος ἀναφαίρετον, καὶ τρυφὴν τὴν ἀδιάῤῥευστον, ἐν οὐρανοῖς ἀπείληφας, κράζων νῦν εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἄπαντα παθῶν, τὸν σὸν διήγες βίον· μακαρισμοῦ ὅθεν ἠξίωσαι, καὶ τῆς παρακλήσεως, ἧς μετέχουσιν οἱ Ὅσιοι, ἐν γῇ πραέων χαίρων νῦν, Ὅσιε ἐνσκηνώσας, ὡς νουνεχής τε καὶ φρόνιμος.

Ποίμνιος ὁ σός, Θεοῦ ἐναντι ὤφθη, θαύματος Πάτερ ἱερώτατε· αὐτοῦ γὰρ ἐτίμησας τὴν Εἰκόνα, καὶ ὑπήνεγκας τοὺς διωγμούς, θλιβόμενος Ὅσιε τῶν Τυράννων, Μάρτυς ἐν τούτῳ δεικνύμενος.

Ἔλυσας σαφῶς, τῶν ἁλιέων Πάτερ, τὴν ἀγανάκτησιν καὶ ἔπλησας. τούτους τοῦ θηράματος, οὗ πρώην Πάτερ ἀπετύγχανον, Θεοῦ καθυπακούσαντος, Ὅσιε τῶν ἀγχῶν σου, Ἱερουργὲ ἱερώτατε.

Θεοτοκίον.

Ῥῦσαί με παθῶν, καὶ σπίλου ἁμαρτίας, Θεοχαρίτωτε ἀπόπλυνον, καὶ πύλας μοι ἄνοιξον μετανοίας ὀλισθαίνοντι, καὶ συνεχῶς τοῖς πταίσμασιν, Ἄχραντε συναντῶντι. καὶ τὸν Θεὸν παροργίζοντι.

Ὁ Εἱρμός. Κάμινος ποτὲ πυρός.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Ἰάσεις ὁ τάφος σου, τοῦ Πνεύματος τῇ χάριτι, ἀναβλύζει ξηραίνων παθῶν ὀμβρήματα, πνεύματα τῆς πλάνης διώκων, φωταγωγεῖ, πάντων τὰς καρδίας, Ἱλαρίων Ὅσιε, τῶν πιστῶς μακαριζόντων σε.

Ὡς ῥόδον ἐξήνθησας, λειμῶνι τῆς ἀσκήσεως, ὡς ἡδύπνοον κρίνον ὡς μῆλον εὔοσμον, κατευωδιάσας ἁπάντων, τῶν εὐσεβῶν, ψυχὰς καὶ καρδίας, Ἱλαρίων ἔνδοξε, πρεσβεύτα τῶν εὐφημούντων σε.

Συμπάθειαν ἔσχηκας, ἀγάπην καὶ ταπείνωσιν, καὶ ἐλεημοσύνην καὶ ἦθος ἄπλαστον, πίστιν ἀληθῆ καὶ ἐλπίδα, βίον σεμνόν, καὶ γνώμην εὐθεῖαν, Ἱλαρίων ἔνδοξε, Μοναζόντων ἐγκαλλώπισμα.

Ἡ μνήμη σου σήμερον, ὡς Ἥλιος ἀνέτειλεν, εὐσεβῶν τὰς καρδίας φέγγει τῶν πόνων σου, καὶ ταῖς τῶν θαυμάτων ἀκτῖσιν, ὡς ἀληθῶς, φωτίζουσα Πάτερ· ἐν ᾗ πάντων μνήσθητι, τῶν πιστῶς μακαριζόντων σε. Θεοτοκίον.

Φωνὴν σοι προσάγομεν, τοῦ Γαβριὴλ γηθόμενοι, χαῖρε λέγοντες οἶκος τοῦ Παντοκράτορος· χαῖρε τῶν Ὁσίων ἡ δόξα, καὶ τῶν πιστῶν, πάντων σωτηρία, δι' ἧς ἐθεώθημεν, Θεοτόκε ἀειπάρθενε.

Ὁ Εἱρμός. Ἀνάρχου Γεννήτορος, Υἱός,



Digitized by Google

Τὸ Φωταγωγικὸν τοῦ ἤχου. Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες, ἡ ά. Ὥρα, καὶ Ἀπόλυσις.

29. Τῶν Ἁγίων Μαρτύρων Μάρκου, Ἐπισκόπου Ἀρεθουσίων, καὶ Κυρίλλου Διακόνου, καὶ τῶν σὺν αὐτοῖς, καὶ τῶν Ἁγίων Μαρτύρων, Ἰωνᾶ, καὶ Βαραχησίου.

Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμοια.

Ἦχος ά. Σταυρὸς κατεπάγη ἐν κρανίῳ.

Ἐν στάσει γενναίᾳ Ἱεράρχα, κατέβαλες ἐχθροῦ τὰς παρατάξεις, καὶ λαοὺς ἐκ τῆς πλάνης τῶν θλίψεων ἐρρύσω.

Ὅμοιον.

Ἐκτάσει τῶν χειρῶν σου Ἱεράρχα, ἐνδυναμώσας τοὺς συνάθλους ἐν πόνοις, ἀνίσχυρον ἐχθροῦ ἀνέδειξας τὸ κράτος.

Ὅμοιον.

Ὡς Μύστης καὶ Μάρτυς τοῦ Δεσπότου, καὶ Διδάσκαλος σοφὸς τῆς Ἐκκλησίας Ἱεράρχα, ὑπὲρ ἡμῶν δυσώπει ἀπαύστως.

Ἕτερα Στιχηρὰ προσόμοια τῶν Μαρτύρων.

Ἦχος ά. Πανεύφημοι Μάρτυρες.

Μάρτυς Βαραχήσιε πολλῶν, πόνων ἐπιδόσεσι, φωτοειδὴς ἐχρημάτισας· πυρὸς νικήσας γάρ, τὴν φλογώδη φύσιν, τῇ θερμῇ πρὸς Κύριον, ἀγάπῃ ἐκρεμάσθης μετέωρος, καὶ πιεζόμενος, τὰ ὀστᾶ πάντα συντέτριψαι· διὰ τοῦτο, πίστει σε γεραίρομεν.

Ἰωνᾶ θεσπέσιε δεθείς, ῥαβδισμοὺς ὑπήνεγκας, καὶ τῶν δακτύλων ἀφαίρεσιν, γλωσσοτεμνόμενος, καὶ βραζούσῃ πίσσῃ, συγκατακαιόμενος, πριστῆρσί τε δεινῶς μεριζόμενος· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ὕμνοις Βαραχήσιον πιστοί, Λάζαρον καὶ Ἄβιβον, καὶ Ἰωνᾶν εὐφημήσωμεν, Ναρσῆν Εὐκλίαν τε, Μάρην Σουβενήθην, Μαρώθαν τὸν ἔνδοξον, καὶ Σάββαν Ζανιθάντε αἰτούμενοι, τούτων δεήσεσι, τῶν κακῶν λαβεῖν συγχώρησιν, καὶ εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς παναγία Παρθένε.

Σταυροθεοτοκίον. Πανεύφημοι Μάρτυρ.

Σταύρωσιν τὴν ἄδικον Χριστέ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι· Τέκνον γλυκύτατον, πῶς νεκρὸς ὁρᾶσαι, πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν ἑδράσας τοῖς ὕδασι, μὴ οὖν ἐάσῃς με, εὐεργέτα μόνην εὔσπλαγχνε, τὴν σὴν δούλην, καὶ Μητέρα δέομαι.

Οἱ Κανόνες συνήθως, καὶ τῶν Ἁγίων, εἷς ἡ. Ὁ Κανὼν τῶν Ἁγίων, ἐν τοῖς Θεοτοκίοις. Γεωργίου.

Ὠδὴ ά. Ἦχος ά. Ὁ Εἱρμός.

» Τῷ βοηθήσαντι Θεῷ, ἐν Αἰγύπτῳ τῷ
» Μωσεῖ, καὶ δι' αὐτοῦ τὸν Φαραὼ, παν-
» στρατὶ βυθίσαντι, ἐπινίκιον ᾠδὴν ἄσω-
» μεν, ὅτι δεδόξασται.

Τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, τὸν λαμπτῆρα τὸν φαιδρόν, ἀνευφημήσωμεν πιστοί, ὡς τῆς πίστεως φωτί, καταυγάσαντα λαούς, δοξάζοντας τὸν Ποιητὴν τοῦ παντός.

Ἐν τῷ λειμῶνι νοητῶς, τῆς Πίστεως Χριστοῦ, ἀνατραφεὶς καὶ αὐξηθείς, Ἱεράρχα πρὸς αὐτόν, τῷ τῆς ἀθλήσεως ὕψει, ἀνέδραμες μάκαρ φαιδρότατος.

Κῆρυξ καὶ Μύστης τοῦ Χριστοῦ, καθαρός τε λειτουργός, ὑπάρχων Μάρκε τὴν ψυχήν, ὑπὲρ τούτου τέθεικας, καὶ προσήνεγκας αὐτῷ, ὡς θύματα τοὺς συναθλοῦντάς σοι.

Θεοτοκίον.

Γένος ἀνθρώπων διὰ σοῦ, τῆς φθορᾶς ἀπαλλαγήν, καὶ ἀφθαρσίας καὶ ζωῆς, ἀκήρατε ἐν Χριστῷ, κληρωσάμενον τιμήν, δοξάζει σε Θεοχαρίτωτε.

Ἕτερος Κανὼν τῶν Μαρτύρων, οὗ ἡ ἀκροστιχίς· Αἶνον προσοίσω τοῖς Θεοῦ παραστάταις. Ἰωσήφ.

Ὠδὴ ά. Ἦχος ά.

Σοῦ

Digitized by Google

Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Αἴγλη φωτιζόμενοι ἀεὶ, τῆς τρισηλίου λαμπάδος Μακάριοι, ὅλον με φωτίσατε, καὶ τὴν ἀχλὺν τῆς ἀγνωσίας λύσατε, ὅπως τὴν φωσφόρον ὑμῶν ὑμνήσω πανήγυριν.

Ἱερολογοῦντες ἱερῶς, τὰ τοῦ Θεοῦ ἱερώτατα λόγια, πᾶσαν τὴν ἀνίερον, τῶν διωκτῶν κακίαν ἀπεκρούσασθε, καὶ ἱερωτάτως, ἀθλήσαντες ἐδοξάσθητε.

Νόμοις ἀσεβέσιν Ἀθληταὶ, τοὺς ἀσεβεῖς ἀνδρικῶς ἀντεθήκατε, τῶν παρανομούντων τε, τὰ χαλεπὰ ὑπενεγκόντες βάσανα, Μάρτυρες μονίμως, παρὰ Κυρίου ἐστέφθητε. Θεοτοκίον.

Ὄρος σε κατάσκιον ποτὲ, ὁ Ἀββακοὺμ ἐλλαμφθεὶς ἐθεάσατο, Μήτηρ ἀπειρόγαμε· ἐξ ἧς Θεὸς σωματωθεὶς ἐπεφάνη, ἀρετῇ καλύψας, ὡς ἀληθῶς τὰ οὐράνια.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Στερέωμά μου γενοῦ, ὁ θεμελιώσας τὴν „γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι οὐκ ἔστιν „Ἅγιος πλὴν σοῦ Κύριε.

Ἐξήρανας θολεροὺς, χειμάῤῥους τῆς πλάνης πυρὶ τῶν σῶν λόγων, καὶ νάματα γνώσεως Χριστοῦ, Μάρκε ἐπήγασας.

Ἐχθρῶν τὴν παρεμβολὴν ἐσκέδασας, Μάρκε Χριστοῦ ἐπικλήσει, καὶ ἤθροισας λογίοις σου λαοὺς εἰς τὴν ἀγάπην αὐτοῦ.

Μαρτύρων συνασπισμὸς, ἔχων στρατηγοῦντα Χριστὸν τὸν Σωτῆρα, τῆς πλάνης τὸν πόλεμον τὸν ἄσπονδον ἐνίκησε.

Θεοτοκίον.

Ἐν θλίψεσι πλατυσμὸν, ἔχοντες Παρθένε τὴν σὴν μεσιτείαν, οἱ πόθῳ τιμῶντές σε ἐκ κινδύνων λυτρούμεθα.

Εἱρμὸς ἄλλος.

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Νευρούμενοι πόθῳ Θεϊκῷ, ἀσκήσει ὑπετάξατε, τὸ τῆς σαρκὸς μακάριοι φρόνημα, ἀθλήσαντες δὲ κατεπαλαίσατε, δυσμενῆ ἀσώματον, πόνων ἐπιδόσεσι, καὶ μονίμως ἐστέφθητε Ἅγιοι.

Μόθων τὸ παθεῖν ὑπὲρ Χριστοῦ, ὑπήνεγκας στεῤῥότητα, τοὺς ῥαβδισμοὺς παμμάκαρ τοῦ σώματος, τυπτόμενός τε καὶ συντριβόμενος, καὶ κατατεμνόμενος Ἰωνᾶ παμόλβιε, τῶν Ἁγίων Ἀγγέλων συνόμιλε.

Ῥωννύμενος θέρμει Θεϊκῷ, πυρούμενος ἐν χάριτι, τοῦ παντουργοῦ παμόλβιε Πνεύματος, τὰς ἀναρτήσεις τὸ πῦρ τὰς μάστιγας, ἀνδρικῶς ὑπήνεγκας Μάρτυς Βαραχήσιε, ὑπὸ πάντων πιστῶν θαυμαζόμενος.

Θεοτοκίον.

Ὁ μόνος οἰκῶν τοὺς Οὐρανοὺς, τὴν μήτραν σου κατῴκησεν, ὑπερβολῇ Παρθένε χρηστότητος, καὶ σὰρξ ὡράθη ἐκ σοῦ τικτόμενος, ἀλλ' αὐτὸν ἱκέτευε, πάσης περιστάσεως, Παναγία ῥυσθῆναι τοὺς δούλους σου.

Ὁ Εἱρμός. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Κάθισμα. Ἦχος α'.

Ἀθλήσεως καύχημα, καὶ στεφάνων ἀξίωμα, οἱ ἔνδοξοι Ἀθλοφόροι περιβέβληνται σε Κύριε. καρτερίᾳ γὰρ αἰκισμῶν τοὺς ἀνόμους ἐτροπώσαντο, καὶ δυνάμει Θεϊκῇ ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξαντο. αὐτῶν ταῖς ἱκεσίαις, δώρησαι ἡμῖν ὁ Θεὸς τὸ μέγα σου ἔλεος.

Ἕτερον τῶν Μαρτύρων. Ἦχος ὁ αὐτός.

Πρὸς. Τὸν τάφον σου Σωτήρ.

Μαρτύρων καρτεροὺς ὑπομείναντες πόνους, πρὸς ἄπονον ζωὴν μετηνέχθητε ὄντως, καὶ νῦν ταῖς εὐχαῖς ὑμῶν, πάντα πόνον κουφίζετε, μεγαλώνυμοι ἐκ τῶν πιστῶς προσιόντων, τῇ σορῷ ὑμῶν. ἣν ἀσπαζόμενοι πόθῳ, ὑμᾶς μακαρίζομεν.

Θεοτοκίον. Ὁ αὐτός.

Συλλαβοῦσα ἀφλέκτως, τὸ πῦρ τῆς Θεότητος, καὶ τεκοῦσα ἀσπόρως πηγὴν ζωῆς τὸν Κύριον, κεχαριτωμένη Θεοτόκε, περίσωζε τοὺς σὲ μεγαλύνοντας.

Σταυροθεοτοκίον.

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι Ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, καταχρέως σε πάντες, εὐσεβῶς μεγαλύνομεν.



Digitized by Google

'Ωδὴ δ'. 'Ο Εἱρμός.

„ Κατανοήσας πάντοδύναμε τὴν σὴν „ οἰκονομίαν, καὶ μετὰ φόβου ἐδόξασά „ σε Σωτήρ.

Ἐξήρανας θολεροὺς χειμάῤῥους τῆς πλάνης, καὶ τὸ ψεῦδος μάκαρ σὺ κατεπολέμησας.

Ἐν πελάγει τῆς σοφίας σου τὴν Ἑλλήνων μωρίαν, Ἱερομάρτυς Μάρκε κατέδυσας.

Τῶν συνάθλων σου τὴν παράταξιν Ἱεράρχα Κυρίλλε, στεῤῥῶς καθώπλισας τοῖς διδάγμασι. Θεοτοκίον.

Ὡς ὑπέρμαχος οὖσα ἄχραντε ἡμῶν τῶν σὲ ὑμνούντων, τῶν πολεμίων θράση κατάβαλε. Εἱρμὸς ἄλλος.

Ὄρος σε τῇ χάριτι τῇ θείᾳ.

Συμφώνως Ἠλίαν Σηβερῆθην καὶ Ἀβιβον, Λάζαρον Μάριν Μαρωθᾶν, Ναρσῆν καὶ Σάββαν Ζανιθᾶν, καὶ τὸν Βαραχήσιον καὶ Ἰωνᾶν, θεοπρεπῶς ἀνυμνήσωμεν, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ ἐναθλήσαντας.

Ὁσίως παμμάκαρ Ἰωνᾶ σὲ γεραίρομεν. μετὰ γὰρ πλείστους αἰκισμοὺς, εἰς παγετὸν ἀποῤῥιφεὶς, γενναίως ὑπέμεινας, τῇ τοῦ Θεοῦ καταθαλπόμενος χάριτι, τὸν χειμῶνα τῆς πλάνης τροπούμενος.

Ἰσχύϊ παμμάκαρ Θεϊκῇ Βαραχήσιε, τὰς πυρακτώσεις ἐνεγκὼν, τὰς ἐκ μολύβδου ἀνδρικῶς τὸ ὄμμα ἀνέτεμες, πρὸς τὸν Χριστὸν ἀναψυχὴν εἰσδεχόμενος, σωτηριώδη. διό σε γεραίρομεν.

Σοφίας Μάρτυς πλησθέντες τῆς τοῦ Πνεύματος, πάντας σοφοὺς καὶ δυνατοὺς, πυρσολατρῶν τῶν δυσμενῶν σαφῶς ἐνεπροπώσαντο, τὸ τοῦ Θεοῦ ἀνακηρύττοντες ὄνομα. οὓς ἐν αἰνέσει πιστοὶ μακαρίσωμεν.

Ὡραῖοι τοῖς στίγμασι τοῖς θείοις ἐδείχθητε, Μάρτυρες ἔνδοξοι Χριστοῦ. ὅθεν τὰ στίγματα βροτῶν, καὶ πάθη ἀνίατα, ἀμελλητὶ ἰᾶσθε καὶ θεραπεύετε, τὰς ἀσθενείας καὶ νόσους ἐν χάριτι. Θεοτοκίον.

Σὺ ὄρος ὁ Προφήτης Δανιὴλ ὃ τεθέαται. ἐξ οὗ λίθος ὁ Χριστὸς ἐτμήθη ἄνωθεν χειρὸς, συντρίψας τὰ εἴδωλα, καὶ καθελὼν τὰ τῶν δαιμόνων φρυάγματα; σὺ εἶ Παρθένε. διό σε δοξάζομεν.

'Ωδὴ ε'. 'Ο Εἱρμός.

„ Ἐκ νυκτὸς ὀρθρίζοντες, ἀνυμνοῦμέν „ σε Χριστὲ ὁ Θεὸς, τὸν δι' ἡμᾶς πτω„ χεύσαντα, καὶ Σταυρὸν καὶ θάνατον, ἐν τῇ „ σαρκί σου ὑπομείναντα.

Ἐν θυμῷ ἀντέστησας, πολεμίων Χριστοῦ, ὡς μιμητὴς μακροθυμίαν Ὅσιε. δι' ἧς ἐταπείνωσας, τούτων τὰ θράση καὶ ἐνίκησας.

Ταῖς πυκναῖς πληττόμενος τῶν βελῶν αἰκίσεσιν Ὅσιε, τοὺς βάλλοντας κατέτρωσας. σὺ δὲ ἀπαράτρωτος, χάριτι θείᾳ συντετήρησαι.

Ὡς στεῤῥοὶ τῆς πίστεως, καὶ ἀήττητοι ὑπέρμαχοι σοφοὶ, γενναίως ἀντετάξασθε, τοῖς ἀπειθοῦσιν Ἅγιοι, καὶ πολεμοῦσι τὴν ἀλήθειαν.

Θεοτοκίον.

Τὴν ὑποθεῖσαν πάθεσι, τῶν ἀνθρώπων ἄχραντε, ἐκ σοῦ τὴν φύσιν, ὁ κτίστης προσλαβόμενος, ἀπέπλυνεν ἐκαίνισε, καὶ θείᾳ χάριτι ἐθέωσεν.

Εἱρμὸς ἄλλος.

Ὁ Φωτίσας τῇ ἐλλάμψει.

Ὁμιλήσας, τῷ φωτὶ τῷ μεγάλῳ φῶς δεύτερον, ἐγνωρίσθης, ἀμαυρῶν δυσσεβούντων προστάγματα, Ἰωνᾶ Θεσπέσιε. δεθεὶς σχοινίῳ δὲ, τὴν πλάνην πᾶσαν, διέλυσας χάριτι.

Τώμενος, τὰ ἡμῶν ὁ Χριστὸς παραπτώματα, ἐκρεμάσθη, ἐπὶ ξύλου Σταυροῦ ἀγαθότητι. τοῦτον δὲ μιμούμενος, ὁ Βαραχήσιος κρεμᾶται, πάθει σεπτῷ καλλυνόμενος.

Στρεβλούμενος, Ἰωνᾶ καὶ δακτύλους κοπτόμενος, ἀνέμελπες, τῷ Θεῷ ὑμνῳδίαν γηθόμενος, τῷ ἐνδυναμοῦντί σε μετὰ σαρκὸς, ἐχθροὺς ἀσάρκους καταπατεῖν διὰ πίστεως. Θεοτοκίον.

Θαυμάζουσα, τὸν ἐκ ταύτης ἀῤῥήτως τικτόμενον, ἡ πάναγνος, κατεπλήττετο καὶ ἐμεγάλυνε, καὶ βοῶσα ἔλεγε, πῶς ἐν ἀγκάλαις σε κατέχω τέκνον, τὸν πάντα κατέχοντα;

'Ωδὴ

Digitized by Google

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.
„ Τὸν Προφήτην διέσωσας, ἐκ τοῦ κή-
„ τους φιλάνθρωπε, κἀμὲ τοῦ βυθοῦ τῶν
„ πταισμάτων ἀνάγαγε δέομαι.

Τῆς θείας ἐξήλεγξας, τὴν ἀπάτην ἀοί-
διμε, καὶ Θεογνωσίας τῷ φέγγει, ἀν-
θρώπους ἐφώτισας.

Τῶν εἰδώλων κατέσεισας, τὰ τεμένη
μακάριε, καὶ σαλευομένους ἀνθρώπους,
εἰς Χριστὸν ἐστήριξας.

Τοὺς συνάθλους καθώπλισας, καὶ ἐχθροὺς
ἐπολέμησας, Μάρκε σὺν Κυρίλλῳ,
καὶ νίκης βραβεῖα εἰλήφατε.

Θεοτοκίον.

Τῇ γεννήσει ἀνυψώθημεν, ὁ ἐχθρὸς τετα-
πείνωται, διὰ τοῦ ἀφράστου, καὶ θείου
τόκου σου Ἄχραντε.

Εἱρμὸς ἄλλος.

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος.

Ἐν μάνδρᾳ σε Χριστὸς ἀγωνιζόμενον, δορὰν
γὰρ ἀφαιρούμενος, πανάοιδιμε τῆς κά-
ρας Ἰωνᾶ, ἔφερες ἀνδρείως τὴν τοῦ ὄφεως,
καταπατῶν, δολίαν κάραν καὶ νῦν ἀλάστορα.

Ὁμοὺς σου ἀκλινῆς ἀποτμηθείσης σου, τῆς
γλώττης μένει Ὅσιε. καὶ τοῖς αἵμασιν
ἡγίασαι ἡ γῆ, τοῖς ἐκκενωθεῖσι δι᾽ ἀγά-
πησιν, τοῦ ἐν Σταυρῷ, τὸ θεῖον αἷμα κε-
νώσαντος.

Ὑμνήσωμεν πιστοὶ Ἠλίαν Ἄβιβον,
Ναρσῆν καὶ Μάρην Λάζαρον, Ση-
βεήθην Μαρωθᾶν καὶ Ζανιθᾶν, Σάββαν καὶ
τὸν μέγαν Βαραχήσιον, καὶ Ἰωνᾶν, τοὺς
καλλινίκους καὶ Μάρτυρας.

Θεοτοκίον.

Παλάτιον Θεοῦ ἐδείχθης δέσποινα, τοῦ
πάντων Βασιλεύοντος. ὃν ἱκέτευε,
λῃστῶν με πονηρῶν, ἤδη γεγονότα καταγώ-
γιον, ἀποκαθᾶραι, καὶ σῶσαί με Ἄχραντε.

Ὁ Εἱρμός· Ἐκύκλωσεν ἡμᾶς.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΚΘ΄. Τῶν Ἁγίων Μαρ-
τύρων, Μάρκου Ἐπισκόπου Ἀρεθουσίων,
καὶ Κυρίλλου Διακόνου, καὶ ἑτέρων πολλῶν.

Στίχ. Ἐπαγρυπνήσας πρῶτα πολλαῖς
αἰκίαις,
Ὕπνωσε Μάρκος, θεῖον εἰρήνης ὕπνον.
Γαστὴρ Κυρίλλου λῦται διὰ ξίφους,
Ὡσεὶ πάχος γῆς, εἶπε Δαβὶδ ἐρράγη.
Κεῖνται γυναῖκα βρώσεως χοίροις σκάφαι,
Γαστρὸς παθοῦσαι, ῥῆξιν αἱματοφόρον.

Οὗτος ὁ Ἅγιος Μάρκος ἦν ἐπὶ τῆς Βασιλείας
Κωνσταντίνου τοῦ Μεγάλου, ὃς ζήλῳ
πρωθεὶς, καὶ πολλοὺς βωμοὺς τῶν εἰδώλων
καθεῖλε, καὶ Ἐκκλησίας ἐδείματο. Ἰουλια-
νοῦ δὲ μετὰ ταῦτα τῆς Βασιλείας κρατήσαν-
τος, καὶ πολλὴν παρρησίαν τοῖς εἰδώλοις
ἀπονέμοντος, οὐ μόνον τῷ δὲ τῷ ἁγίῳ κα-
κὰ ἐνεδείξατο, ἀλλὰ καὶ ἑτέροις πολλοῖς,
διὰ τὴν τῶν εἰδωλικῶν ναῶν καθαίρεσιν.
ὁ δὲ ἅγιος μικρὸν ὑποχωρήσας, ἐπειδὴ τι-
νας ἑλκομένους ἐπύθετο δι᾽ αὐτὸν, ἐπανή-
κε, καὶ τοῖς μιαιφόνοις προὔδωκεν ἑαυτόν.
οἱ δὲ λαβόντες καὶ γυμνώσαντες, καὶ παντὶ
τῷ σώματι πληγὰς αὐτῷ ἐπιθέντες, καὶ
εἰς ὑπονόμους ἐμβαλόντες δυσώδεις, καὶ
τοῖς παισὶν ἐκδόντες, ταῖς ῥαφίσι κεντῆ-
σθαι, γάρῳ διάβροχον ποιήσαντες, καὶ ἐπι-
χρίσαντες μέλιτι ἐν ἀκμῇ θέρμου μετέω-
ρον ἐν καλωδίοις ἀνήρτησαν, ἵνα ὁμοῦ γυ-
μνῇ τῇ κεφαλῇ καὶ ὅλῳ τῷ σώματι ἐν στα-
θηρᾷ μεσημβρίᾳ τὰς ἡλιακὰς ἀκτῖνας δε-
χόμενος φλέγοιτο, καὶ σφηξὶ καὶ μελίτταις
οἷς ἐπεκέχριστο εἴη τροφή. καὶ ταῦτα ἐδρᾶ-
το, καὶ ὁ θαυμάσιος πρεσβύτης πάντων ἐνε-
καρτέρει, ὑπὲρ τοῦ μὴ προέσθαι τοῖς βασα-
νισταῖς, εἰς ἀνοικοδομὴν αὖθις τῶν καθαι-
ρεθέντων βωμῶν. καὶ μέντοι τῇ ἐνστάσει νι-
κήσας, καὶ τῇ πράξει νικᾷ. ὡς γὰρ εἶδον
ῥωμαλαίως καὶ νεανικῶς τὴν βάσανον ὑπο-
στάντα, μεταβαλλόμενοι μετέμαθον τὴν
εὐσέβειαν. δι᾽ αὐτὸ δὲ τοῦτο καὶ κατὰ τὴν Φοι-
νίκην τοιοῦτόν τι ὑποτολμᾶται. Κύριλλον
γὰρ Λευίτην διὰ καθαίρεσιν τινῶν εἰδωλι-
κῶν ξοάνων παρρησιασάμενον τὴν ἀλή-
θειαν, τὴν γαστέρα αὐτοῦ ἀνατεμόντες, καὶ
τὰ ἔγκατα ἐξαγαγόντες, θέαμα τοῖς ὁ-
ρῶσιν ἐδείκνυντο, οὓς καὶ φασὶ τοὺς μιαιφόνους,
τῶν ἡπάτων ἐμφορηθέντας, τῆς κατ᾽ ἀξίαν
δίκης τυχεῖν, ἐκτιναχθέντων αὐτῶν τῶν
ὀδόντων, καὶ τῆς γλώττης διαῤῥυείσης, καὶ



Digitized by Google

τῆς ὀπτικῆς διαλυθείσης δυνάμεως· τὰ δὲ ἐν Ἀσκάλωνι καὶ Γάζῃ γυναικῶν Παρθένων καὶ ἱερωμένων ἀνδρῶν παθήματα, τῶν γαστέρων αὐτῶν διαῤῥαγέντων, τῶν ἐγκάτων δεξαμένων κριθὰς, καὶ χοίροις τεθέντων βορὰν, τίς ἂν ἀξίως ἐκτραγῳδήσειε; Ταῦτα τῆς ἀσεβοῦς βασιλείας καὶ τῶν ὑπ' αὐτῇ τεταγμένων τὰ δράματα· ἀλλὰ τοῖς μὲν περιέστη, ἀντὶ τῶν ἐντεῦθεν βασάνων, ἡ μακαριότης ἡ ἄληκτος· τῷ δὲ προαστιστῇ τῆς κακίας, ἡ διὰ φλογὸς τιμωρία, καὶ τὸ αἰωνίως κολάζεσθαι.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Ἰωνᾶ, καὶ Βαραχησίου.

Στ. Ἔχεις Ἰωνᾶν καὶ σὺ γῆ πάντως μέγαν,
Κατ' οὐδὲν ἐνδέοντα τοῦ θαλαττίου.
Διψῶν Βαραχήσιος ἀθλητῶν τέλος,
Χανὼν ζεούσης ἐκπίνει πίσσης σκύφον,
Ἐπᾶ φλογερῆς ἐννάτῃ Βαραχήσιον εἰκάδι πίσσης.

Οἱ Ἅγιοι Ἰωνᾶς καὶ Βαραχήσιος, ὑπῆρχον ἐκ Περσίδος, κατὰ τοὺς χρόνους Σαβωρίου Περσῶν, καὶ Κωνσταντίνου Βασιλέως Ῥωμαίων τοῦ μεγάλου. Μοναχοὶ δὲ ὄντες, καὶ τὸ ἑαυτῶν μοναστήριον καταλιπόντες, ἦλθον ἐν πόλει Βαραβὼχ καλουμένῃ, καὶ ἐν αὐτῇ κατακλείστους εὑρόντες τοὺς ἁγίους Μάρτυρας, Ζανιθᾶν, Λάζαρον, Μαρυθᾶν, Ναρσῆν, Ἠλίαν, Μάρην, Ἄβιβον, Σηβεηθῆν, καὶ Σάββαν, παρεθάῤῥυνον αὐτοὺς καὶ πρὸς τοὺς ἀγῶνας ὑπήλειφον. κατασχεθέντες δὲ, ἤχθησαν πρὸς τοὺς τρεῖς ἄρχοντας Μασδρὰθ, Σιρῶ, καὶ Μαρμυσῆ· ὑφ' ὧν παραινέσεις ἅμα καὶ ἀπειλὰς δεξάμενοι, καὶ μὴ πεισθέντες αὐτοῖς, πρῶτον δεσμοῦνται νόμῳ Περσικῷ. ὁ δὲ Ἰωνᾶς καὶ ῥάβδοις τραχείαις τύπτεται, καὶ σχοινίοις διαληφθεὶς ἔξωτου ὑπαίθριος τῷ κρυμῷ, πρὸς τὸ ταλαιπωρεῖσθαι βάλλεται. ὁ δὲ Βαραχήσιος βόλους χαλκοῦς ἐκπυρωθέντας κατὰ τῶν μασχάλων δέχεται, καὶ ἄφνω ἐπί τε τοῖς βλεφάροις καὶ τοῖς ὠσὶ, καὶ τοῖς λάρυγξι τῶν Ἁγίων, μόλυβδον καταχέουσι. καὶ ὁ μὲν Βαραχήσιος, δεθεὶς τοὺς πόδας κρέμαται ἐν τῇ φυλακῇ· ὁ δὲ Ἅγιος Ἰωνᾶς, τέμνεται τοὺς δακτύλους χειρῶν καὶ ποδῶν, καὶ τῆς κεφαλῆς τὸ δέρμα ἀφαιρεῖται, καὶ τὴν γλῶτταν τέμνεται, καὶ ἐν χαλκείῳ πίσσης μεστῷ ἐμβάλλεται, ἐξ οὗ ἀβλαβὴς διεξῆλθε. καὶ μετὰ ταῦτα, κατασφίγγουσιν αὐτὸν ἐν κοχλίᾳ τεκτονικῷ, καὶ συντρίβουσιν αὐτοῦ τὰ ὀστᾶ. εἶθ' οὕτω πρίζουσι μέσον, καὶ ἐν λάκκῳ κρύπτουσι βαθυτάτῳ, ἐν ᾧ τὸ τέλος ἐδέξατο. Ὁ δὲ Ἅγιος Βαραχήσιος, εἰς ἐξέτασιν ἀχθεὶς, γυμνὸς σύρεται ἐπ' ἀκάνθαις, καὶ περιπείρεται καλάμοις ὀξέσι, καὶ ἐν κοχλίᾳ βληθεὶς, καὶ ὅλον τὸ σῶμα κατακλασθεὶς, καὶ κατὰ τοῦ φάρυγγος πίσσαν ἐπιχεθεὶς βράζουσαν, ἀπέδωκε τὴν ψυχήν. Συγκατετέθησαν δὲ αὐτῶν τὰ Λείψανα, καὶ ἐτάφησαν ἅμα τοῖς ἐννέα Μάρτυσιν, ἐκείνων μὲν τελειωθέντων κατὰ τὴν εἰκοστὴν ἑβδόμην τοῦ Μαρτίου Μηνὸς, τοῦ δὲ Ἁγίου Ἰωνᾶ, καὶ Βαραχησίου, κατὰ τὴν εἰκοστὴν ἐννάτην.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου καὶ Ὁμολογητοῦ Εὐσταθίου Βιθυνίας.

Στίχ. Τὸν πηλὸν ἐκδὺς, Εὐστάθιε παμμάκαρ,
Χριστῷ παρέστης τῷ δι' ἡμᾶς πηλίνῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ο'. Σωσθένους, Ἀπολλὼ, Κηφᾶ, Καίσαρος, καὶ Ἐπαφροδίτου.

Στ. Ῥίζης Μαθητῶν ἑβδομήκοντα κλάδων,
Πεντάκλαδον τέμνουσιν ἐκ ξίφους μέρος.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„ Ὁ ἐν τῇ βάτῳ ὀφθεὶς, ἐν πυρὶ τῷ Νομοθέτῃ, καὶ τὸν τόκον τῆς Ἀειπαρθένου, ἐν αὐτῇ προτυπώσας, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Οἱ τῶν αἱμάτων κρουνοὶ, τῆς ἀθλήσεώς σου Μάρκε, ἀπέπνιξαν τοὺς τριστάτας τῆς ἀπάτης, καὶ θεῖον ἴαμα πᾶσιν ἔβλυσαν, τοῖς ὑμνοῦσι Χριστὸν τὸν Θεόν.

Αἱ προσβολαὶ τοῦ ἐχθροῦ, ἐξηθένησαν εἰς τέλος, αἱ κατὰ σοῦ μηχανώμεναι, ἀήττητε Μάρκε. σὺ δὲ Θεόθεν δύναμιν, ἀπρόσμαχητον εἴληφας.

Θῦμα

Digitized by Google

Θῦμα σαυτὸν λογικὸν, ἱερούργησας Κυρίῳ, ἐν μαχαίρᾳ τῆς ἀθλήσεως τυθεὶς, καὶ ἐνθέου Κυρίως τελειώσεως, πυρὶ δειχθεὶς ὁλοκαύτωμα. Θεοτοκίου.

Τ᾽ ὀχμὴν καὶ κράτος ἡμᾶς, ἱκεσίαις σου Παρθένε, τοὺς ἀπαύστως σε Κυρίαν ὡς Θεοτόκον ὑμνοῦντας, κατὰ παθῶν ἐπένδυσον, καὶ προσβολῶν νοουμένων ἐχθρῶν.

Εἱρμὸς ἄλλος.

Σὲ νοητὴν Θεοτόκε κάμινον.

Ἀποσκοπῶν εἰς τὸν μόνον Κύριον, σώζειν δυνάμενον σοφὲ, οὐκ ἐφλέχθης προσομιλῶν τῆς ἴσης πυρακτώσει, δρόσον θείας χάριτος, ὦ Ἰωνᾶ κομιζόμενος, ὥσπερ οἱ τρεῖς νεανίαι ποτέ. ὅθεν ὑμνοῦμέν σε.

Ῥώμῃ Θεοῦ Ἰωνᾶ ῥωννύμενος, ἤνεγκας βάσανα πικρά. Ἠσαΐας δὲ ὥσπερ τὸ πρὶν, ἔχαιρες πριζόμενος, τέλος τὸ μακάριον ἀναβοῶν καὶ δεχόμενος. ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ἤδει τὰ σὰ Μάρτυς προτερήματα, ἡ Ἐκκλησία τοῦ Θεοῦ, μεγαλύνουσα τοὺς μακροὺς, ἄθλους οὓς ὑπήνεγκας, θάνατον τὸν τίμιον, καὶ προσκυνεῖ τῶν λειψάνων νῦν, τὴν σορὸν ἐξ ἧς βρύει ἡμῖν, ψυχῶν ἰάματα.

Σὺ ἀνδρικῶς Μάρτυς Βαραχήσιε, καταπατῶν τοῦ πονηροῦ, ἀκανθώδεις ἐπιβουλὰς, ἔφερες συρόμενος, καὶ κατακεντούμενος, τοῖς ἀκανθώδεσι βέλεσι, τὸν αἰνετὸν ἀναμέλπων, Θεὸν τὸν ὑπερένδοξον. Θεοτ.

Τὴν ἐν ἐμοὶ ῥαθυμίαν Δέσποινα, καὶ νυσταγμὸν τὸν χαλεπὸν, ταῖς ἀγρύπνοις σου πρὸς Θεὸν, καὶ σεπταῖς δεήσεσιν, Ἄχραντε ἀπέλασον, καὶ μελῳδοῦντά με οἴκτειρον. ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„Ὕμνον σοι προσφέρομεν τῶν Ἀσωμάτων, ὥσπερ οἱ παῖδες ἐν τῇ καμίνῳ, καὶ ὑμνοῦντες λέγομεν. εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Λογίοις κατεκόσμησας τὴν Ἐκκλησίαν, καὶ αἱμάτων τοῖς ῥείθροις, φαιδρῶς κατηγλάϊσας Ἱεράρχα, Χριστὸν ὑμνοῦσαν τὸν σὲ ἐνισχύσαντα.

Ἄγρυπνα τὰ ὄμματα τῆς ψυχῆς σου ἔχων, τὴν ποίμνην τοῦ Χριστοῦ, ἀσινῆ φυλάττεις Ἱεράρχα, τὴν ἀπαύστως ἐν ὕμνοις σε δοξάζουσαν.

Μύρα εὐωδέστατα οἱ Ἀθλοφόροι, τὰ τῶν αἱμάτων ῥεῖθρα, προσῆξαν τῷ Δεσπότῃ λέγοντες. εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον. Θεοτοκίον.

Ὁλάγαθον ἔχοντες σὲ προστασίαν, Θεογεννῆτορ ἀγαθότητος, διὰ σοῦ τυγχάνομεν βοηθείας, παρὰ τοῦ ἀγαθοδότου Θεοῦ.

Εἱρμὸς ἄλλος.

Ἐν καμίνῳ Παῖδες Ἰσραήλ.

Ἀκαθέκτοις χρώμενος ὁρμαῖς, ἐχθρὸς ὁ δολιόφρων, καλάμοις σου περιάπτει πανάοιδιμε πλευρὰς, δεσμῶν καὶ συνθλίβων, καὶ τὰς σάρκας ξαίνων καὶ τέμνων, Μάρτυρα δεικνύων, τοῦ Παμβασιλέως Χριστοῦ εἰς τοὺς αἰῶνας.

Τοῖς δεσμοῖς σου λύεις πονηρὰ, δεσμὰ τῆς ἀθεΐας, παθεὶς καὶ συντριβεὶς σὺ, τὰ τοῦ σώματος ὀστᾶ, Μάρτυς Βαραχήσιε, τὴν ἀπάτην πᾶσαν συντρίβεις, καὶ ὡς χοῦν λεπτύνεις, μέλπων σὲ δοξάζω Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἀπορήσας σοῦ τῇ καρτερᾷ, ἐνστάσει ὁ παράφρων, βραζούσαις σε καταφλέγει καταπόσεσι θερμῶς, Μάρτυς Βαραχήσιε μελῳδοῦντα. πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἱερεῖα τέλεια Θεῷ, καὶ θύματα εὐώδη, ὁλόκληροι προσφοραί τε προσηνέχθητε, ὁμοῦ κραυγάζοντες Μάρτυρες. εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον. Θεοτοκ.

Συντριβεῖσαν φύσιν τῶν βροτῶν, τῇ πάλαι παραβάσει, ἀνέπλασας ὑπὲρ φύσιν, καὶ ἐθέωσας, Ἁγνὴ, τῷ τόκῳ σου ψάλλουσαν· πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„Σὲ τὴν ὁραθεῖσαν πύλην ὑπὸ Ἰεζεκιὴλ τοῦ Προφήτου, ἐν ᾗ οὐδεὶς διῆλθεν εἰ μὴ Θεὸς μόνος, Θεοτόκε Παρθένε, ὕμνοις τιμῶμέν σε.



Digitized by Google

Σὺ τὰς λογικὰς λατρείας, καὶ θυσίας Πάτερ ἀμωμάκτους, προσφέρων Κυρίῳ, καρδίᾳ ἁγνοτάτῃ, καθαρὸν ἱερεῖον, προσήχθης διʼ ἀθλήσεως.

Σὺ τῇ νοητῇ μαχαίρᾳ τῶν λόγων σου, τῶν ψευδῶν κεφαλὰς πολυμόρφους, Μάρκε τεμὼν, ἀνθρώποις τὴν ἀλήθειαν πᾶσι, κηρύξας ἐμεγάλυνας.

Ταῖς τῶν Ἀθλητῶν πρεσβείαις, καὶ μυσταγωγῶν σου ἱκεσίαις εὐεργέτα, Μάρκου τε καὶ Κυρίλλου καὶ τῶν συναθλοφόρων, καὶ ἡμᾶς τῶν θείων χαρίτων καταξίωσον.

Θεοτοκίον.

Ὑπὸ οἰκτιρμῶν οἰκείων, καὶ φιλανθρωπίας ἀπορρήτου, καμφθεὶς ὁ πάντων Κτίστης, ἐκ σοῦ Ἁγνὴ ἐτέχθη, καὶ φθαρέντας ἀνθρώπους, ἀνέπλασε καὶ ἐκαινούργησε. Εἱρμὸς ἄλλος.

Τύπον τῆς Ἁγνῆς λοχείας σου.

Ἥδε φωταυγὴς πανήγυρις, φωτοειδῶν Μαρτύρων ἔλαμψε σήμερον, μέγα τὸ ζοφερὸν τῆς ἁμαρτίας σκεδάζουσα, καὶ φωτίζουσα θείῳ ἐν Πνεύματι, πιστῶν τὰς διανοίας. ταύτην προθύμως ἑορτάσωμεν.

Ὥσπερ δύω ἀνατέλλοντες, φωτοειδεῖς ἀστέρες, πᾶσαν φωτίζετε τὴν ὑπʼ Οὐρανὸν, ταῖς τῶν ἀγώνων λαμπρότησιν, Ἰωνᾶ καὶ σοφὲ Βαραχήσιε. διό με τὸν ἐν σκότει, τῆς ἁμαρτίας καταυγάσατε.

Στῦλοι Ἐκκλησίας ὤφθητε, ἀπεριτρέπτως ταύτην διαβαστάζοντες, Ἄβιβος ὁμοῦ Ναρσῆς καὶ Μάρης Ἡλίας, Ἰωνᾶς σὺν Βηθὴλ καὶ Λάζαρος, καὶ Ζανιθᾶς καὶ Σάββας, καὶ Μαρωθᾶς καὶ Βαραχίσιος.

Ἤδη μετʼ Ἀγγέλων ἅγιοι, παρεστηκότες θρόνῳ τῆς δόξης πάντοτε, καὶ ταῖς ἀστραπαῖς τῆς τρισηλίου λαμπρότητος, αὐγαζόμενοι πάντας φωτίσατε, τοὺς πίστει τὴν φωσφόρον, ὑμῶν γεραίροντας πανήγυριν. Θεοτοκίον.

Φεῖσαι τοῦ λαοῦ σου Κύριε, καὶ ἧς ἐκτήσω ταύτης κληρονομίας σου, ταῖς ὑπὲρ ἡμῶν τῆς σὲ τεκούσης Θεόπαιδος, παρακλήσεσιν ἐπικαμπτόμενος· ἵνα σε ὡς Δεσπότην, καὶ πανοικτίρμονα δοξάζωμεν.

---

## Τῷ αὐτῷ Μηνὶ Λ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου, τοῦ Συγγραφέως τῆς Κλίμακος.

Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἵστ. προσόμοια. Ἦχος Πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Ἰωάννη Ὅσιε, διαπαντὸς ἀληθῶς, τοῦ Θεοῦ ἐν τῷ λάρυγγι, τὰς ὑψώσεις ἔφερες, μελετῶν πρακτικώτατα, τὰ Θεόπνευστα λόγια πάνσοφε, καὶ τὴν ἐκεῖθεν ἀναπηγάζουσαν, χάριν ἐπλούτησας, γεγονὼς μακάριος, τῶν ἀσεβῶν, πάντων τὰ βουλεύματα καταστρεφόμενος.

Ὅμοιον.

Πάτερ Ἰωάννη ἔνδοξε, ταῖς τῶν δακρύων πηγαῖς, τὴν ψυχὴν καθαιρόμενος, καὶ παννύχοις στάσεσι, τὸν Θεὸν ἱλασκόμενος, ἀνεπτερώθης πρὸς τὴν ἀγάπησιν, τὴν τούτου μάκαρ καὶ ὡραιότητα· ἧς ἐπαξίως νῦν, ἀπολαύεις ἄληκτα χαρμονικῶς, μετὰ τῶν συνάθλων σου, Θεόφρον Ὅσιε.

Ὅμοιον.

Πάτερ Ἰωάννη ἔνδοξε, ἀναπτερώσας τὸν νοῦν, πρὸς Θεὸν διὰ Πίστεως, κοσμικῆς συγχύσεως, ἐβδελύξω τὸ ἄστατον, καὶ τὸν Σταυρόν σου ἀναλαβόμενος, τῷ παντεπόπτῃ κατηκολούθησας, σῶμα δυσήνιον, ἀγωγαῖς ἀσκήσεως τῷ λογισμῷ, θέρμει δουλωσάμενος, τοῦ θείου Πνεύματος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἢ Σταυροθεοτοκίον. Ὅμοιον.

Εἰς τὸν Ὄρθρον οἱ Κανόνες τοῦ Ἁγίου καὶ τοῦ Τριῳδίου. Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς...

Ὠδὴ α΄. Ἦχος α΄.

Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες.

Καλῶς βδελυξάμενος τὸν κάτω Κόσμον, τὸν ἄνω ἀπείληφας, Ἰωάννη πάνσοφε. διὸ διδάσκεις ἡμᾶς, τοῦ Κόσμου εἶναι τὴν φυγὴν Θεοῦ οἰκείωσιν.

Λιμὸν προσπαθείας σου λύσας τῆς μέσας, τὸν Ἄρχοντα ἔδησας, τῶν παθῶν μακάριε, σειραῖς ἀγώνων σου, καὶ ἀπαθείας ἔπαθλα, ἐστέφθης παρὰ Χριστοῦ τοῦ Θεοῦ.

Ἰσάγ-

Digitized by Google

Εὐαγγελικὴν φορὴν μὰ λαβὼν Θεόφρον, τῷ Κόσμῳ ἀπερρήξας σεαυτὸν παμόλβιε, τῷ γενητῷ καὶ φθαρτῷ. διὸ αὐλίζῃ προφανῶς, εἰς τὰς αὐλὰς μονάς.

Μακρὸν συγγραψάμενος τοῖς ὑπηκόοις, τὸν λόγον μακάριε, Ἰωάννη πάνσοφε, ταῖς διδαχαῖς σου αὐτοὺς, πρὸς μακαρίαν ἐκ γῆς, ἀναβιβάζεις ζωήν.

Θεοτοκίον.

Κηρύττει τὸν τόκον σου ἡ Ἐκκλησία, Παρθένε Θεόνυμφε, ὀρθοδόξῳ στόματι, καὶ πράγμασι θείοις, τὰ σύμβολα δὲ τῆς σαρκὸς, τοῦ σοῦ Υἱοῦ προσκυνεῖ.

Ὠδὴ γ'. Λίθον ὃν ἀπεδοκίμασαν.

Εὗρες ὡς τερπνὸν θυμίαμα τὴν ἀοργησίαν, πᾶσαν ἐκδιώξας θυμοῦ τὴν δυσωδίαν, ἐκ βάθους τῆς ψυχῆς σου. διὸ νῦν θεωρέεις, ὑπὲρ ἡμῶν τῷ Λυτρωτῇ, ἁμαρτιῶν τὴν λύσιν αἴτησαι.

Φλέξας τῷ πυρὶ μακάριε τῆς Χριστοῦ ἀγάπης, νῦν μνησικακίας ἔλαμψας ἀκτῖσι, πιστῶς φιλαδελφίας. καὶ ῥᾴστην ὑπέδειξας ὁδὸν μακάριε, πρὸς σωτηρίαν πᾶσι, τρανῶν τὸ ἀμνησίκακον.

Ἤρας πρακτικῆς ἀσκήσεως ὑψόθεν χάριν. ὅθεν ἀποφράττεις χείλη καταλάλων, σοφαῖς διδασκαλίαις. ἐν αἷς ποδηγούμεθα, πρὸς ἀρετῆς πορείαν. ἧς καὶ τυχεῖν ἀξιωθείημεν.

Θεοτοκίον.

Ἧσε Παρθενίᾳ τίκτειν σε ὁ Προφήτης πάλαι, ἄχρονον ἐν χρόνῳ, καὶ ὑπὲρ νοῦν καὶ λόγον, τὸν ἕνα τῆς Τριάδος, Χριστὸν τὸν Θεὸν ἡμῶν. ὃν ἐξιλέωσαι Ἁγνὴ, ὑπὲρ ἡμῶν τῶν εὐφημούντων σε.

Ὁ Εἱρμός.

Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες.

Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὰς ἀρετὰς πρὸς Οὐρανὸν ἀναβάσεις, καταπηξάμενος σαφῶς ἐπανῆλθες, πρὸς θεωρίας ἄπλετον βυθὸν εὐσεβῶς, πάσας στηλιτεύσας μὲν, τῶν παθῶν τὰς ἐνέδρας, σκέπει ἀλωβήτους δὲ, τοὺς ἀνθρώπους ἐκ τούτων. ὦ Ἰωάννη κλίμαξ ἀρετῶν, πάντας σωθῆναι, ἱκέτευε Ὅσιε.

Θεοτοκίον. Ὅμοιον.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ' ἐσχάτων σε σαρκὶ τετοκυῖα, ἐπὶ Σταυροῦ κρεμάμενον ὁρῶσα σε Χριστέ. οἴμοι ποθεινότατε, Ἰησοῦ ἀνεβόα, πῶς ὁ δοξαζόμενος ὡς Θεὸς ὑπ' Ἀγγέλων, ὑπὸ ἀνόμων νῦν βροτῶν Υἱὲ, θέλων σταυροῦσαι; ὑμνῶ σε μακρόθυμε.

Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.

Νηστείᾳ χαλινώσας τῆς γλώττης τὰς ὁρμὰς, ἡσυχίᾳ ἴθυνας τὸν βίον σου σοφέ. ὡς ὀσμὴν δὲ πυρὸς γευσάμενος χάριν ὑψίστου, πολυέπειαν ὡς ἀχλὺν τῆς ἁμαρτίας, ἔφυγες ἀμέμπτως λατρεύων Θεῷ.

Ἀφθόνως ἀληθείᾳ γλυκάνας τὴν ψυχὴν, τῆς στερρᾶς ἐξέφυγες τοῦ ψεύδους μετοχῆς. διὸ ἀσκήσει ἐνθέῳ καταδουλώσας, Δαιμόνων δόλους Θεοῤῥῆμον Ἰωάννη, ὤφθης μοναστῶν ὁδηγὸς ἀπλανής.

Ἐκτεμνόμενος τῷ τόμῳ ἀσκήσεως στερρῶς, ἀδικίας λέλυκας τὴν πάρεσιν σοφὲ, καὶ προθυμίας τῷ δόρατι θανατώσας, τῆς ἀθυμίας τὴν ἰσχὺν Θεῷ πρεσβεύεις, πᾶσιν ἱλασμὸν δωρηθῆναι ἡμῖν.

Θεοτοκίον.

Μακάριον τὸ ἔθνος πανύμνητε Ἁγνὴ, ὃ τιμᾷν ἠξίωται τὸν τόκον σου πιστῶς, ὀρθοδοξίᾳ καὶ δόγμασι καὶ τοῖς ἔργοις, τῆς ἀληθείας ἐν συμβόλοις ἐμφανίζον, πᾶσαν τοῦ Υἱοῦ σου τὴν σάρκωσιν.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„Νὺξ περιέσχε με Σωτὴρ, ἁμαρτίας ἀχλύς. διό μοι ἀνάτειλον, τῆς μετανοίας Κύριε, τὸν ὄρθρον ὡς εὔσπλαγχνος, πρὸ τοῦ με φθάσαι τὸ πέρας τὸ ἄδηλον, τῆς ζωῆς μου Χριστὲ ὁ Θεός.

Τῆς ἐγκρατείας τῇ τρυφῇ πιαινόμενος τὸν νοῦν, οὐκ ἔδωκας χείλεσι, τῆς ἡδονῆς τοῖς βρώμασι. διὸ ἀπηγχόνησας λιμῷ τὰ πάθη, καὶ Δαίμονας ᾔσχυνας. καὶ γὰρ ὁ θλίβων λαιμὸν, θανατοῖ ἡδονάς.

Ὤφθης

Digitized by Google

Ὤφθης ἁγνείας ἐραστὴς, καὶ λαγνείας μισητὴς, τῷ φωτὶ διέφυγες, πίστης ἐξαγορεύσεως, παθῶν τὴν σκοτομαίναν. καὶ γὰρ ὁ θέλων καθάραι σῶμα καὶ νοῦν, θριαμβεύσει θερμῶς, τὰ τοῦ σκότους κρυπτά.

Νοῒ καὶ ψυχῇ καὶ τῇ σαρκὶ, τῇ Τριάδι λειτουργῶν, Εἰδώλων προσκύνησιν, σαφῶς ἀπεσκοράκισας, ἐλαίῳ φιλόπτωχε, καὶ ἀναγκαίων τῇ στάσει, καὶ γέγονας φιλόθεος, ἀληθῶς ἢ φιλάργυρος.

Τὸ ἄχθος τῆς ὕλης εὐσεβῶς, ἀποῤῥίψας ἐπὶ γῆς, ἱπτάθης πρὸς ἄϋλα, πτεροῖς ἀκτημοσύνης σου. διὸ παριστάμενος, ἀΰλως Πάτερ Χριστῷ σὺν ἀΰλοις πιστῶς, αἴτησαι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

Θεοτοκίον.

Ἐχθροὶ ὤφθησαν ἡμῖν, καὶ ἐπάρατοι ὁμοῦ, τῆς σῆς Ἀειπάρθενε, οἱ προσκυνεῖν μὴ θέλοντες μορφῆς τὸ εἰκόνισμα, καὶ τοῦ Υἱοῦ σου. διότι οὐ πείθονται, τοῖς ἄνωθεν πατρικοῖς θείοις δόγμασι.

Ὠδὴ ς'. Τὸν Προφήτην Ἰωνᾶν.

Ῥώμῃ νήψεως ἁγνῆς, καὶ ἀγῶσι προσευχῆς, τὸ ἀναίσθητον παθῶν ἐξεδίωξας στεῤῥῶς, τῆς σῆς ψυχῆς, καὶ ὅλως ὤφθης, Πάτερ νηφάλιος.

Ἐν ἀΰπνῳ προσευχῇ, τὸν φιλοΰπνον ἐχθρὸν, ὑποτάξας ἀνδρικῶς, ὤφθης γρήγορος ποιμὴν, Θεόληπτε, Χριστοῦ τῆς ποίμνης, καὶ Διδασκάλων Φωστήρ.

Νοῦ νοὸς τὸν ὀφθαλμὸν, καθαγνίσας εὐσεβῶς, ἀνυστάκτως τῷ Χριστῷ, λειτουργῶν διαπαντὸς, προέβλεψας, τὰ θεῖα κάλλη, τῆς μακαρίας τρυφῆς.

Θεοτοκίον.

Τῆς πιστίας τῆς πικρᾶς, ναυτιῶσι σάλον νῦν, καθορῶντες εὐλαβῶς, Ὀρθοδόξων τοὺς χοροὺς, οἱ ἄνομοι, ἀσπαζομένους τὴν σὴν Παρθένε μορφήν.

Ὁ Εἱρμός. Τὸν Προφήτην Ἰωνᾶν.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Λ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου, τοῦ Συγγραφέως τῆς Κλίμακος.

Στ. Ἐπὶ κλίμαξι κλίμακας πυκνῶς Πάτερ, Τὰς σὰς ἀρετὰς θεὶς ἔφθασας πόλον μολεῖν.

Χαίρων, Ἰωάννης, τριακοστῇ ἐξαναλύων.

Οὗτος ἑκκαίδεκα χρόνων ὑπάρχων, καὶ ἀγχίνους ὢν τῇ ἐγκυκλίῳ σοφίᾳ, προσενήνοχεν ἑαυτὸν θῦμα ἱερώτατον τῷ Θεῷ, ἐν τῷ Σιναίῳ ὄρει ἀνελθὼν, καὶ μονάσας, καὶ ἐν ὑποταγῇ διάγων. εἶτα μετὰ χρόνους ἐννεακαίδεκα ἀναστὰς, ἔρχεται πρὸς τὸ τῆς ἡσυχίας στάδιον, ἀπὸ σημείων πέντε τοῦ Κυριακοῦ, τὴν τῆς παλαιφάτου θείαν μονὴν καταληφθὼς, Θωλᾶς ὄνομα τῷ χώρῳ, καὶ τεσσαράκοντα ἔτη διαπεράσας, ἐν διακαεῖ ἔρωτι, καὶ πυρὶ θείας ἀγάπης πυρπολούμενος, ἤσθιε μὲν ἐκ πάντων, ἃ ἀμέμπτως ἐφεῖται τῷ ἐπαγγέλματι, βραχὺ δὲ λίαν καὶ οὐκ εἰς κόρον, καὶ ἐν τούτῳ οἶμαι τὸ τοῦ τύφου κέρας κλῶν πανσόφως. ἀλλὰ τὴν τῶν δακρύων πηγὴν ἐκείνου τίς ἂν λόγος ἐξείποι; ὕπνου δὲ τοσοῦτο μετελάμβανεν, ὅσον τὴν τοῦ νοὸς οὐσίαν τῇ ἀγρυπνίᾳ μὴ λυμήνασθαι. ὁ δὲ δρόμος αὐτοῦ προσευχὴ ἦν ἄπαυστος, καὶ πρὸς Θεὸν ἔρως ἀνείκαστος. Οὗτος τοίνυν πᾶσαν ἀρετὴν ἐξασκήσας, καὶ καλῶς πραγματευσάμενος, καὶ μεγίστων θεωριῶν γενόμενος ἀνάπλεως, καὶ τὸν μαθητὴν ὑπνοῦντα ἔν τινι τόπῳ, ὑποκάτω πέτρας μεγίστης, καὶ μέλλοντα ὑπ' αὐτῆς πιπτούσης ἤδη ἀναιρεθῆναι, καὶ εἰς μέρη διαιρεθῆναι, ἐν τῷ κελλίῳ ὢν, καὶ πνεύματι θείῳ γνοὺς, τοῦ τοιούτου θανάτου ἐῤῥύσατο ἐπιφανεὶς αὐτῷ καθ' ὕπνους, καὶ διαναστήσας οὗ ἔμελλεν ὑποστῆναι πτώματος. Ἐν τούτῳ οὖν ἀρετῆς ἀφικόμενος, καὶ Ἡγούμενος τοῦ Ἁγίου ὄρους Σινᾶ χρηματίσας, κατέλιπε τὴν ἐπίκηρον ζωὴν, καὶ πρὸς τὴν αἰώνιον μετετέθη ἀνάπαυσιν, πρότερον σχεδιάσας τὴν πάνσοφον Βίβλον, τῶν θείων καὶ Πνευματικῶν Ἀναβάσεων, ἥτις, καὶ Κλίμαξ ἐπονομάζεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Προφήτου Ἰωάδ.

Οὗτος ἦν ἐκ τῆς Σαμαρείας, ὃν ἐπάταξεν ὁ λέων καὶ ἀπέθανεν, ὅτε ἤλεγχε τὸν

Digitized by Google

τὸν Ἱεροβοὰμ ἐπὶ ταῖς δαμάλεσι. προσέταξε γὰρ αὐτῷ ὁ Θεὸς ἀπελθεῖν μὲν καὶ ἐλέγξαι, μὴ φαγεῖν δὲ ἄρτον, μήτε οἶνον πιεῖν, ἀλλὰ ταχὺ ἐπανελθεῖν. Εὑρὼν δὲ τὸν Ἱεροβοὰμ θύοντα, ἐκάλεσε τοῦτον καὶ εἶπε· τάδε λέγει Κύριος. ἰδοὺ Υἱὸς τίκτεται τῷ οἴκῳ Ἰούδα, Ἰωσίας ὄνομα αὐτῷ, καὶ θύσει ἐπὶ σὲ τοὺς ἱερεῖς τῶν ὑψηλῶν τούτων. καὶ ἐξέτεινε τὴν χεῖρα ὁ Ἱεροβοὰμ ἐφ᾽ ᾧ καταχεῖν αὐτὸν, καὶ γέγονεν αὕτη ξηρά. παρακαλέσας δὲ, ἀπείληφε ταύτην ὑγιῆ ὡς τὸ πρότερον. Ὑποστρέφων δὲ Ἰωὰδ, παρεπείσθη πρός τινος ψευδοπροφήτου, Ἐμβὲ λεγομένου, καὶ συνέφαγεν αὐτῷ. Διὰ τὴν παρακοὴν τοίνυν συνεχωρήθη μὲν ὁ Θεὸς, ἀναιρεθῆναι μὲν αὐτὸν ὑπὸ λέοντος, μὴ βρωθῆναι δέ. καὶ ἀποθανὼν, ἐτάφη ἐγγὺς τοῦ ἀπατήσαντος αὐτόν.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ζωσίμου, Ἐπισκόπου Συρακούσης.

Καὶ μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ ἐν τῷ Φρέατι.

Τῇ αὐτῇ ἡμέρᾳ Ἡ Ἁγία Εὐβούλη, ἡ Μήτηρ τοῦ Ἁγίου Παντελεήμονος, ἐν εἰρήνῃ τελευτᾷ.

Στίχ. Ἐν οὐρανοῖς σύνεστιν Ἀθλητῇ Τέκνῳ,
Ἀθλητομήτωρ καλλίτεκνος Εὐβούλη.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Τοὺς ἐν καμίνῳ.

Ὡς τῆς ἀνδρείας ξίφει καθελὼν, παμμάκαρ, θράσους νηπιώδους δειλίας, ὤφθης στεῤῥὸς καὶ φοβερὸς, πράγμασιν ὄντως ἀκαθάρτοις ἅπασιν. εὐλογητὸς ὁ Θεὸς ὁ θαυμαστώσας σε.

Νόμῳ Χριστοῦ εὐθέως πειθαρχῶν, ἐπάτησας δόξαν φερωνύμως τὴν κενὴν, μόνῳ Θεῷ τῷ ἐν κρυπτῷ, φέρων τοὺς κόπους τῆς στεῤῥᾶς ἀσκήσεως. ὃς ἀποδίδωσιν εἰς φανερὸν τοὺς μισθούς.

Πρὸς ἀοράτους φάλαγγας παθῶν, ἀράμενος πόλεμον, ἐδείχθης νικητὴς, ὡς ταπεινὸς τῷ λογισμῷ καὶ τῇ καρδίᾳ. τὸν γὰρ ὑπερήφανον καὶ ἀλαζόνα ἐχθρὸν, ταύταις κατέτρωσας.

Θεοτοκίον.

Τῆς σῆς Χριστὲ σαρκώσεως τιμῶν, ἐννόησιν ταύτης καὶ τὸ εἶδος προσκυνῶ Θεοπρεπῶς, ὅτι Θεὸς ὢν πρὸ αἰώνων, ἐκ Παρθένου γέγονας, βροτὸς ἀφύρτως αὐτὸς κατ᾽ ἄμφω τέλειος.

Ὠδὴ η'. Ὃν φρίττουσιν Ἄγγελοι.

Ἀπλάστοις σου ἤθεσιν ἀμείωσας ἀκραιφνῶς, ἀπὸ τρόπον τὸν ὕπουλον, ὡς δύσχρηστον φυγὼν, πραέων τοῖς τόποις ἐπαυλίζῃ σαφῶς, ὡς πράως βιώσας, Θεόφρον Ἰωάννη.

Μητέρα καὶ φύλακα πασῶν τῶν ἀρετῶν, τὴν θείαν ταπείνωσιν ὑπέγραψας ἡμῖν. καὶ γὰρ ὡς ὑπάρχων ἀρχιτέκτων σοφὸς, τῆς θείας ἀνόδου τὴν βάσιν κατεπήξω.

Μετέσχες τῆς χάριτος τοῦ Πνεύματος σαφῶς, καὶ πάντας ἐπλήρωσας, τοῦ θείου φωτισμοῦ, διάκρισιν ὄντως ἡμῖν ἀδιάκριτον, τῇ πράξει διδάξας, καὶ παιδάσας τοῖς λόγοις.

Θεοτοκίον.

Ὃν γράφω Θεότητα, μὴ ψεύδεσθε τυφλοί. ἁπλῆ γὰρ ἀόρατος ἀνείδεος ἐστί. σαρκὸς δὲ τὸν τύπον ἱστορῶν προσκυνῶ, καὶ πίστει δοξάζω, τὴν τεκοῦσαν Παρθένον.

Ὁ Εἱρμός.

Ὃν φρίττουσιν Ἄγγελοι καὶ πᾶσαι στρατιαί.

Ὠδὴ θ'. Τὴν ζωοδόχον πηγήν.

Ἀΰλῳ νῷ ἱπταθεὶς πρὸς τὰ ἄϋλα, ἀθεωρημάτων βυθὸν σὺ κατείληφας. καὶ τυχὼν τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος, δι᾽ ἐκτενοῦς προσευχῆς κατηξιώθης, τοῦ προορᾶν τῶν μελλόντων τὴν δήλωσιν.

Καταμαλώσας τὸ ἔνυλον φρόνημα, τῆς προσευχῆς τῇ φλογὶ Ὁσιώτατε, ὅλος πῦρ ἐμέφηνας Ἰωάννη πάνσοφε Θεόφρον. διὸ ἐκστὰς εὐσεβῶς ταῖς θεωρίαις, τὴν ἀγαθὴν ἠλλοιώθης ἀλλοίωσιν.

Ἀπονεκρώσας τὰ πάθη ἀσκήσει σὺ, πρὸς τελειότητα Πάτερ ἀνέδραμες ἀπαθείας Ὅσιε. διὸ νῦν δεήθητι Θεοῦ ὑπὲρ εἰρήνης παντὸς τοῦ Κόσμου, καὶ σωτηρίας ἡμῶν τῶν τιμώντων σε.

Ῥώμην λαβὼν ἐν τῇ πίστει Πατὴρ ἡμῶν, καὶ πτερωθεὶς τῇ ἀγάπῃ ἀνέδρα-

Digitized by Google

δραμες, ἀρετῶν πρὸς κλίμακα, ἀθεμῶς καὶ βέβηκας ἐν τῇ ἀγάπῃ Χριστοῦ. καὶ γὰρ ἐν ταύτῃ, τῶν ὀρεκτῶν ἐπὶ πάντων τὸ πλήρωμα.

Θεοτοκίον.

Σοῦ τῆς λοχείας Ἁγνὴ τὸ παράδοξον, καὶ ἐπὶ τοίχων γραφαῖς ἀσπαζόμεθα. οὗ τὸ ἔργον σεβόμεν, καὶ τὸ εἶδος τιμῶμεν, τὸ ἀληθὲς ἐξ ἀμφοῖν ὁμολογοῦντες, ὀρθοδοξίας εἰκότως πληρούμεθα.

Ὁ Εἱρμός. Τὴν ζωοδόχον πηγήν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, κατὰ τὴν τάξιν, ἡ α΄. Ὥρα καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ ΛΑ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος καὶ Θαυματουργοῦ Ὑπατίου, Ἐπισκόπου Γαγγρῶν.

Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἵστ. προσόμοια. Ἦχος Πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Θεόφρον Ὑπάτιε, ἐν ἐγκρατείᾳ καλῶς, ἐκτραφεὶς εἰς περίδοξον, ἀρετῶν ἐπηύξησας, ὕψος ἀνατεινόμενος, πρὸς θεωρίαν μυστικωτάτην σαφῶς, Χριστοῦ τὸ κάλλος κατοπτριζόμενος. οὗ ταῖς ἐλλάμψεσι, νοῦν τε καὶ διάνοιαν καταυγασθείς, πᾶσαν ἐναπήστραψας, τὰς τῶν θαυμάτων αὐγάς.

Ὅμοιον.

Πάτερ Πατέρων Ὑπάτιε, ὀρθοδοξίας φωτί, ἀπαστράψας κατηύγασας, διανοίας ὅσιε, τῶν πιστῶς προστρεχόντων σοι, καὶ τὰς Ἀρείου κόρας ἠμαύρωσας, ἀποκηρύξας τῆς Ἐκκλησίας Χριστοῦ, ὅθεν Φωστῆρά σε, κεκτημένοι ἅπαντες τὴν ἱεράν, μνήμην σου γεραίρομεν, καὶ μακαρίζομεν.

Ὅμοιον.

Πάτερ Ἱερὲ Ὑπάτιε, τὸν Βασιλέα Χριστόν, ὃν τρανῶς ἀνεκήρυξας, Πατρὶ ὁμοούσιον, ἔχων ἐν τῇ καρδίᾳ σου, τὰς τῶν θαυμάτων ἀκτῖνας ἔλαμψας, φωταγωγήσας πᾶσαν ὑφήλιον. δράκοντα ἐκτίνας, καὶ θερμῶν ἀνάβλυσιν σαῖς προσευχαῖς, ὕδατα ἐξέβλυσας, εἰς ἰατρείαν ψυχῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαίροις Οἰκουμένης καύχημα. Χαῖρε Κυρίου Ναέ, Χαῖρε ὄρος κατάσκιον. Χαῖρε καταφύγιον. Χαῖρε λυχνία χρυσῆ, Χαῖρε τὸ κλέος τῶν Ὀρθοδόξων σεμνή, Χαῖρε Μαρία Μήτηρ Χριστοῦ τοῦ Θεοῦ. Χαῖρε Παράδεισε, Χαῖρε θεία τράπεζα, Χαῖρε σκηνή, Χαῖρε στάμνε πάγχρυσε, Χαῖρε ἡ πάντων ἐλπίς.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἥλιος ἰδών σε ἔφριξεν, ἐπὶ Σταυροῦ Ἰησοῦ, ἡπλωμένον θελήματι, καὶ ἡ γῆ ἐσείετο, καὶ πέτραι διερρήγνυντο, καὶ τὰ μνημεῖα φόβῳ ἠνοίγοντο, καὶ αἱ δυνάμεις πᾶσαι ἐξίσταντο. ἅπερ ὡς ἔβλεψεν, ἡ Παρθένος Δέσποινα ἐν στεναγμοῖς, οἴμοι ἀνεκραύγαζε, τί τὸ ὁρώμενον;

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, καὶ τοῦ Ἁγίου, εἰς δ΄.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Φωτὶ τῆς Τριάδος καταυγασθείς, ἐκ βρέφους Θεόφρον, Ἱεράρχα τῷ ζωηρῷ, τῆς Πίστεως γάλακτι ἐτράφης, ταῖς ἀρεταῖς καταυγαζόμενος.

Συνέσει καὶ χάριτι κοσμηθείς, νηστείαις καὶ πόνοις, ἐχαλίνωσας τῆς σαρκός, Θεόφρον παμμάκαρ τὰς ὀρέξεις, καὶ τὴν ψυχὴν ἀρεταῖς κατεκόσμησας.

Ἀστράψας τῷ βίῳ τῷ φαεινῷ, ὡς Ἥλιος πᾶσαν, Ἱεράρχα τὴν τοῦ Χριστοῦ, ἐφαίδρυνας Πάτερ Ἐκκλησίαν, ἐν ταῖς ἀκτῖσι τῶν θαυμάτων σου. Θεοτοκίον.

Ἰδοὺ αἱ προρρήσεις τῶν Προφητῶν, ἐπὶ σοὶ τὸ πέρας, ἀπειλήφασιν ἀληθῶς. Λόγον γὰρ ἀσπόρως συλλαβοῦσα, Θεογεννήτωρ Ἁγνὴ ἀπεκύησας.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Ξύλον ζωῆς πέφυκας, καταρδόμενος πάνσοφε, ἐκ τῶν Γραφῶν, ὑπὲρ οὗ προστρέχει, τῷ καρπῷ ὁ τῆς Εὔας ἐχθρός.

Στόματα ἐνέφραξας, τὰ δυσσεβῆ συνηχῶν ᾄσματα, προφητικῶς, ταῖς Θεοπρεπέσι, πρὸς Χριστὸν παρακλήσεσι.

Γύ-

Digitized by Google

Γυναῖκα βακχεύουσαν, σὺν τῇ πηγῇ φῶς ἔθραυσας, σωφρονισμόν, τοῖς ἀγνωμονοῦσι, παραδόξως ποιούμενος.

Οἶκος θεῖος Πνεύματος, καὶ προσευχῆς εἰκὼν γέγονας, Ἱεραρχῶν, καύχημα καὶ κλέος, τῶν Μαρτύρων Ὑπάτιε.

Θεοτοκίον.

Νόμοις οὐ δουλώσασα, τοῖς μητρικοῖς, σεμνὴ τέτοκας, τὸν Λυτρωτήν. φύσεως οἱ Νόμοι, ἐπὶ σοὶ γὰρ καινίζονται.

Ὁ Εἱρμός. Σὺ εἶ τὸ στερέωμα.

Θε. κα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τῆς πίστεως δόγματα κρατύνων Ὅσιε, Πατρὶ συναΐδιον καὶ ὁμούσιον, τὸν Λόγον ἐκήρυξας. ὅθεν καὶ ὀρθοδόξως, τὴν σὴν ποίμνην ποιμάνας, ἔχωσας τοῦ Ἀρείου, τὴν κακόφρονα γνώμην. διὸ νῦν μεταβὰς πρὸς τὸν Χριστόν, πρέσβευε ὑπὲρ πάντων ἡμῶν.

Θεοτοκίον. Ὅμοιον.

Ἐκαίνισας Ἄχραντε τῷ θείῳ τόκῳ σου, φθαρεῖσαν τοῖς πάθεσι τῶν γηγενῶν τὴν θνητήν, οὐσίαν καὶ ἤγειρας, πάντας ἐκ τοῦ θανάτου, πρὸς ζωὴν ἀφθαρσίας. ὅθεν σε κατὰ χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ὡς προεφήτευσας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Παρθένε πανάμωμε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου, τὴν παναγίαν ψυχήν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως, τὸν Υἱὸν καὶ Θεόν σου. ὅνπερ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων ἡμῖν δωρήσασθαι.

ᾨδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἡ τοῦ Πνεύματος ἔλλαμψις, Πάτερ ἐπὶ σοὶ πλουσίως σκηνώσασα, φωτοφόρον στῦλον ἔδειξε, δαδουχοῦντα Κόσμον θείοις δόγμασι.

Τῇ γαλήνῃ τῶν λόγων σου, τὸν εἰδωλικὸν χειμῶνα ἠμαύρωσας, καὶ τροπαίοις ταπεινώσεως, ἀσεβείας θράσος κατεμάρανας.

Ἀκηλίδωτον ἔσοπτρον, Πάτερ τῆς Τριάδος ὤφθης Ὑπάτιε. κατοπτεύειν γὰρ ἠγάπησας, καθαρῶς τὴν γνῶσιν τοῦ Θεοῦ ἡμῶν.

Θεοτοκίον.

Ὡς φρικτὸν καὶ παράδοξον, τῆς Ἁγνῆς Λοχείας σου τὸ Μυστήριον, ὑπὲρ φύσιν γὰρ Πανάμωμε, τὸν Δημιουργόν σου ἀπεκύησας.

ᾨδὴ ε'. Ἵνα τί με ἀπώσω.

Ἐπὶ ὕδωρ τῆς θείας, Πάτερ ἀναβάσεως ἔχων τὴν ἔφεσιν, καὶ τοῦ Παραδείσου, τοῦ ἀΰλου τὸ κάλλος γλιχόμενος, ἀνθέσι τόποις, συμβολικῶς ἐπανεπαύου, τὰς ἐκεῖθεν μονὰς τεκμαιρόμενος.

Ταῖς ἀΰλοις γυμνάζων, Πάτερ σεαυτὸν θεωρίαις καὶ πράξεσιν, ὑλικὰς φροντίδας, ὥσπερ βάρος ψυχῆς καταλέλοιπας, καὶ ἐν ταῖς ἐρήμοις, χοροβατῶν ὡς ἐν λειμῶνι, ἐπλουτίσθης τὴν χάριν τοῦ Πνεύματος.

Ἐπαυξήσας τὴν ποίμνην, Πάτερ ἐν τῇ πόᾳ τῶν θείων δογμάτων σου, ὥσπερ μάνδρας οἴκους, σεβασμίους παμμάκαρ καθιδρύσας, ἐν οἷς εἰσελαύνων, τὰ λογικὰ θρέμματα Πάτερ, ἐλυτρώσω θηρῶν τῆς Αἱρέσεως.

Θεοτοκίον.

Μόνη τίκτεις Παρθένος, μόνη καὶ ἀπείρανδρος ὤφθης Πανάμωμε. ἐν γαστρὶ γὰρ Λόγον, τοῦ Πατρὸς δεξαμένη τὸν ἄναρχον, γαλουχεῖς Παρθένε, θαῦμα φρικτὸν καὶ παρθενίας, καὶ τοὺς ὅρους καινίζεις τῆς φύσεως.

ᾨδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Φλογώδη ῥεῖθρα φωτός, Ἱερομάρτυς Ὑπάτιε, ἀνάψας ὁ ποταμός, νυκτὶ παρεχόμενος, τὴν τρίβον ἐνδείκνυσιν, ὑποφαίνων πᾶσι, τῆς ψυχῆς σου τὴν λαμπρότητα.

Τερατουργῶν διὰ σοῦ, ὁ ζωοδότης Χριστὸς ὁ Θεός, ἰάσεων θησαυρόν, τὸ ὕδωρ ἀνέδειξεν, εὐχαῖς σου Ὑπάτιε, γλυκασμὸν θαυμάτων, τὸ πικρὸν ἀπεργασάμενος.

Θαυμάτων ὑπερφυῶν, παμμάκαρ ὤφθης Ὑπάτιε, δεξάμενος ἐκ Θεοῦ, χάριν τῶν ἰάσεων, πηγὴ ἐχρημάτισας, δαψιλεύων πᾶσι, σωτηρίας θεῖα νάματα.

Θεοτοκίον.

Ταῖς σαῖς πρεσβείαις Ἁγνή, κινδύνων

καὶ

Digitized by Google

ἐκ περιστάσεων, ἐξάρπασόν με δεινῶν, καὶ ῥῦσαί με δέομαι. σὺ γὰρ τεῖχος ἄῤῥηκτον, καὶ λιμὴν καὶ σκέπη, καὶ ἀπόρθητον ὀχύρωμα.

Ὁ Εἱρμός. Ἱλάσθητί μοι Σωτήρ.

Τῷ αὐτῷ Μηνὶ ΛΑ'. Ἡ Ἄθλησις τοῦ Ἁγίου Ἱερομάρτυρος Ὑπατίου, Ἐπισκόπου Γαγγρῶν.

Στ. Κτείνει γυνὴ βαλοῦσα καιρίαν λίθῳ,
Τὸν Ὑπάτιον· φεῦ γυναικὸς ἀθλίας.

Ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Ὑπάτιος, ἐκ Κιλίκων ἀνθήσας, ἐν Γάγγραις ἀρχιερατεύσας, ἐν τῇ πρώτῃ Συνόδῳ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ Θεοφόρων Πατέρων εἷς γεγονώς, ὅλος πεπληρωμένος τοῦ Πνεύματος Ἁγίου. Πολλοὺς δὲ πειρασμοὺς ὑπομείνας, καὶ σημεῖα διάφορα ἐκτελέσας, γέγονε περιβόητος. Κωνσταντίου δὲ βασιλεύοντος Υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου, δράκων τις πόθεν τοῖς βασιλικοῖς ταμείοις προσπελάσας, ἐν οἷς ἅπας ὁ χρυσὸς ἐφυλάσσετο, καὶ πρὸς τῇ εἰσόδῳ αὐτῶν ἐμφωλεύσας, πολλὴν ἀθυμίαν τῷ Βασιλεῖ προεξένησε, μηδενὸς ἐκεῖ δυναμένου ὁπωσοῦν πλησιάσαι. Ἐν ἀμηχανίᾳ τοίνυν ὁ Βασιλεὺς ὤν, τὸν μακάριον τοῦτον προσκαλεῖται· ὃν παραγενόμενον, μετὰ πολλῆς ὑποδεξάμενος τῆς αἰδοῦς, περὶ τοῦ ἐπεισφρήσαντος ἀπαγγέλλει θηρός. Ὁ δὲ Ἅγιος, εἰ δυνατόν μοι, φησίν, ὦ Βασιλεῦ, Θεοῦ συνεργοῦντος, οὐ παραιτήσομαι ποιῆσαι τὸ προσταχθέν· καὶ μὴ ἀθύμει, ὦ Βασιλεῦ· τὰ γὰρ παρὰ ἀνθρώποις ἀδύνατα, τῷ Θεῷ δυνατά. Ταῦτα τοῦ Ἁγίου εἰρηκότος, καὶ τοῦ Δράκοντος πόῤῥωθεν ἀποδειχθέντος, ὁ Βασιλεύς, μὴ ἀσυντηρήτως, ὦ Πάτερ, φησί, τῷ θηρὶ πλησιάσῃς, καὶ πείσῃ, ὅπερ καὶ πολλοὶ πεπόνθασιν ἐξ ἐμῶν ἁμαρτιῶν. Καὶ ὁ Μακάριος· ἡ ἡμετέρα εὐχή, Βασιλεῦ, οὐδὲν ἰσχύει πρὸς ταῦτα, πρὸς Θεὸν δέ σου ἡ Πίστις, καὶ ἡ τούτου μεγάλη καὶ ἀήττητος δύναμις. Τότε πεσὼν ἐπὶ τῆς γῆς, προσηύξατο ἐφ' ὥραν ἱκανήν· καὶ ἀναστάς, λέγει τῷ Βασιλεῖ· κέλευσον γενέσθαι μεγάλην πυρκαϊάν, μέσον τῆς πλατείας ὁδοῦ, ἐν ᾧ τόπῳ ἡ στήλη τοῦ σοῦ Πατρὸς ἵδρυται, καὶ οἱ μέλλοντες ταύτην ἀνάπτειν, προσμενέτωσαν ἐκεῖ, τὴν ἐμὴν ἐκδεχόμενοι ἄφιξιν. Καὶ τοῦ Βασιλέως τοῦτο προστάξαντος, ὁ Ἅγιος εἰσελθών, τὰς θύρας τῶν Βασιλικῶν ταμείων ἀνέῳξε, καὶ ἅπαντες ἔφυγον· μήκοθεν δέ τινες ἑστῶτες καὶ βλέποντες, φόβῳ καὶ τρόμῳ συνείχοντο· τύπτων δὲ τὸ θηρίον δι' ἧς ἐπεφέρετο ῥάβδου, ἤνυεν οὐδέν, καὶ ἡ ἡμέρα ἤδη παρήρχετο, καὶ πάντες ᾤοντο θανατωθῆναι τὸν Ἅγιον. Ἀλλὰ τὸ ὄμμα εἰς Οὐρανοὺς ἀνατείνας, καὶ τὸν Κύριον ἐπικαλεσάμενος, τὴν ῥάβδον τῷ στόματι τοῦ θηρίου ἐμβαλών, εἶπεν· Ἐν ὀνόματι τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ, ἀκολούθει μοι. Καὶ ὁ Δράκων ἐνδακὼν τὴν ῥάβδον, ἠκολούθει τῷ Ἁγίῳ, ὡς ὑπό τινος διωκόμενος. Ὁ γοῦν μακάριος ἐξελθὼν ἀπὸ τῶν Βασιλείων, καὶ πᾶσαν τὴν λεωφόρον διοδεύσας μέχρι τοῦ φόρου, τὴν ῥάβδον ἕλκων ἐπὶ τῆς γῆς, δι' ἧς καὶ τὸν Δράκοντα, τὸ ἄκρον ἐνδακόντα τῆς ῥάβδου, καὶ συρόμενον ὑπ' αὐτῆς, ἐξέπληξεν ἅπαντας. Ἦν γὰρ φοβερὸς ὁ Δράκων τὴν θέαν, ἑξήκοντα πήχεις ἔχων τὸ μῆκος, ὡς ἔλεγον. Καὶ πλησιάσας ὁ Ἅγιος τῇ πυρκαϊᾷ, φησὶ πρὸς τὸν Δράκοντα. Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ὃν ἐγὼ ὁ ἐλάχιστος κηρύσσω, εἴσελθε μέσον τῆς πυρκαϊᾶς. Ὁ δὲ φοβερὸς ἐκεῖνος Δράκων, καμάρας εἶδος ποιήσας, καὶ ὑποκυρτώσας ἑαυτόν, καὶ μέγα ἐκταθείς, ἔρριψεν ἑαυτὸν τῷ μέσῳ τοῦ πυρός, καὶ παρανάλωμα τούτου γέγονε. Καὶ πάντες δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θεὸν ἐξεπλάγησαν, ὅτι τοιοῦτον Φωστῆρα καὶ θαυματουργὸν ἀνέδειξεν αὐτοῖς ἐν ταῖς ἡμέραις αὐτῶν. Τότε ὁ Βασιλεὺς τὸν Ἅγιον διαφερόντως τιμήσας, καὶ εὐχαριστήσας, τὸν χαρακτῆρα τῆς ὄψεως αὐτοῦ ἐκέλευσε σανίδι ἐντυπώσασθαι. Καὶ τούτου γενομένου, ἐν τῷ Βασιλικῷ ταμείῳ τοῦτον ἀπέθετο δι' ἀποτροπὴν παντὸς ἐναντίου. Τὸν Ἅγιον οὖν κατασπασάμενος, ἀπέστειλεν οἴκαδε. Μετὰ δὲ τὸ ἐξελθεῖν τὸν Ἅγιον ἐκ τῆς Πόλεως, καὶ πρὸς τὸν οἰ-

Digitized by Google

οἰκεῖον ἀφικέσθαι δρόμον, οἱ τῆς Ναβάτου Αἱρέσεως, φθόνον πολὺν ὠδινήσαντες κατ' αὐτοῦ, ἐν οἷς εἰώθει ὁ ἀοίδιμος στομωποῖς καὶ κρημνώδεσι τόποις παρακαθίσαντες, ἐγκεκρυμμένοι σὺν ῥοπάλοις καὶ ξίφεσι, τοῦ μακαρίου ἐκείνου διερχομένου, αἴφνιδιον ὡς ἄγριοι θῆρες ἐπαναστάντες ἐκ τῆς ἐνέδρας, ὁ μὲν, ξύλῳ, ὁ δὲ, λίθῳ, ἕτερος, ξίφει, κατὰ τοῦ κρημνοῦ τὸν Ἅγιον ἠκόντιζον. Καὶ ῥίψαντες αὐτὸν ἀπὸ τοῦ μεγάλου ὕψους ἐπὶ τὸν κρημνὸν, οὐκ ὀλίγας αὐτῷ πληγὰς ἐπέθεντο, ὡς πρὶν οἱ Ἰουδαῖοι τῷ Πρωτομάρτυρι Στεφάνῳ. Ὁ δὲ Ἅγιος ἐν τῷ ποταμῷ ῥιφεὶς, ἡμιθανὴς, μικρὸν ἀφυπνώσας, καὶ τοὺς ὀφθαλμοὺς πρὸς Οὐρανὸν διάρας, Κύριε, μὴ στήσῃς αὐτοῖς ἔλεγε τὴν ἁμαρτίαν ταύτην. Καὶ ἔτι αὐτοῦ προσευχομένου, γυνή τις ἐμμανὴς καὶ ἀκάθαρτος, λίθον ἄρασα μέγαν, καὶ τὸν κρόταφον τοῦ Ἁγίου κρούσασα, τὸ λειπόμενον τῆς ζωῆς αὐτοῦ ἀφείλετο ἡ δυστυχὴς καὶ ταλαίπωρος· καὶ ἡ μὲν τούτου ἁγία Ψυχὴ ἐν χερσὶν ἤδη τοῦ Θεοῦ· ἡ δὲ ἐμμανὴς ἐκείνη γυνὴ, πονηρῷ πνεύματι ληφθεῖσα, διὰ τοῦ αὐτοῦ λίθου, τὸ ἴδιον ἔτυπτε στῆθος. Ὡσαύτως δὲ καὶ πάντες οἱ τοῦ φόνου κοινωνήσαντες, ὑπὸ ἀκαθάρτων πνευμάτων ἐπαιδεύοντο. Τὸ δὲ Λείψανον τοῦ Ἁγίου ἐν ἀχυρῶνι τινὶ κρύψαντες, ἀνεχώρησαν· ἀλλ' ὁ γεωργὸς, οὗ ὁ ἀχυρὼν ἦν, εἰσελθὼν ἐπὶ τῷ δοῦναι τροφὴν τοῖς ἑαυτοῦ ζώοις, ἀκούσας οὐρανίων ᾀσμάτων δοξολογίαν, μηνυτὴς γέγονε τοῦ μακαρίου Πατρός. Τοῦτο ἀναμαθόντες οἱ οἰκήτορες τῆς Πόλεως Γαγγρῶν, συνήχθησαν ἐκεῖσε, καὶ κοινῇ θρηνήσαντες, ἔλαβον τὸ Ἅγιον Λείψανον, καὶ ἀνακομίσαντες τῇ ἑαυτῶν πόλει, κατέθεντο ἐν ἐπισήμῳ τόπῳ. Ἡ δὲ γυνὴ ἐλθοῦσα, καὶ τύπτουσα ἑαυτὴν τῷ λίθῳ, δι' οὗ τὸν Ἅγιον ἔκτεινε, τοῦ θείου Λειψάνου κατατεθέντος, εὐθέως ἰάθη, ὡσαύτως καὶ οἱ λοιποὶ τοῦ Ἁγίου φονεῖς, καὶ ἑτέρων πολλῶν ἐν τῇ τοῦ Ἁγίου κηδείᾳ τελεσθέντων Θαυμάτων.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀκακίου, Ἐπισκόπου Μελιτινῆς τοῦ Ὁμολογητοῦ.

Στίχ. Ἀκακίῳ θνήσκοντι τῷ γῆς Ἀγγέλῳ, Χώραν ἑτοιμάζουσιν Ἄγγελοι πόλου. Πρώτῃ Ἀκακίῳ βιότου πέρας ἐν τριακοστῇ.

Οὗτος, κατὰ τοὺς χρόνους Δεκίου τοῦ Βασιλέως, τὴν εἰς Χριστὸν Πίστιν διδάσκων, συσχεθεὶς προσήχθη Μαρκιανῷ Ὑπάτῳ· καὶ περὶ ὧν κηρύττει ἐρωτηθεὶς, διεξῆλθε πᾶσαν τὴν καθ' ἡμᾶς τοῦ Θεοῦ οἰκονομίαν, καὶ τὰ ληρώδη τῶν Ἑλλήνων διήλεγξεν. Ὅθεν βασάνους δέχεται, καὶ φρουρᾷ κατακλείεται. Ἀνενέγκας δὲ περὶ τούτου ὁ Μαρκιανὸς τῷ Δεκίῳ, καὶ κατὰ τὴν ἐξέτασιν ὑπομνήματα ἀποστείλας, προστάξαντος τοῦ Δεκίου, ἀφηθη ὁ Ἅγιος τῆς εἱρκτῆς, καὶ περιῄει τὰ στίγματα τοῦ Χριστοῦ περιφέρων τῇ σαρκὶ αὐτοῦ. Πολλοὺς δὲ τὴν εἰς Χριστὸν πίστιν παιδεύσας, καὶ ἐν θαύμασι καὶ διδασκαλίαις καλῶς διαπρέψας, ἀνεπαύσατο ἐν εἰρήνῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων τῶν ἐν Περσίδι μαρτυρησάντων, Ἀβδᾶ Ἐπισκόπου, καὶ Βενιαμὶν Διακόνου, καὶ τῶν σὺν αὐτοῖς.

Στίχ. Ἀβδᾶς ἐκχέοντος ὑψίστου Λόγου, Καθεῖλεν ἰσχὺν δυσσεβῶν, τμηθεὶς κάραν. Ἀθλητικῷ κλυστῆρι τῷ Παύλῳ λέγω, Πὰν Βενιαμὶν ψυχικὸν κενοῖ βάρος. Ἐν τοῖς ὄνυξι κάλαμον δεδεγμένοι, Σφᾶς Μαρτύρων γράφουσιν ἄνδρες ἐννέα. Καὶ ἕτεροι Ἅγιοι πολλοὶ, εἰς φυλακὴν βληθέντες, καὶ ὑπὸ μυῶν καὶ γαλῶν συγκλεισθέντων αὐτοῖς, βιβρωσκόμενοι ἐτελειώθησαν.

Στ. Ζώων ταμεῖα Μαρτύρων τὰ σαρκία, Μῦς ἐτρέφοντο, καὶ γαλαῖ ἐν τῷ βόθρῳ.

Ἐν τοῖς χρόνοις τῆς Βασιλείας Θεοδοσίου τοῦ μικροῦ, Ἰσδιγέρτης, ὁ τῶν Περσῶν Βασιλεὺς κατὰ τῶν Ἐκκλησιῶν ἐκίνησε πόλεμον, πρόφασιν ἔνθεν λαβών. Ἀβδᾶς τις Ἐπίσκοπος πολλοῖς εἴδεσιν ἀρετῶν κεκοσμημένος, οὗτος ζῆλον χρησάμενος, τὸ πυρεῖον κατέλυσε. Τοῦτο ὁ Βασιλεὺς παρὰ

Digitized by Google

ρα τῶν Μάγων μαθὼν, μετεστείλατο τὸν Ἀβδᾶν· καὶ πρῶτον μὲν ἠπίως τὸ πραχθὲν ᾐτιάσατο, καὶ τὸ πυρεῖον οἰκοδομῆσαι προσέταξεν. Ἐκείνου δὲ ἀντιλέγοντος, καὶ τοῦτο δρᾶσαι, ἀδύνατον εἶναι φάσκοντος, πάσας τὰς Ἐκκλησίας καταλύειν ἠπείλησε, καὶ τέλος ἐπέθηκεν οἷς ἠπείλησε, πρῶτον τὸν θεῖον ἄνδρα ἀναιρεθῆναι κελεύσας. Ταῦτα ἀκούσας ὁ Ἅγιος, ἐχάρη λίαν· καὶ οὕτω χαίρων ἀγαλλόμενος, τὸ μακάριον τέλος ἐδέξατο. Τριάκοντα δὲ διελθόντων ἐτῶν, ἀφ' ὧν ἡ ζάλη τοῦ διωγμοῦ ὑπὸ τῶν Μάγων καθάπερ ὑπό τινων καταιγίδων ῥιπιζομένη, τῶν κολαστηρίων τὰς ἐπηρείας τοῖς εὐσεβέσι προσήνεγκαν· καὶ παντοίαις βασάνοις πολλοὺς ἀναλώσαντες τῷ θανάτῳ παρέδωκαν· καὶ ὑπερορίαις μακραῖς, καὶ πολλαῖς ἄλλαις βασάνοις, πολλοὶ ἐξ αὐτῶν προσομιλήσαντες τοῦ ζῆν ἀπηλλάγησαν, ἐν διαφόροις θανάτοις. Ἐξ ὧν δύο, ἢ τριῶν ἐπιμνησθήσομαι, ἵνα διὰ τούτων ὑποδείξω καὶ τὴν τῶν ἄλλων ἀνδρείαν. Ὁρμίδας τις τῶν ἄγαν περιφανῶν παρὰ Πέρσαις ἐτύγχανεν, Μενίδην Πατέρα ἐσχηκώς. Τοῦτον μεμαθηκὼς πρὸς ἑαυτὸν ὁ Βασιλεὺς ἤγαγε, καὶ προσέταξεν ἀρνεῖσθαι τὸν πεποιηκότα Θεόν. Ὁ δὲ ἔφη· μή μοι γένοιτο, εἰ καὶ παιδευόμενος, ῥαδίως τὸν τῶν ὅλων Θεὸν καταφρονεῖν καὶ ἀρνεῖσθαι. Ὁ δὲ Βασιλεὺς θαυμάσας τὴν τούτου παῤῥησίαν, ἐγύμνωσε μὲν τοῦ πλούτου καὶ τῶν ἀξιωμάτων, τὸν δὲ γενναῖον ἀγωνιστὴν γυμνὸν προσέταξε περιάγειν τῆς ὁδοῦ, σείρεσθαι τὰς καμήλους περιζώματι μόνον χρώμενον. Πολλῶν δὲ διελθουσῶν ἡμερῶν, διακύψας ὁ Βασιλεὺς ἀπὸ τοῦ ταμιείου, εἶδε τὸν ἄριστον ἐκεῖνον ἄνδρα ὑπὸ τῆς ἡλιακῆς ἀκτῖνος φλεγόμενον, καὶ κόνιος πολλῆς ἐμπιπλάμενον, καὶ τῆς πατρῴας περιφανείας ἀναμνησθεὶς, μετεκαλέσατο, καὶ χιτωνίσκον ἐκ λίνου πεποιημένον, ἐκελεύσατο ἐνδυθῆναι, νομίσας ὁ Βασιλεὺς, ὡς ὑπὸ τῆς προτέρας ταλαιπωρίας, καὶ τῆς πρὸς αὐτὸν τοῦ Βασιλέως γεγενημένης φιλανθρωπίας, μαλακισθῆναι τὸν ἄνδρα· εἶτα ἔφη πρὸς αὐτόν· ἀπηλλάγη τῆς ἔριδος ἐκείνης τοῦ ἀρνεῖσθαι τὸν Υἱὸν τοῦ τέκτονος; Ὁ δὲ ζήλου πλησθεὶς, διέῤῥηξε τὸν χιτωνίσκον, καὶ διέῤῥιψε προσειπών· διὰ τοῦτό με οἴη τῆς ἀσεβείας ἐκστήσεσθαι; ἔχε τὸ δῶρον μετὰ τῆς ἀσεβείας. Τούτου τὴν ἀνδρείαν ὁ Βασιλεὺς θεασάμενος, γυμνὸν τοῦτον τῆς Βασιλείας ἐξήλασε, καὶ θανάτῳ παρέδωκε. Βενιαμὶν δέ τινα Διάκονον συλλαβὼν, καθεῖρξεν ἐν φρουρᾷ. Δύο δὲ διεληλυθότων ἐτῶν, Ῥωμαίων πρεσβευτὴς ἀφίκετο περί τινων ἄλλων πραγμάτων πρεσβεύων. Καὶ τοῦτο μαθὼν, ᾔτησε τὸν Βασιλέα τὸν Διάκονον ἀφεθῆναι. Ὁ δὲ Βασιλεὺς ὑποσχέσθαι προσέταξε τὸν Βενιαμὶν, μηδενὶ τῶν Μάγων διδασκαλίαν τοιαύτην προοίσειν τὸ σύνολον· καὶ ὁ μὲν πρεσβευτὴς φυλάξειν ταῦτα τὸν Βενιαμὶν ἐπηγγείλατο. ὁ δὲ Βενιαμὶν ἀκούσας τῶν τοῦ πρεσβευτοῦ παραινέσεων, ἀδύνατον, ἔφη, γενέσθαι· ὢ πόσης τιμωρίας ἄξιον ἀποκρύψαι τὸ τάλαντον· καὶ τοῦτο οὐ καταγνοὺς ὁ Βασιλεὺς, ἐκέλευσε τῶν δεσμῶν ἀφεθῆναι, ἐκεῖνος δὲ τὰ συνήθη τελῶν ἦν. Ἐνιαυτοῦ δὲ διελθόντος, ἐμηνύθη τῷ Βασιλεῖ· προσαχθῆναι δὲ τοῦτον ὁ Βασιλεὺς προσέταξε· καὶ δὴ προσαγαγόντες αὐτὸν, ἔφη πρὸς αὐτὸν ὁ Βασιλεὺς, τὸν ὑπ' αὐτοῦ προσκυνούμενον Θεὸν ἀρνήσασθαι. Αὐτὸς δὲ ἀπεκρίνατο εἰ καὶ μυρίοις θανάτοις αὐτὸν παραδώσειε, τὸν Βασιλέα τοῦ παντὸς καὶ Δημιουργὸν οὐκ ἀρνήσεται. Ἐπὶ τοῦτο χαλεπήνας ὁ Βασιλεὺς εἴκοσι καλάμους ὀξύνας τοῖς τῶν χειρῶν καὶ τῶν ποδῶν ὄνυξι προσέταξεν ἐμπαρῆναι. Ὡς δὲ παίγνιον ἰδὼν τὴν τιμωρίαν λογισάμενον, ἕτερον κάλαμον τῷ παιδογόνῳ αὐτοῦ μορίῳ προσέταξεν εἰσωθῆναι, καὶ τοῦτον συχνῶς εἰσάγων καὶ ἐξάγων, ἀῤῥήτους καὶ ἀφορήτους ἀλγηδόνας εἰργάζετο. Μετὰ δὲ τὴν τοιαύτην τιμωρίαν, ῥάβδον παχεῖαν, ὄζεις πάντοθεν ἔχουσαν, εἰσωθῆναι διὰ τῆς ἕδρας ἐκέλευσε· καὶ τούτου γενομένου, τὸ πνεῦμα παρέδωκεν ὁ γενναῖος ἀγωνιστής· καὶ ἄλλα δὲ μυρία ὅσα ὁ θη-

Digitized by Google

θηριώδης εἰργάσατο, ὅσα Διοκλητιανῷ καὶ Μαξιμιανῷ τῆς θηριώδους ἐκείνης γνώμης, οὗτος πλέον ἠνύετο. Καὶ τοῦτο οὐ χρὴ θαυμάζειν πῶς κατὰ παραχώρησιν Θεοῦ τοῦτο ἐγένετο· τοὺς γὰρ πολέμους τούτους εἴρηκεν ὁ Δεσπότης, ἐμφαίνειν τὸ τῆς Ἐκκλησίας ἀήττητον, καὶ αὐτὰ ἡμᾶς διδάσκει τὰ πράγματα, ὡς πλεῖονα ἡμῖν τῆς εἰρήνης ὁ πόλεμος, ποιεῖ τὴν ὠφέλειαν· ὅθεν καὶ οὗτοι οἱ Ἅγιοι, δι᾽ ὑπομονῆς καὶ Μαρτυρίας, ἐδέξαντο στεφάνους τῆς νίκης.

Ταῖς πρεσβείαις Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἀπορρήτων θαυμάτων, αὐτουργὸς Ἱεράρχα παρὰ Χριστοῦ γεγονὼς, ἐφώτισας τὸν Κόσμον, τῇ πράξει καὶ τῷ λόγῳ, ἐκδιδάξας βοᾶν εὐσεβῶς· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Ἀπογνώσεως βρόχους, ὁ βυθῷ ἀπιστίας ἀποπνιγόμενος, προσάπτων τοῖς πεσοῦσιν, εἰς πάθη ἀτιμίας τὴν μετάνοιαν ἔσβεσεν, ἣν περ ἀστράψας πιστοῖς, κατέφλεξας ναμάτων. Θεοτοκίον.

Τὴν Μητέρα τοῦ Λόγου, τὴν Ἁγνὴν Θεοτόκον καὶ προστασίαν ἡμῶν, δι᾽ ἧς τὰς ἐπηρείας, ἐχθρῶν καταπατοῦμεν, ἀνυμνοῦμεν καὶ λέγομεν· εὐλογημένη ἡ Θεὸν, σαρκὶ ἀποτεκοῦσα.

Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Πᾶσαν ἀναιμάκτους εἰλικρινῶς τῇ Τριάδι, ἀναφέρων θυσίας Παμμάκαρ, γέγονας Κυρίου σφάγιον Μαρτυρίου.

Τὴν ἱερὰν σου βάψας στολὴν τῷ οἰκείῳ, Θεοφόρε αἵματι προθύμως, στέφανον ἐδέξω διπλοῦν Ἱερομάρτυς.

Ὡς Μαθητὴς οἷά περ Χριστοῦ ἐκμιμήσει, συμπαθείας θνήσκων ὑπερηύχου, σοῦ τοὺς ἀνδροφόνους τάξασθαι σωτηρίας.

Θεοτοκίον.

Λόγον συνείληφας ἐν γαστρὶ ὑπὲρ λόγον, ἡ τεκοῦσα πάλιν παρθενεύεις. πάντα ὑπὲρ φύσιν τὰ σὰ Θεογεννῆτορ.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Μωσέα εἰκονίζων ταῖς ἀρεταῖς, περιήλασας τοῦτον τῷ θαύματι, ῥάβδῳ τῇ σῇ, πλήξας τε τὸν δράκοντα ἀνθαρσῶς, ὡς ἐν ἀγκίστρῳ εἵλκυσας, Πάτερ ἐκ ταμείων Βασιλικῶν, πυρὶ καταναλώσας, ὡς ὄργανον κακίας, ὀρθοδοξίᾳ κραταιούμενος.

Χωννύμενος τοῖς λίθοις διὰ Χριστὸν, ὑπὸ τῶν μιαιφόνων Ὑπάτιε, ῥείθροις τῶν σῶν, ἔπνιξας αἱμάτων τοῦ ἀσεβοῦς, Ναβάτου τὰ ἀντίθεα, δόγματα κηρύξας Πάτερ σοφὲ, τοῖς πταίουσι συγγνώμην. διὰ τῆς μετανοίας, τῶν ὀφλημάτων προσποιεῖσθαι.

Μὴ παύσῃ ἱκετεύων ὑπὲρ ἡμῶν, Ἱεράρχα καὶ Μάρτυς Ὑπάτιε, τῷ Ποιητῇ, πάντων καὶ Δεσπότῃ παρεστηκὼς, ἐκ πειρασμῶν καὶ θλίψεων, ῥύσασθαι τοὺς πόθῳ εἰλικρινεῖ, τελοῦντας τὴν σὴν μνήμην, καὶ θείαις μελῳδίαις, ἀνευφημοῦντάς σε πανεύφημε.

Θεοτοκίον.

Ὀφρὺν καὶ θράσος ἅμα τῶν δυσμενῶν, ὁ τεχθεὶς, ἐκ Παρθένου κατάβαλε, καὶ τὰς βουλὰς, τῶν κακοξένων Δημιουργέ· τῶν δὲ πιστῶν τὸ σύστημα, στήριξον ἀκράδαντον ὡς Θεὸς, τὸ κέρας ἀνυψώσας, καὶ πίστει κραταιώσας, ἵνα σε πάντες μεγαλύνωμεν.

Ὁ Εἱρμός. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Γ' Φωταγωγικὸν τοῦ Ἤχου. Εἰς τὸν Στίχον τὸ Ἰδιόμελον τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν. Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον. Αἱ μετάνοιαι συνήθως, καὶ ἡ α'. Ὥρα μετὰ μετανοιῶν, καὶ Ἀπόλυσις.

ΤΕΛΟΣ.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

COLUMBIA UNIVERSITY LIBRARIES
0036746339

935.4
Or89
3

MAY 18 1959

Digitized by Google